Σηκώθηκα καί πῆγα μαζί του στόν Γέροντα καί ἀφοῦ μᾶς εὐλόγησε, καθήσαμε. Λέγει λοιπόν ὁ ἀδελφός στόν Γέροντα: Πάτερ, ἔχω τριάντα χρόνια πού δέν ἔφαγα κρέας καί ἀκόμη ἔχω ἀγώνα γιά τό θέμα αὐτό. Καί ὁ Γέροντας ἀποκρίθηκε: Καλύτερα, παιδί μου, πληροφόρησέ με γιά τό ἑξῆς καί πές μου τήν ἀλήθεια. Πόσες μέρες ἔχεις πού δέν

κατέκρινας τὸν πλησίον σου καὶ οὐκ ἐξῆλθε λόγος ἀργὸς ἀπὸ τοῦ στόματός σου; Καὶ βαλὼν μετάνοιαν ὁ ἀδελφὸς λέγει· Εὖξαί μοι, πάτερ, ἵνα βάλω ἀρχήν.

48. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μάρκου τοῦ ἀναχωρητοῦ ὅτι ἐπὶ ἑξήκοντα τρία ἔτη ταύτην ἔσχε τὴν ἐργασίαν: Τὰς ἑβδομάδας νηστεύων ὥστε νομίζειν τινὰς ὅτι ἄσαρκός ἐστιν, ἠργάζετο δὲ νύκτα καὶ ἡμέραν καὶ ἐδίδου αὐτὰ τοῖς πτωχοῖς, οὐδέποτε δὲ παρά τινος ἔλαβε τίποτε. Ἀκούσας φιλόχριστος ἦλθε δοῦναι αὐτῷ ἀγάπην. Ὁ δὲ ἔλεγεν· Οὐ λαμβάνω, τὸ γὰρ ἐμὸν ἐργόχειρον τρέφει κἀμὲ καὶ τοὺς ἐρχομένους πρός με διὰ τὸν Θεόν.

49. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ζώϊον λέγων· Ἐὰν εὑρεθῶ πώποτε καὶ φάγω τρία ψωμία μὴ πολύ ἐστι; Λέγει αὐτῷ ὁ Γέρων· Εἰς τὴν ἅλωνα ἦλθες, ἀδελφέ; Εἶπε δὲ πάλιν· Ἐὰν πίω τρία ποτήρια οἴνου μὴ πολύ ἐστι; Λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν οὐκ ἔστι δαίμων, οὐκ ἔνι πολύ, ἐὰν δὲ ἔνι, πολύ ἐστιν. Ὁ γὰρ οἶνος ἀλλότριός ἐστι τῶν μοναχῶν τῶν κατὰ Θεὸν ζώντων.

50. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Εἰ μή Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος ἦλθεν, οὐκ ἂν ἐνεπρήσθη ὁ ναὸς Κυρίου. Τοῦτο δέ ἐστιν· εἰ μὴ ἡ ἀνάπαυσις ἦλθε τῆς γαστριμαργίας εἰς τὴν

20. Ἀργός ἀνώφελος, βλ. Ματθ. 12, 36.

21. Γιά τή χρήση τοῦ κρασιοῦ παρατηροῦμε στά ἀποφθέγματα διαφορετικές θέσεις τῶν ἀββάδων. Τά τρία ποτήρια κρασί θεωροῦνταν συνήθως

εἶπες λόγια ἐναντίον ἀδελφοῦ, πού δέν κατέκρινες καί οὔτε βγῆκε λόγος ἀργός[20] ἀπό τό στόμα σου;

Ἔβαλε μετάνοια ὁ ἀδελφός καί εἶπε: Εὐχήσου, πάτερ, νά βάλω ἀρχή».

48. Ἔλεγαν γιά τόν ἀββᾶ Μάρκο τόν ἀναχωρητή ὅτι ἑξηντατρία χρόνια ἔκανε τήν ἑξῆς ἐργασία: Ὅλη τήν ἑβδομάδα νήστευε, ὥστε νά νομίζει κανείς ὅτι εἶναι ἄσαρκος, ἐργαζόταν ὅμως νύκτα καί μέρα καί ὅσα ἔβγαζε τά ἔδινε στούς φτωχούς. Καί ποτέ ἀπό κανέναν δέν πῆρε κάτι.

Κάποιος εὐσεβής πού ἔμαθε γι᾽ αὐτόν, πῆγε νά τοῦ κάνει ἐλεημοσύνη· καί ὁ ἀββᾶς τοῦ εἶπε: «Δέν τά παίρνω, γιατί τό ἐργόχειρό μου τρέφει κι ἐμένα κι αὐτούς πού ἔρχονται σέ μένα γιά τήν ἀγάπη τοῦ Θεοῦ».

49. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ζώϊο: «Ἄν συμβεῖ καμιά φορά καί φάγω τρία ψωμάκια, μήν εἶναι πολύ;» Κι ὁ Γέροντας τοῦ λέει: «Στό ἁλώνι ἦλθες, ἀδελφέ;» Ξαναρώτησε: «Ἐάν πιῶ τρία ποτήρια κρασί, μήπως εἶναι πολύ;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἐάν δέν ὑπάρχει διάβολος, δέν εἶναι πολύ. Ἀφοῦ ὅμως ὑπάρχει, εἶναι πολύ. Γιατί τό κρασί δέν ἔχει σχέση μέ τούς μοναχούς πού ζοῦν σύμφωνα μέ τό θέλημα τοῦ Θεοῦ»[21].

50. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἐάν ὁ Ναβουζαρδάν ὁ ἀρχιμάγειρος δέν ἐρχόταν, ὁ ναός τοῦ Κυρίου δέν θά πυρπολοῦνταν[22]. Καί αὐτό σημαίνει ὅτι ἐάν ἡ ἀπόλαυση τῆς γα-

ὅριο (πρός τόν κίνδυνο τῆς ὑπερβολῆς). Ὅμως ὑπῆρχαν καί αὐστηρότερες θέσεις. Βλ. Δ 43, 98, 101 κ.ἄ.

22. Δ΄ Βασ. 25, 8-21.

ψυχήν, οὐκ ἂν ὁ νοῦς κατέπιπτεν ἐν τῷ πολέμῳ τοῦ ἐχθροῦ.

51. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ποιμένος ὅτι καλούμενος εἰς τὸ φαγεῖν παρὰ τὸ θέλημα αὐτοῦ ἀπήρχετο μετὰ δακρύων, ἵνα μὴ παρακούσῃ τῶν ἀδελφῶν καὶ λυπήσῃ αὐτούς.

52. Διηγήσαντό τινες τῷ ἀββᾷ Ποιμένι περί τινος μοναχοῦ ὅτι οὐ πίνει οἶνον καὶ εἶπεν· Ὁ οἶνος ὅλως οὐκ ἔστι τῶν μοναχῶν.

53. Εἶπε πάλιν ὁ ἀββᾶς Ποιμήν· Βδέλυγμά ἐστι Κυρίῳ πᾶσα σωματικὴ ἀνάπαυσις.

54. Εἶπε πάλιν ὅτι· Ἐὰν μνησθῇ ὁ ἄνθρωπος τοῦ γεγραμμένου ῥητοῦ ὅτι ἐκ τῶν λόγων σου δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ, αἱρεῖται μᾶλλον τὸ σιωπᾶν.

55. Εἶπε πάλιν ὁ Γέρων ὅτι ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Παμβὼ εἰ καλὸν ἐπαινεῖν τὸν πλησίον καὶ εἶπεν αὐτῷ· Καλόν ἐστιν μᾶλλον τὸ σιωπᾶν.

56. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ὥσπερ ὁ καπνὸς ἐκδιώκει τὰς μελίσσας καὶ τότε αἴρεται τῆς ἐργασίας αὐτῶν ἡ γλυκύτης, οὕτω καὶ ἡ σωματικὴ ἀνάπαυσις ἐκδιώκει τὸν φόβον τοῦ Θεοῦ ἀπὸ τῆς ψυχῆς καὶ ἀπόλλυσιν αὐτῆς πᾶσαν ἐργασίαν ἀγαθήν.

57. Διηγήσατό τις τῶν Πατέρων περὶ τοῦ ἀββᾶ Ποιμέ-

23. Βλ. *Μ. Γεροντικόν* τόμ. Α' σελ. 58 ὑποσημ. 36.

στριμαργίας δέν ἐρχόταν στήν ψυχή, δέν θά ἔπεφτε ὁ νοῦς νικημένος στόν πόλεμο τοῦ ἐχθροῦ».

51. Ἔλεγαν γιά τόν ἀββᾶ Ποιμένα ὅτι ὅταν τόν καλοῦσαν γιά φαγητό, πήγαινε παρά τή θέλησή του δακρύζοντας, γιά νά μήν παρακούσει στούς ἀδελφούς καί τούς λυπήσει.

52. Ἀνέφεραν κάποιοι στόν ἀββᾶ Ποιμένα γιά ἕναν μοναχό ὅτι δέν πίνει κρασί. Καί εἶπε ὁ ἀββᾶς: «Γενικά τό κρασί δέν ταιριάζει στούς μοναχούς».

53. Εἶπε ἐπίσης ὁ ἀββᾶς Ποιμήν: «Εἶναι βδέλυγμα (σίχαμα) γιά τόν Κύριο κάθε σωματική ἀνάπαυση[23]».

54. Εἶπε πάλι: «Ἐάν ὁ ἄνθρωπος θά θυμᾶται τό ρητό τῆς Γραφῆς ὅτι τά λόγια σου θά σέ δικαιώσουν καί τά λόγια σου θά σέ καταδικάσουν[24], θά προτιμάει μᾶλλον νά σιωπᾶ».

55. Εἶπε ἀκόμη ὁ Γέροντας ὅτι ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Παμβώ ἐάν εἶναι καλό νά ἐπαινοῦμε τόν πλησίον. Καί τοῦ ἀπάντησε: «Καλύτερη εἶναι ἡ σιωπή».

56. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ὅπως ἀκριβῶς ὁ καπνός διώχνει τίς μέλισσες καί τότε παύει νά παράγεται ὁ γλυκύς καρπός τῆς ἐργασίας τους, ἔτσι καί ἡ σωματική ἀνάπαυση διώχνει τόν φόβο τοῦ Θεοῦ ἀπό τήν ψυχή καί χάνει ὅλη τήν καλή της ἐργασία».

57. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες γιά τόν ἀββᾶ

24. Ματθ. 12, 37.

νος καὶ τῶν ἀδελφῶν αὐτοῦ ὅτι ᾤκουν ἐν Αἰγύπτῳ καὶ ἐπιθυμοῦσα ἡ μήτηρ αὐτῶν ἰδεῖν αὐτοὺς οὐκ ἠδύνατο. Παρετήρησε δὲ ἀπερχομένων αὐτῶν ἐν μιᾷ τῶν ἡμερῶν εἰς τὴν ἐκκλησίαν καὶ ἀπήντησεν αὐτοῖς. Οἱ δέ θεασάμενοι αὐτὴν ὑπέστρεψαν καὶ ἔκλεισαν τὴν θύραν εἰς τὸ πρόσωπον αὐτῆς. Ἡ δὲ πρὸς τῇ θύρᾳ ἔκραζε λέγουσα μετὰ κλαυθμοῦ καὶ οἴκτου πολλοῦ· Ἴδω ὑμᾶς, τέκνα μου ἠγαπημένα. Ἀκούσας δὲ αὐτῆς ὁ ἀββᾶς Ἀνοὺβ εἰσῆλθε πρὸς τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσομεν τῇ γραΐδι ταύτῃ κλαιούσῃ πρὸς τῇ θύρᾳ; Ἀναστὰς δὲ ὁ ἀββᾶς Ποιμὴν ἦλθε πρὸς τὴν θύραν καὶ ἔνδον στὰς ἤκουσεν αὐτῆς κλαιούσης μετὰ οἴκτου πολλοῦ καὶ εἶπεν αὐτῇ· Τί οὕτω κράζεις, γραῦ; Ἡ δὲ τῆς φωνῆς αὐτοῦ ἀκούσασα πολλῷ μᾶλλον ἐκραύγαζε λέγουσα· Θέλω ὑμᾶς ἰδεῖν, τέκνα μου. Τί γάρ ἐστιν, ἐὰν ἴδω ὑμᾶς; Μὴ οὐκ εἰμὶ μήτηρ ὑμῶν, μὴ οὐκ ἐγὼ ὑμᾶς ἐθήλασα; Ὅλη εἰμὶ πολιά· ἀκούσασα δὲ καὶ τῆς φωνῆς σου ἐταράχθην. Λέγει αὐτῇ ὁ Γέρων· Ὧδε θέλεις ἰδεῖν ἡμᾶς ἢ εἰς τὸν ἐκεῖ κόσμον; Λέγει αὐτῷ ἐκείνη· Ἐὰν μὴ ἴδω ὑμᾶς ὧδε, τέκνον, βλέπω ὑμᾶς ἐκεῖ; Λέγει αὐτῇ· Ἐὰν σεαυτὴν βιάσῃ μὴ ἰδεῖν ἡμᾶς ὧδε, ὁρᾷς ἐκεῖ ἡμᾶς. Ἀπῆλθεν οὖν χαίρουσα καὶ λέγουσα· Εἰ ὅλως ὁρῶ ὑμᾶς ἐκεῖ, οὐ θέλω ὑμᾶς ὧδε ἰδεῖν.

58. Ἔλεγεν ὁ ἀββᾶς Ἰωσὴφ περὶ τοῦ ἀββᾶ Ποιμένος ὅτι εἶπεν· Οὗτός ἐστιν ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ Εὐαγ-

25. Στή συμπεριφορά τοῦ ἀββᾶ Ποιμένα καί τῶν ἀδελφῶν του πρός τή μητέρα τους, πού ξενίζει ἐκ πρώτης ὄψεως τόν ἀμύητο στά μοναχικά πράγματα ἄνθρωπο, ἔχουμε μιά ρωμαλέα ἔκφραση ἀποταγῆς βάσει αὐτῶν πού ὑπόσχεται ὁ μοναχός κατά τήν τελετή τῆς κουρᾶς του.

Ποιμένα καί τ' ἀδέλφια του ὅτι ἔμεναν στήν Αἴγυπτο καί ἡ μητέρα τους ἐπιθυμοῦσε νά τούς δεῖ ἀλλά δέν εἶχε τρόπο. Παραφύλαξε λοιπόν κάποια μέρα, καθώς ξεκινοῦσαν οἱ Πατέρες γιά τήν ἐκκλησία, καί τούς συνάντησε. Αὐτοί μόλις τήν εἶδαν, γύρισαν πίσω καί τῆς ἔκλεισαν τήν πόρτα κατάμουτρα. Κι αὐτή μπροστά στήν πόρτα κραύγαζε καί ἔλεγε μέ δάκρυα καί πολύ καημό: «Νά σᾶς δῶ, ἀγαπημένα μου παιδιά».

Τήν ἄκουσε ὁ ἀββᾶς Ἀνούβ, μπῆκε μέσα καί λέει στόν ἀββᾶ Ποιμένα: «Τί θά κάνουμε τή γριά αὐτή πού κλαίει ἔξω ἀπ' τήν πόρτα;» Σηκώθηκε ὁ ἀββᾶς Ποιμήν καί πῆγε στήν πόρτα· στάθηκε ἀπό μέσα, τήν ἄκουσε νά κλαίει μέ πολύ πόνο καί τῆς λέει: «Γιατί φωνάζεις ἔτσι, γριά;» Αὐτή μόλις ἄκουσε τή φωνή του, φώναζε ἀκόμη περισσότερο καί ἔλεγε: «Θέλω νά σᾶς δῶ, παιδιά μου. Τί πειράζει νά σᾶς δῶ; Μήπως δέν εἶμαι μάνα σας; Μήπως ἐγώ δέν σᾶς θήλασα; Ἔχω ἀσπρίσει ἀπ' τά χρόνια· ἄκουσα τώρα τή φωνή σου καί ταράχθηκα». Τῆς λέει τότε ὁ Γέροντας: «Ἐδῶ θέλεις νά μᾶς δεῖς ἤ στόν ἄλλο κόσμο;» Τόν ρωτάει ἐκείνη: «Ἐάν δέν σᾶς δῶ ἐδῶ, παιδί μου, θά σᾶς βλέπω ἐκεῖ;» Καί τῆς ἀπαντᾶ: «Ἐάν κάνεις τόν ἀγώνα σου νά μή μᾶς δεῖς ἐδῶ, ἐκεῖ θά μᾶς βλέπεις». Μετά ἀπ' αὐτό ἔφυγε χαρούμενη λέγοντας: «Ἐφόσον παντοτεινά θά σᾶς βλέπω ἐκεῖ, δέν θέλω ἐδῶ νά σᾶς δῶ[25]».

58. Ἔλεγε ὁ ἀββᾶς Ἰωσήφ γιά τόν ἀββᾶ Ποιμένα ὅτι εἶπε τό ἑξῆς: «Νά, τί λέει ὁ λόγος πού εἶναι γραμμένος μέσα

Ο τελετουργός ἱερέας λέει μεταξύ ἄλλων καί τά ἑξῆς στόν κειρόμενο μοναχό: «...Ἡ ἀποταγὴ τοίνυν οὐδὲν ἄλλο ἐστί, κατὰ τὸν εἰπόντα, εἰ μὴ σταυροῦ καὶ θανάτου ἐπαγγελία (=ὑπόσχεση). Γίνωσκε οὖν ἀπὸ τῆς παρούσης ἡμέρας σταυροῦσθαι καὶ νεκροῦσθαι τῷ κόσμῳ διὰ τῆς τελειοτάτης ἀπο-

γελίῳ ὅτι· Ὁ ἔχων ἱμάτιον πωλησάτω αὐτὸ καὶ ἀγορασάτω μάχαιραν. Τουτέστιν ὅτι ὁ ἔχων ἀνάπαυσιν ἀφήσει αὐτὴν καὶ κρατήσει τὴν στενὴν ὁδόν.

59. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Πῶς ὀφείλουσιν εἶναι οἱ ἐν τῷ κοινοβίῳ; Καὶ λέγει αὐτῷ ὁ Γέρων ὅτι· Ὁ καθήμενος ἐν τῷ κοινοβίῳ ὀφείλει πάντας τοὺς ἀδελφοὺς ὡς ἕνα βλέπειν· καὶ τηρεῖν τὸ στόμα καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ οὕτω δύναται ἀναπαῆναι.

60. Εἶπε πάλιν ὅτι· Ὁ Δαβὶδ ὅτε μετὰ τοῦ λέοντος συνέβαλεν, ἐκ τοῦ λαρυγγίου αὐτοῦ κατέσχεν αὐτὸν καὶ εὐθέως ἀπέκτεινεν αὐτόν. Ἐὰν οὖν καὶ ἡμεῖς κατάσχωμεν τοῦ λαρυγγίου καὶ τῆς κοιλίας ἑαυτῶν, νικῶμεν διὰ τοῦ Θεοῦ τὸν ἀόρατον λέοντα.

61. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Τὰ τρία ταῦτα οὐ δύναμαι κόψαι, τὴν βρῶσιν, τὸ ἔνδυμα καὶ τὸν ὕπνον. Ἀλλ' ἐκ μέρους δύναμαι κόψαι καὶ αὐτά.

62. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ποιμένα λέγων ὅτι· Πολλὰ λάχανα ἐσθίω. Ἔφη ὁ Γέρων· Οὐ συμφέρει σοι· ἀλλὰ φάγε τὸν ἄρτον σου καὶ μικρὰ λάχανα. Καὶ μὴ ἀπέλθῃς εἰς τὰ πατρικά σου ἕνεκα χρειῶν.

ταγῆς. Ἀποτάσσῃ γὰρ γονεῦσιν, ἀδελφοῖς, ἀνδρὶ (ἢ γυναικὶ), τέκνοις, πατράσι, συγγενείαις... τοῖς ἐν κόσμῳ θορύβοις, φροντίσι...» κλπ. Καί ὑπόσχεται ὁ μοναχός τήν ἱερή αὐτή ὥρα ὅτι θά ἀνταποκριθεῖ «τοῦ Θεοῦ συνεργοῦντος» (Ἀκολουθία μεγάλου Σχήματος: Κατήχηση)

Στό ἀπόφθεγμα αὐτό ἀξιοθαύμαστη εἶναι καί ἡ τελική στάση τῆς ἁπλῆς ἀλλά εὐλαβέστατης μάνας, πού ξεπερνᾶ τά εὐαίσθητα καί πηγαῖα μητρικά

στό Εὐαγγέλιο: Αὐτός πού ἔχει ἐπανωφόρι ἄς τό πουλήσει καί ἄς ἀγοράσει μαχαίρι[26]· καί αὐτό σημαίνει ὅτι ὅποιος ἔχει ἀνάπαυση, ἄς τήν ἐγκαταλείψει καί ἄς κρατήσει τή στενή ὁδό».

59. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Πῶς ὀφείλουν νά εἶναι ὅσοι ζοῦν στό κοινόβιο;» Καί τοῦ λέει ὁ Γέροντας: «Αὐτός πού ἀσκεῖται στό κοινόβιο ὀφείλει ὅλους τούς ἀδελφούς νά τούς βλέπει ὡς ἕναν, καί νά προσέχει τό στόμα του καί τά μάτια του· καί ἔτσι θά βρεῖ ἀνάπαυση».

60. Εἶπε ἐπίσης: «Ὅταν ὁ Δαβίδ πάλαιψε μέ τό λιοντάρι, πιάνοντάς το ἀπό τό λαρύγγι τό κατάκτησε καί ἀμέσως τό σκότωσε[27]. Καί ἐμεῖς λοιπόν ἐάν κυριαρχήσουμε στόν λάρυγγα καί στήν κοιλιά μας, μέ τή βοήθεια τοῦ Θεοῦ θά νικοῦμε τόν ἀόρατο λέοντα».

61. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Αὐτά τά τρία πράγματα δέν μπορῶ νά τά κόψω: τό φαγητό, τήν ἐνδυμασία καί τόν ὕπνο. Ὅμως ἐν μέρει μπορῶ κι αὐτά νά τά κόψω».

62. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα λέγοντάς του: «Τρώγω πολλά λαχανικά». Ὁ Γέροντας εἶπε: «Δέν σοῦ συμφέρει· καλύτερα φάγε τό ψωμί σου μέ λίγα λαχανικά. Καί μήν πηγαίνεις στά πατρικά σου χωράφια γιά νά τά προμηθεύεσαι».

της αἰσθήματα μέ τήν ἐμβέλεια τῆς βαθιᾶς της πίστης στήν αἰώνια ἐν Χριστῷ ἀποκατάσταση. Βλ. καί Δ 95.

26. Πρβλ. Λουκ. 22, 36.

27. Πρβλ. Α' Βασ. 17, 34-35.

63. Εἶπε πάλιν ὁ ἀββᾶς Ποιμήν· Ἡ ψυχὴ ἐν οὐδενὶ ταπεινοῦται, ἐὰν μὴ ἐλαττώσῃ ἑαυτὴν ἄρτου.

64. Ἔλεγον περὶ τοῦ ἀββᾶ Πίωρ ὅτι περιπατῶν ἤσθιε. Πειθομένου δέ τινος· Διατί οὕτως ἐσθίεις; Οὐ βούλομαι, ἔφη, ὡς ἔργῳ τῷ βρώματι χρήσασθαι ἀλλ' ὡς παρέργῳ. Πρὸς ἕτερον δὲ περὶ τούτου ἐρωτήσαντος ἀπεκρίνατο· Ἵνα μηδὲ ἐν τῷ ἐσθίειν με, φησίν, ἡδονῆς σωματικῆς αἰσθάνηται ἡ ψυχή μου.

65. Ἔλεγον περὶ τοῦ ἀββᾶ Πέτρου τοῦ Πιονίτου τοῦ εἰς τὰ Κελλία ὅτι οἶνον οὐκ ἔπινεν. Ὅτε οὖν ἐγήρασε καὶ ἐποίουν οἱ ἀδελφοὶ μικρὸν συγκερασμόν, παρεκάλουν αὐτὸν δέξασθαι. Καὶ ἔλεγε· Θαρσήσατέ μοι ὅτι ὡς κονδίτον αὐτὸν ἔχω. Καὶ ἔκρινεν ἑαυτὸν εἰς τὸν συγκερασμόν.

66. Ἔλεγον περὶ τοῦ ἀββᾶ Παύλου ὅτι ἐποίησε τὴν Τεσσαρακοστὴν εἰς μάτιν φακῆς καὶ λαγύνιον ὕδατος καὶ εἰς ἓν μαλάκιον πλέκων αὐτὸ καὶ ἀναλύων ἕως τῆς ἑορτῆς ἐγκεκλεισμένος.

67. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Παλλάδιον λέγων· Πάτερ, εἰπέ μοι τί ποιήσω, ὅτι τρία ἔτη ἔχω νηστεύων ζευγάρια ζευγάρια καὶ οὐ δύναμαι ἀπαλλαγῆναι ἐκ τοῦ δαίμονος τῆς πορνείας. Καὶ εἶπεν ὁ Γέρων· Τέκνον, Ἡσαΐας ὁ προφήτης, ὅταν πρὸς τοὺς Ἰσραηλίτας ἀπεστέλλετο παρὰ

28. Ἡ λέξη τοῦ ἀρχ. κειμένου κονδίτον ἢ κόντιτον, σημαίνει ἀρχικά, καρύκευμα, μπαχαρικό. Κονδῖτος οἶνος (Λατ. vinum conditum) σημαίνει ἀρωματικό κρασί.

63. Εἶπε ἄλλη φορά ὁ ἀββᾶς Ποιμήν: «Ἡ ψυχή μέ τίποτε δέν ταπεινώνεται, ἐάν δέν στερηθεῖ τό ψωμί».

64. Ἔλεγαν γιά τόν ἀββᾶ Πίωρ ὅτι ἔτρωγε περπατώντας. Καί ὅταν τόν ρώτησε κάποιος, «γιατί τρῶς ἔτσι;» «Δέν θέλω —εἶπε— νά ἔχω τό φαγητό ὡς κύριο ἔργο ἀλλά ὡς πάρεργο».

Σέ ἄλλον πού ρώτησε γιά τό ἴδιο θέμα, ἀπάντησε: «Γιά νά μήν αἰσθάνεται ἡ ψυχή μου εὐχαρίστηση σωματική οὔτε τήν ὥρα πού τρώγω».

65. Ἔλεγαν γιά τόν ἀββᾶ Πέτρο τόν Πιονίτη, αὐτόν πού ἦταν στά Κελλία, ὅτι κρασί δέν ἔπινε. Ὅταν τόν βρῆκαν τά γεράματα, οἱ ἀδελφοί ἀνακάτωναν λίγο κρασί μέ νερό καί τόν παρακαλοῦσαν νά τό δεχθεῖ. Τούς ἔλεγε λοιπόν: «Πιστέψτε με, αὐτό τό θεωρῶ σάν ἀρωματικό κρασί[28]». Καί καταδίκαζε τόν ἑαυτό του πίνοντας τό νερωμένο κρασί.

66. Ἔλεγαν γιά τόν ἀββᾶ Παῦλο ὅτι πέρασε τή Σαρακοστή μέ μία μικρή ποσότητα[29] φακές καί μιά στάμνα νερό. Ἐπίσης ἔμεινε ἔγκλειστος ὥς τή γιορτή τοῦ Πάσχα πλέκοντας καί ξεπλέκοντας ἕνα καλαθάκι ἀπό φοινικοβλαστούς.

67. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Παλλάδιο: «Πάτερ, πές μου τί νά κάνω, γιατί ἔχω τρία χρόνια πού νηστεύω δυό-δυό καί δέν μπορῶ νά ἀπαλλαγῶ ἀπό τόν δαίμονα τῆς πορνείας». Καί εἶπε ὁ Γέροντας: «Παιδί μου, ὅταν ὁ Κύριος ἀπέστειλε τόν προφήτη Ἠσαΐα πρός τούς Ἰσραη-

29. Μάτιον ἢ μάτιν: αἰγυπτιακό μέτρο μικρῆς χωρητικότητος.

Κυρίου, οὕτως εἶπεν αὐτῷ· Ἀναβόησον ἐν ἰσχύϊ καὶ μὴ φείσῃ καὶ ὡς σάλπιγγος ὕψωσον τὴν φωνήν σου καὶ ἀνάγγειλον τῷ λαῷ τὰς ἁμαρτίας αὐτῶν καὶ τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν. Ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι καὶ ἐγγίζειν τῷ Θεῷ ἐπιθυμοῦσι λέγοντες· Τί ὅτι ἐνηστεύσαμεν καὶ οὐκ ἔγνως; Ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν καὶ οὐκ εἶδες; Ἀπεκρίθη δὲ λέγων αὐτοῖς ταῦτα ὅτι· Ἐν ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκεσθε ποιοῦντες τὰ θελήματα ὑμῶν καὶ τοὺς ὑποχειρίους ὑμῶν κακοποιοῦντες καὶ πάντας τοὺς ὑπεναντίους ὑμῶν ὑπενύσσετε καὶ νηστεύετε εἰς κρίσεις καὶ μάχας, ὥστε ἀκουσθῆναι ἐν Κυρίῳ τὴν φωνὴν ὑμῶν; Οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην, λέγει Κύριος. Οὐδ᾽ ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃς, οὐδ᾽ οὕτω κληθήσεται νηστεία δεκτή.

Σὺ οὖν, τέκνον, νηστεύων πῶς διάγεις; Καὶ λέγει τῷ Γέροντι· Ἐγὼ ἀπὸ πρωίας βρέχω θαλλία καὶ ἐργάζομαι μελετῶν ψαλμούς. Καὶ ὅτε τελέσω μαλάκιον, εὔχομαι καὶ τὸ μεσημβρινὸν ὀλίγον καθεύδω. Καὶ ἀναστὰς ἐξέρχομαι τοῦ κελλίου καὶ πάλιν ἐργάζομαι, ἕως οὗ ποιήσω τρία μαλάκια. Καὶ ἑσπέρας καταλαβούσης εὔχομαι καὶ ποιήσας ἑκατὸν μετανοίας κοιμῶμαι. Καὶ εἰς τὸν κανόνα ἐγείρομαι καὶ τῇ δευτέρᾳ ἡμέρᾳ ὥραν ἐνάτην ποιῶ ἑψητὸν καὶ ἐσθίω κόρου.

Καὶ λέγει ὁ Γέρων· Τοῦτο, τέκνον, οὐκ ἔνι νηστεία. Ἐὰν γὰρ νηστεύῃς ἀπὸ βρωμάτων καί τινα κακολογῇς ἢ κατακρίνῃς ἢ μνησικακῇς ἢ πονηροὺς λογισμοὺς δέχῃ ἢ κατ᾽ ἔννοιαν ἐπιθυμῇς τι τοιούτων, πολὺ συμφέρει σοι τὴν ἡμέραν πέμπτον ἐσθίειν καὶ τούτων φείσασθαι ἢ μὴ γευσά-

30. Τεχνικός ὅρος στήν Πεντάτευχο πρός ὁρισμόν τῆς νηστείας. (Ὁ π. Ἰωήλ Γιαννακόπουλος τή λ. ψυχάς τήν ἀποδίδει: σῶμα καί ψυχή). Βλ. καί *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 160 ὑποσημ. 153.

31. Ἠσ. 58, 1-5.

λίτες, τοῦ εἶπε τά ἑξῆς: Φώναξε μέ ὅλη σου τή δύναμη καί μή λυπηθεῖς τή φωνή σου. Ὕψωσέ την σάν φωνή σάλπιγγας καί πές στόν λαό μου τά ἁμαρτήματά τους καί στούς ἀπογόνους τοῦ Ἰακώβ τίς παρανομίες τους. Κάθε μέρα ζητοῦν νά μέ βροῦν καί ἐπιθυμοῦν νά πλησιάσουν τόν Θεό καί λένε: Γιατί νηστέψαμε καί δέν τό ἔλαβες ὑπόψιν σου; Ταπεινώσαμε τίς ψυχές μας μέ τή νηστεία[30] καί δέν τό πρόσεξες; Καί ἀπαντᾶ σ᾽ αὐτούς ὁ Θεός: Τίς μέρες πού νηστεύετε πραγματοποιεῖτε τά δικά σας θελήματα· κακοποιεῖτε ἐκείνους πού εἶναι στήν ἐξουσία σας καί ὅλους τούς ἀντιπάλους σας τούς ταλαιπωρεῖτε· ἐνῶ νηστεύετε, καταλήγετε σέ φιλονικίες καί μάχες· καί θέλετε νά εἰσακουσθεῖ ἡ φωνή σας ἀπό τόν Κύριο; Δέν ἐπιθυμῶ ἐγώ αὐτοῦ τοῦ εἴδους τή νηστεία, λέει ὁ Κύριος. Οὔτε κι ἄν κάμψεις τόν τράχηλό σου σάν τόν κρίκο καί στρώσεις νά κοιμηθεῖς πάνω σέ σάκκο καί στάκτη, οὔτε μ᾽ αὐτά θά εἶναι δεκτή ἡ νηστεία σας[31].

Ἐσύ λοιπόν, παιδί μου, πῶς περνᾶς ὅταν νηστεύεις;»

Καί λέει ὁ ἀδελφός στόν Γέροντα: «Ἐγώ τό πρωί νωρίς βρέχω τούς φοινικοβλαστούς καί δουλεύω λέγοντας ψαλμούς. Καί ὅταν τελειώσω ἕνα καλαθάκι, προσεύχομαι καί τό μεσημέρι λίγο κοιμᾶμαι. Ὅταν σηκωθῶ, βγαίνω ἀπό τό κελί μου καί πάλι δουλεύω, ἕως ὅτου κάνω τρία καλαθάκια. Καί ὅταν ἔρθει τό δειλινό, προσεύχομαι, κάνω ἑκατό μετάνοιες καί κοιμᾶμαι. Καί σηκώνομαι γιά τόν κανόνα. Τή δεύτερη μέρα κατά τίς τρεῖς μαγειρεύω φαγητό καί τρώγω μέχρι νά χορτάσω καλά».

Τοῦ λέει τότε ὁ Γέροντας: «Αὐτό, παιδί μου, δέν εἶναι νηστεία. Γιατί ἄν νηστεύεις ἀπό φαγητό, καί κακολογεῖς κάποιον ἤ τόν κατακρίνεις ἤ κρατᾶς κακία ἤ δέχεσαι πονηρούς λογισμούς ἤ μέ τή σκέψη ἐπιθυμεῖς κάτι παρόμοιο, σοῦ συμφέρει πολύ πέντε φορές τή μέρα νά τρῶς καί νά ἀποφεύγεις αὐτά, παρά νά μένεις νηστικός καί νά σέ ἔχουν

μενον ἐκείνων ἐμφορεῖσθαι. Τί γὰρ βρωμάτων ἀπέχεσθαι, πάσης δὲ ἄλλης ἐπιθυμίας ἐμπεφορεῖσθαι; Οὐκ οἶδας ὅτι πᾶς ὁ τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶν κατ᾽ ἔννοιαν καὶ ἐκτὸς τῶν ἔξωθεν βρωμάτων ἤδη κεκόρεσται καὶ μεθύει; Ἀλλ᾽ εἰ θέλεις ἐγκρατεύεσθαι καὶ νηστεῦσαι, ἵνα ἡ νηστεία σου δεκτὴ ᾖ τῷ Θεῷ, πρὸ παντὸς φύλασσαι νηστεύων ἀπὸ παντὸς ῥήματος πονηροῦ, ἀπὸ πάσης καταλαλιᾶς καὶ κατακρίσεως καὶ ἀπὸ ἀκοῆς πονηρᾶς καὶ καθάρισόν σου τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ πάσης μνησικακίας καὶ αἰσχροκερδίας.

Καὶ ἐν ἡμέρᾳ ᾗ νηστεύεις, ἀρκέσθητι ἄρτῳ καὶ ὕδατι καὶ λαχάνοις εὐχαριστῶν τῷ Θεῷ. Συμψηφίσας δὲ τὴν δαπάνην τοῦ ἀρίστου οὗ ἔμελλες ἐσθίειν κατ᾽ ἐκείνην τὴν ἡμέραν, δὸς ἀδελφῷ πτωχῷ ἐπιξενουμένῳ ἢ χήρᾳ καὶ ὀρφανῷ καὶ ὁ εἰληφὼς ἐμπλήσας τὴν ἑαυτοῦ ψυχὴν εὔξηται ὑπὲρ σοῦ πρὸς Κύριον. Δάμασόν σου τὸ σῶμα ἐν πλήθει μετανοιῶν καὶ ἀγρυπνιῶν, ἐν κρυπτῇ μελέτῃ· καθήμενος δὲ ἀφύπνωσον· ἔασον δὲ καὶ τὰ μαλάκια καὶ ἐπιλαβοῦ τῶν σπυρίδων. Ἡ γὰρ νεότης ἐὰν μὴ δαμασθῇ διὰ πολλοῦ κόπου καὶ μόχθου, νηστείας καὶ ἀγρυπνίας, χαμαικοιτίας τε καὶ ξηροφαγίας ἑαυτὴν ἐὰν μὴ παιδαγωγήσῃ, οὐ δύναται ἐκ τοῦ τῆς πορνείας ἀποδράσαι δαίμονος. Διὰ τοῦτο καὶ οἱ Πατέρες ἡμῶν τοὺς νέους, οὐκ ἐθέσπισαν ἐν κελλίοις καὶ ἡσυχαστηρίοις τόποις καθέζεσθαι ἀλλ᾽ ἐν κοινοβίῳ μᾶλλον προσκαρτερεῖν καὶ οὐ μαλακὰ ἀλλὰ τραχέα καὶ ῥακώδη φοροῦντας καὶ ἐν πάσῃ ἀσφαλείᾳ κρατεῖσθαι ὑπὸ τῶν προεστώτων. Ἡ γὰρ ἀργία καὶ ἡ ἄνεσις καὶ τὸ ἐσθίειν δὶς τῆς

32. Σχετικά μέ τήν ἀνάγκη τοῦ σωματικοῦ κόπου βλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 90 ὑποσημ. 76.

33. Χαμαικοιτία: τό νά κοιμᾶται κανείς κατά γῆς ἦταν καί εἶναι μιά ἀπό τίς ἀσκήσεις τῶν μοναχῶν. Ξηροφαγία: λήψη ξηρῆς τροφῆς, ἀμαγείρευτη τροφή.

κατακτήσει ἐκεῖνα. Γιατί ποιά ἡ ὠφέλεια νά ἀπέχει κανείς ἀπό τροφές καί νά κατέχεται ἀπό ὅλες τίς ἄλλες ἐπιθυμίες; Δέν γνωρίζεις ὅτι κάθε ἄνθρωπος πού ἱκανοποιεῖ τήν ἐπιθυμία του μέ τή σκέψη, καί χωρίς νά γευθεῖ τίς τροφές, ἤδη ἔχει χορτάσει καί μεθύσει;

Ἀλλά ἐάν θέλεις νά ἐγκρατεύεσαι καί νά νηστεύεις, γιά νά 'ναι ἡ νηστεία σου δεκτή ἀπό τόν Θεό, πάνω ἀπό κάθε τι ἄλλο νά φυλάγεσαι νηστεύοντας ἀπό κάθε πονηρό λόγο, ἀπό κάθε καταλαλιά καί κατάκριση καί ἀπό κουβέντες πονηρές ἄλλων. Καθάρισε τήν καρδιά σου ἀπό κάθε τι πού μολύνει τήν σάρκα καί τό πνεῦμα, ἀπό κάθε μνησικακία καί διάθεση ἀνήθικου κέρδους.

Καί τήν ἡμέρα πού νηστεύεις νά ἀρκεῖσαι στό ψωμί, τό νερό καί τά χόρτα εὐχαριστώντας τόν Θεό. Ὑπολόγισε μάλιστα τά ἔξοδα πού θά ἔκανες γιά τά φαγητά πού ἐπρόκειτο νά φᾶς ἐκείνη τήν ἡμέρα καί δῶσε τα σέ κάποιον ἀδελφό πού εἶναι ἀπό τά ξένα ἤ σέ χήρα καί ὀρφανό, καί αὐτός πού θά τά πάρει, ἀφοῦ χορτάσει, θά προσευχηθεῖ στόν Κύριο γιά σένα.

Νά ἔχεις ὑποταγμένο τό σῶμα σου μέ πολλές μετάνοιες καί ἀγρυπνίες καί μέ κρυφή ἄσκηση. Νά ἀποκοιμιέσαι καθισμένος. Ἄφησε καί τά καλαθάκια καί καταπιάσου μέ τά κοφίνια. Γιατί ἡ νεανική ὁρμή ἐάν δέν ὑποταχθεῖ μέ κόπο πολύ[32] καί μόχθο, μέ νηστεία καί ἀγρυπνία καί ἐάν δέν παιδαγωγηθεῖ μέ χαμαικοιτία καί ξηροφαγία[33], δέν μπορεῖ νά ξεφύγει ἀπό τόν πειρασμό τῆς πορνείας. Γι᾽ αὐτόν τόν λόγο καί οἱ Πατέρες μας δέν ὅρισαν νά μονάζουν οἱ νέοι σέ κελιά καί σέ τόπους πού ζοῦν οἱ ἀναχωρητές ἀλλά σέ κοινόβιο μᾶλλον νά συνεχίζουν καρτερικά τήν ἀσκητική τους ζωή, ντυμένοι ὄχι μέ ἐνδύματα ἁπαλά ἀλλά τραχιά καί τριμμένα καί νά βρίσκονται σέ πλήρη ἀσφάλεια κάτω ἀπό τήν ἐποπτεία τῶν προεστώτων. Γιατί ἡ ἀργία, ἡ ἄνεση,

ἡμέρας καὶ ὁ ὕπνος οὐ μόνον τὸν τῆς πορνείας δαίμονα ἀλλὰ καὶ τὸν τῆς ἀκηδίας καὶ τὸν τῆς κενοδοξίας καὶ ὑπερηφανίας ἡμῖν ἐπιφέρειν εἰώθασιν.

68. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην λέγων· Τί ποιήσω ὅταν ἀπαντῶ εἰς τὴν ἐκκλησίαν καὶ πολλάκις γίνεται ἀγάπη καὶ κρατοῦσί με; Λέγει αὐτῷ ὁ Γέρων· Κόπον ἔχει τὸ πρᾶγμα. Λέγει οὖν ὁ Ἀβραὰμ ὁ μαθητὴς αὐτοῦ· Ἐὰν γένηται ἀπάντησις ἐν Σαββάτῳ ἢ ἐν Κυριακῇ καὶ πίῃ ἀδελφὸς τρία ποτήρια, μὴ πολύ ἐστι; Λέγει ὁ Γέρων· Ἐὰν οὐκ ἔνι Σατανᾶς, πολὺ οὐκ ἔστιν.

69. Πολλάκις ἔλεγε τῷ ἀββᾷ Σισόῃ ὁ μαθητὴς αὐτοῦ· Ἀββᾶ, ἀνάστα, φάγωμεν. Ὁ δὲ πρὸς αὐτὸν ἔλεγεν· Οὐκ ἐφάγομεν, τέκνον; Ὁ δέ· Οὐχί, πάτερ. Καὶ ἔλεγεν ὁ Γέρων· Εἰ οὐκ ἐφάγομεν, φέρε καὶ ἐσθίομεν.

70. Εἶπέ ποτε ὁ ἀββᾶς Σισόης μετὰ παρρησίας· Θάρσει, ἰδοὺ τριάκοντα ἔτη ἔχω μηκέτι δεόμενος τοῦ Θεοῦ περὶ ἁμαρτίας, ἀλλὰ τοῦτο εὐχόμενος λέγω· Κύριε Ἰησοῦ Χριστέ, σκέπασόν με ἀπὸ τῆς γλώσσης μου· ἕως γὰρ τοῦ νῦν καθ' ἡμέραν πίπτω δι' αὐτῆς ἁμαρτάνων.

71. Ἐγένετό ποτε προσφορὰ εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου καὶ εὑρέθη ἐκεῖ κνίδιον οἴνου καὶ λαβὼν εἷς τῶν Γε-

34. Ἀκηδία: Ἡ ἀκηδία ἐμφανίζεται ὡς ἀνία, ὡς ἀθυμία, ὡς πλήξη, ὡς ἀτονία καί ἀποστροφή πρός τά μοναχικά καθήκοντα. Ὁ ἅγιος Συμεών ὁ Νέος Θεολόγος παρατηρεῖ: «Αὐτούς πού προκόβουν στήν προσευχή ἤ καί αὐτούς πού ἐπιμελοῦνται τήν προσευχή, κυρίως ὁ δαίμονας τῆς ἀκηδίας εἶναι αὐτός πού ὡς ἐπί τό πλεῖστον συνηθίζει νά τούς καταπολεμεῖ».

Καί συνεχίζει: «Ἡ ἀκηδία εἶναι θάνατος τῆς ψυχῆς καί τοῦ νοῦ. Ἐάν θά παραχωροῦσε ὁ Θεός νά ἐνεργήσει ὁ πειρασμός τῆς ἀκηδίας μ' ὅλη τήν δύ-

τό φαγητό δύο φορές τή μέρα καί ὁ ὕπνος μᾶς ἐκθέτουν συνήθως ὄχι μόνον στόν δαίμονα τῆς πορνείας ἀλλά καί τῆς ἀκηδίας[34] καί τῆς κενοδοξίας καί ὑπερηφανείας».

68. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη: «Τί νά κάνω ὅταν βρεθῶ στήν ἐκκλησία καί πολλές φορές στρώνουν τραπέζι καί μέ κρατοῦν;» Τοῦ λέει ὁ Γέροντας: «Ἔχει κόπο τό πράγμα». Ρωτάει τότε ὁ μαθητής του ὁ Ἀβραάμ: «Ἄν ἡ συνάντηση γίνεται ἡμέρα Σάββατο ἤ Κυριακή καί πιεῖ ἕνας ἀδελφός τρία ποτήρια μήπως εἶναι πολύ;» Καί ὁ Γέροντας ἀπαντᾶ: «Ἐάν δέν ὑπάρχει Σατανᾶς, δέν εἶναι πολύ[35]».

69. Πολλές φορές ἔλεγε στόν ἀββᾶ Σισόη ὁ μαθητής του: «Ἀββᾶ, σήκω νά φᾶμε». Κι ἐκεῖνος ρωτοῦσε: «Δέν φάγαμε, παιδί μου;» «Ὄχι, πάτερ» ἀποκρινόταν ὁ μαθητής. Τότε ἔλεγε ὁ Γέροντας: «Ἐάν δέν φάγαμε, φέρε νά φᾶμε».

70. Εἶπε κάποια φορά ὁ ἀββᾶς Σισόης μέ πεποίθηση: «Ἔχε θάρρος. Νά, ἔχω τριάντα χρόνια πού δέν παρακαλῶ τόν Θεό πιά γιά ἁμαρτία, ἀλλά λέω ὅταν προσεύχομαι: Κύριε Ἰησοῦ Χριστέ, φύλαξέ με ἀπό τή γλώσσα μου. Γιατί μέχρι τώρα καθημερινά πέφτω καί ἁμαρτάνω μ' αὐτήν».

71. Ἔγινε κάποτε προσφορά στό ὄρος τοῦ ἀββᾶ Ἀντωνίου καί βρέθηκε ἐκεῖ ἕνα δοχεῖο[36] κρασί. Ἕνας ἀπό τούς

ναμη πού διαθέτει, κανείς ποτέ ἀπό τούς ἀγωνιζομένους δέν θά σωζόταν. Δικό μας ἔργο εἶναι νά ἀντιστεκόμαστε μέ ὅση δύναμη ἔχουμε, καί τοῦ Θεοῦ ἔργο εἶναι μυστικά νά μᾶς σηκώνει καί φανερά νά μᾶς ἀποδεικνύει νικητές ἐναντίον τοῦ πειρασμοῦ». (*Κεφάλαια πρακτικά* 73 καί 74). Βλ. καί *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 126 ὑποσημ. 109.

35. Βλ. Δ ὑποσημ. 21 σελ. 46.

36. Ἡ λέξη τοῦ ἀρχ. κειμένου κνίδιον εἶναι αἰγυπτιακό μέτρο χωρητικό-

ρόντων μικρὸν ἀγγεῖον καὶ ποτήριον ἀπήνεγκε πρὸς τὸν ἀββᾶν Σισόην καὶ ἔδωκεν αὐτῷ καὶ ἔπιεν. Ὁμοίως καὶ δεύτερον καὶ ἐδέξατο· παρέσχεν αὐτῷ καὶ τρίτον καὶ οὐκ ἔλαβε λέγων· Παῦσαι, ἀδελφέ, ἢ οὐκ οἶδας ὅτι ἔστι Σατανᾶς;

72. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην τὸν ἀπὸ τῆς Πέτρας περὶ πολιτείας καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Εἶπε Δανιὴλ ὅτι ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον.

73. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην λέγων· Ἐὰν περιπατῶμεν ὁδῷ καὶ πλανηθῇ ὁ ὁδηγῶν ἡμᾶς, χρεία εἰπεῖν αὐτῷ; Λέγει αὐτῷ ὁ Γέρων· Οὐχί. Λέγει οὖν ὁ ἀδελφός· Ἀλλὰ ἀφῶμεν αὐτὸν πλανῆσαι ἡμᾶς; Λέγει αὐτῷ ὁ Γέρων· Ἐγὼ οἶδα ἀδελφοὺς ὅτι περιεπάτουν καὶ ὁ ὁδηγῶν αὐτοὺς ἐπλανήθη τὴν νύκτα. Ἦσαν δὲ δώδεκα καὶ πάντες ᾔδεισαν ὅτι ἐπλανῶντο καὶ ἠγωνίσατο ἕκαστος τοῦ μὴ εἰπεῖν. Ἡμέρας δὲ γενομένης, μαθὼν ὁ ὁδηγῶν αὐτοὺς ὅτι ἐπλανήθησαν τὴν ὁδόν, λέγει αὐτοῖς· Συγχωρήσατέ μοι ὅτι ἐπλανήθην. Καὶ εἶπον πάντες· Καὶ ἡμεῖς ᾔδειμεν, ἀλλ᾿ ἐσιωπήσαμεν. Ὁ δὲ ἀκούσας ἐθαύμασε λέγων ὅτι· Ἕως θανάτου ἐγκρατεύονται οἱ ἀδελφοὶ τοῦ μὴ λαλεῖν, καὶ ἐδόξασε τὸν Θεόν. Τὸ δὲ μῆκος τῆς ὁδοῦ ἧς ἐπλανήθησαν ἦν μίλια δώδεκα.

τητας, πού τό ὄνομά του τό πῆρε ἀπό τήν πόλη προέλευσής του, τήν Κνίδο.

37. Πέτρα: Ἀρχαία πόλη τῆς Ἰορδανίας στά νότια τῆς Νεκρᾶς θάλασσας, κτισμένη πάνω σέ βράχους, ἀπ᾿ ὅπου πῆρε καί τό ὄνομα Σελά (= βράχος) καί στά ἑλληνικά Πέτρα (βλ. Ἠσ. 42, 11).

Κατά τή χριστιανική περίοδο κάποια κτίρια μεταβλήθηκαν σέ ἐκκλησίες καί ἄλλα σέ καταλύματα ἐρημιτῶν. Μέ τήν ἀραβοκρατία (7ος αἰ.) ἡ πόλη

Γέροντες πῆρε ἕνα λαγηνάκι καί ἕνα ποτήρι, πῆγε στόν ἀββᾶ Σισόη καί τοῦ πρόσφερε καί ἐκεῖνος ἤπιε. Τό ἐπανέλαβε ὁ Γέροντας καί ὁ ἀββᾶς Σισόης τό δέχθηκε. Τοῦ ἔδωσε καί τρίτο ποτήρι ἀλλά δέν τό πῆρε λέγοντάς του: «Σταμάτα, ἀδελφέ. Ἤ δέν γνωρίζεις ὅτι ὑπάρχει Σατανᾶς;»

72. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη τῆς Πέτρας[37] σχετικά μέ τόν βίο τοῦ μοναχοῦ. Καί ὁ Γέροντας τοῦ ἀπάντησε: «Ὁ Δανιήλ εἶπε: Καμιά τροφή πού ἱκανοποιοῦσε τήν ἐπιθυμία μου δέν ἔφαγα[38]».

73. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη: «Ἐάν βρισκόμαστε σέ πορεία καί χάσει τόν δρόμο αὐτός πού μᾶς ὁδηγεῖ, πρέπει νά τοῦ τό ποῦμε;» «Ὄχι» τοῦ ἀπαντᾶ ὁ Γέροντας. Λέει τότε ὁ ἀδελφός: «Καί θά τόν ἀφήσουμε νά μᾶς περιπλανήσει;» «Γνωρίζω ἐγώ ἀδελφούς —παρατήρησε ὁ Γέροντας— πού πεζοποροῦσαν καί ὁ ὁδηγός τους ἔχασε τόν δρόμο μέσ᾿ στή νύκτα. Ἦσαν δώδεκα αὐτοί καί ὅλοι ἤξεραν ὅτι περιπλανιόντουσαν καί ἔκανε ἀγώνα ὁ καθένας νά μή μιλήσει. Ὅταν ξημέρωσε, ἀντιλήφθηκε ὁ ὁδηγός τους ὅτι ἔχασαν τόν δρόμο καί τούς λέει: Συγχωρεῖστε με, ἔχασα τόν δρόμο. Καί τοῦ᾿ παν ὅλοι: Κι ἐμεῖς τό ξέραμε, ἀλλά δέν μιλήσαμε. Θαύμασε αὐτός ὅταν τ᾿ ἄκουσε, καί εἶπε: Ὥστε ἐγκρατεύονται μέχρι θανάτου οἱ ἀδελφοί γιά νά μή μιλήσουν· καί δόξασε τόν Θεό. Καί ὁ δρόμος πού περιπλανήθηκαν ἦταν δώδεκα μίλια».

ἐρημώθηκε, τά ἐρείπια τῆς ὁποίας ἀνακαλύφθηκαν κατά τόν 19ο αἰ.

38. Δαν. 10, 3.

74. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη τοῦ Θηβαίου ὅτι ἔμεινεν εἰς τὸν Καλαμῶνα τοῦ Ἀρσενοήτου. Καὶ ἄλλος Γέρων ἠσθένει εἰς τὴν ἄλλην Λαύραν. Καὶ ὡς ἤκουσεν, ἐθλίβη, ἐπειδὴ δύο-δύο ἐνήστευε καὶ ἦν ἡμέρα ἐν ᾗ οὐκ ἤσθιε· καὶ λέγει τῷ λογισμῷ· Τί ποιήσω; Ἐὰν ἀπέλθω, μήπως ἀναγκάσουσί με οἱ ἀδελφοὶ φαγεῖν· καί, ἐὰν παραμείνω εἰς τὴν αὔριον, μήποτε τελευτήσῃ; Πλὴν τοῦτο ποιῶ· ὑπάγω καὶ οὐκ ἐσθίω. Καὶ οὕτως ἀπῆλθε νῆστις πληρώσας τὴν ἐντολὴν τοῦ Θεοῦ καὶ τὴν διὰ τὸν Θεὸν πολιτείαν αὐτοῦ οὐκ ἔλυσε.

75. Διηγήσατό τις τῶν Πατέρων περὶ τοῦ ἀββᾶ Σισόη τοῦ Καλαμῶνος ὅτι θέλων ποτὲ νικῆσαι τὸν ὕπνον ἐκρέμασεν ἑαυτὸν ἀπὸ τοῦ κρημνοῦ τῆς Πέτρας καὶ ἐλθὼν ἄγγελος ἔλυσεν αὐτὸν καὶ παρήγγειλεν αὐτῷ μηκέτι τοῦτο ποιῆσαι μήτε ἄλλοις παραδοῦναι τὴν τοιαύτην παράδοσιν.

76. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη τοῦ Θηβαίου ὅτι οὐκ ἤσθιεν ἄρτον. Καὶ εἰς τὴν ἑορτὴν τοῦ Πάσχα ἔβαλον αὐτῷ οἱ ἀδελφοὶ μετάνοιαν, ἵνα φάγῃ μετ' αὐτῶν καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ἓν ἔχω ποιῆσαι· ἢ ἄρτου ἔχω μεταλαβεῖν ἢ

39. α. Ὁ Πτολεμαῖος ὁ Β' εἶχε ἱδρύσει πολλές πόλεις πού τίς ἔδωσε τό ὄνομα Ἀρσινόη πρός τιμήν τῆς συζύγου του Ἀρσινόης. Ὁ Καλαμώνας αὐτός βρισκόταν στόν Ἀρσινοΐτη νομό, στήν περιοχή Φαγιούμ, μέ πρωτεύουσα τήν Ἀρσινόη.

β. Θηβαῖοι λέγονταν οἱ κάτοικοι τῆς Θηβαΐδας, περιοχῆς τῆς Νότιας Αἰγύπτου (Ἄνω Αἴγυπτος) μέ πρωτεύουσα τίς Θῆβες πού γνώρισε στήν ἀρχαιότητα μεγάλη πολιτιστική ἐξέλιξη (Λοῦξορ-Καρνάκ). Στίς ἐρήμους τῆς περιοχῆς αὐτῆς ἄνθισε ὁ μοναχισμός. Στήν Ταβεννησία τῆς περιοχῆς αὐτῆς ἵδρυσε καί ὁ ἅγιος Παχώμιος τό κοινόβιό του. Βλ. χάρτη σελ. 4.

74. Ἔλεγαν γιά τόν ἀββᾶ Σισόη τόν Θηβαῖο ὅτι ἔμενε στόν Καλαμώνα τοῦ Ἀρσενοήτου[39]. Καί κάποιος ἄλλος Γέροντας ἦταν ἄρρωστος στήν ἄλλη Λαύρα. Ὅταν τό 'μαθε στενοχωρήθηκε, γιατί νήστευε δύο-δύο καί ἦταν ἡ ἡμέρα πού δέν ἔτρωγε. Καί συλλογίσθηκε: «Τί νά κάνω; Ἐάν πάω, μήπως μέ ἀναγκάσουν οἱ ἀδελφοί νά φάω. Ἄν πάλι τό ἀναβάλω γιά αὔριο, μήν πεθάνει. Ἀλλά θά κάνω τοῦτο· θά πάω καί δέν θά φάω». Ἔτσι λοιπόν πῆγε νηστικός ἐκπληρώνοντας τήν ἐντολή τοῦ Θεοῦ, καί τήν ἄσκηση πού ἔκανε γιά τόν Θεό δέν τήν κατέλυσε.

75. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες γιά τόν ἀββᾶ Σισόη τοῦ Καλαμώνα[40] ὅτι θέλοντας κάποτε νά κατανικήσει τόν ὕπνο, κρέμασε τόν ἑαυτό του ἀπό τόν γκρεμό τῆς Πέτρας. Ἀλλά ἦλθε ἄγγελος, τόν ἔλυσε καί τοῦ παρήγγειλε νά μήν τό ξανακάνει ποτέ αὐτό, οὔτε σέ ἄλλους νά ἀφήσει μιά τέτοια παράδοση.

76. Ἔλεγαν γιά τόν ἀββᾶ Σισόη τόν Θηβαῖο ὅτι δέν ἔτρωγε ψωμί. Καί κατά τή γιορτή τοῦ Πάσχα τοῦ 'βαλαν μετάνοια οἱ ἀδελφοί γιά νά φάει μαζί τους. Τούς εἶπε τότε: «Ἕνα μπορῶ νά κάνω· ἤ θά φάω ψωμί ἤ ὅλο τό φαγητό

40. Ἡ Λαύρα τοῦ Καλαμώνα, προσωνυμία πού προέρχεται ἀπό τά πανύψηλα καλάμια τῆς περιοχῆς, ὑπῆρξε ἡ σημαντικότερη μοναστική ἑστία στήν κοιλάδα τοῦ Ἰορδάνη, βόρεια τῆς Νεκρῆς θάλασσας, πού ἱδρύθηκε μεταξύ τῶν ἐτῶν 452-470 (βλ. χάρτη σελ. 5). Γειτόνευε μέ τήν περίφημη μονή τοῦ ὁσίου Γερασίμου. Ἡ Λαύρα τοῦ Καλαμώνα ἄσκησε μεγάλη πνευματική ἐπίδραση στήν περιοχή καί λόγῳ τῆς καλῆς ὀχυρώσεώς της ὑπῆρξε καταφύγιο γιά τούς μοναχούς τῆς περιοχῆς Χοζιβᾶ καί ἄλλων μονῶν κατά τίς ἀραβικές ἐπιδρομές (614). Τόν 12ο αἰ. ἡ Λαύρα παίρνει καί τήν προσωνυμία τοῦ ὁσίου Γερασίμου, γιατί ἡ ἐν λόγῳ μονή εἶχε ἐρειπωθεῖ.

Ὁ ἀββᾶς Σισόης τοῦ ἀποφθ. 75 εἶναι ὁ τρίτος Σισόης πού ξεχωρίζει ἀπό



Ἡ κοιλάδα τῆς Πέτρας

ὅσα ἐποιήσατε φαγία. Οἱ δὲ εἶπον αὐτῷ· Ἄρτον μόνον φάγε· ὁ δὲ ἐποίησεν οὕτως.

77. Παρέβαλέ ποτε ὁ ἀββᾶς Σιλουανὸς καὶ ὁ μαθητὴς αὐτοῦ Ζαχαρίας εἰς μοναστήριον καὶ ἐποίησαν αὐτοὺς γεύσασθαι μικρὸν πρὸ τοῦ ὁδεῦσαι. Καὶ ἐξελθόντων αὐτῶν εὗρεν ὁ μαθητὴς αὐτοῦ ὕδωρ ἐν τῇ ὁδῷ καὶ ἠθέλησε ποιεῖν καὶ λέγει αὐτῷ ὁ Γέρων· Ζαχαρία, νηστεία σήμερον. Ὁ δὲ λέγει· Οὐκ ἐφάγομεν, πάτερ; Λέγει ὁ Γέρων· Ἐκεῖνο τὸ φαγεῖν τῆς ἀγάπης ἦν· ἡμεῖς δὲ τὴν ἑαυτῶν νηστείαν κρατήσωμεν, τέκνον.

τούς ἄλλους δύο μέ τήν προσωνυμία Σισόης τοῦ Καλαμῶνα ἤ τῆς Πέτρας. Οἱ ἄλλοι δύο εἶναι: Σισόης τῆς Σκήτης (ὁ Μέγας) καί Σισόης ὁ Θηβαῖος (βλ.



Ἡ τοποθεσία Σηλώ ὅπου ὁ Ἰησοῦς τοῦ Ναυῆ ἔστησε γιά πρώτη φορά τή Σκηνή τοῦ Μαρτυρίου

πού μαγειρέψατε». Καί αὐτοί τοῦ εἶπαν: «Ψωμί μόνο φάγε». Καί ἔκανε ἔτσι.

77. Ὁ ἀββᾶς Σιλουανός καί ὁ μαθητής του Ζαχαρίας πῆγαν κάποτε σέ ἕνα μοναστήρι. Καί τούς ἔβαλαν νά φᾶνε κάτι πρίν ἀναχωρήσουν. Ὅταν βγῆκαν ἀπό τό μοναστήρι, ὁ μαθητής του βρῆκε νερό στόν δρόμο καί θέλησε νά πιεῖ. Ὁ Γέροντας ὅμως τοῦ εἶπε: «Ζαχαρία, εἶναι νηστεία σήμερα». Κι αὐτός τοῦ λέει: «Πάτερ, δέν φάγαμε;» «Ἐκεῖνο — ἀπάντησε ὁ Γέροντας— τό φαγητό ἦταν τῆς ἀγάπης. Ἐμεῖς, παιδί μου, ἄς κρατήσουμε τή νηστεία μας».

Μ. Γεροντικόν τόμ. Α΄ σελ. 464 σχετικό βιογρ. σημείωμα.

78. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σερίνου ὅτι πολλὰ εἰργάζετο καὶ δύο παξαμάτια ἤσθιε διὰ παντός. Καὶ ἐλθὼν πρὸς αὐτὸν ὁ ἀββᾶς Ἰὼβ ὁ συμφοιτητὴς αὐτοῦ —καὶ αὐτὸς δὲ μέγας ἀσκητής— εἶπεν αὐτῷ ὅτι εἰς τὸ κελλίον μου φυλάττω τὴν τάξιν μου, ἐὰν δὲ ἐξέλθω, συγκαταβαίνω τοῖς ἀδελφοῖς. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Σερῖνος· Οὐκ ἔστιν αὕτη μεγάλη ἀρετή, ὅταν ἐν τῷ κελλίῳ σου φυλάττῃς τὴν τάξιν σου, ἀλλ' ὅταν ἐκ τοῦ κελλίου σου μᾶλλον ἐξέλθῃς.

79. Παρέβαλόν ποτε Σκητιῶται τῇ ἀμμᾷ Σάρρᾳ. Ἡ δὲ παρέθηκεν αὐτοῖς κανίσκιν. Οἱ δὲ ἀφέντες τὰ καλὰ ἔφαγον τὰ σαπρά. Καὶ εἶπεν αὐτοῖς· Ὄντως Σκητιῶταί ἐστε.

80. Εἶπεν ἡ μακαρία Συγκλητικὴ ὅτι· Δεῖ ἡμᾶς τοὺς τὸ ἐπάγγελμα τοῦτο ἐπανῃρημένους τὴν εἰς ἄκρον σωφροσύνην κατέχειν. Καὶ γὰρ παρὰ τοῖς κοσμικοῖς δοκεῖ σωφροσύνη πολιτεύεσθαι· ἀλλὰ συμπάρεστιν αὐτῇ καὶ ἀφροσύνη διὰ τὸ ταῖς πάσαις ἄλλαις αἰσθήσεσιν ἁμαρτάνειν. Καὶ γὰρ ὁρῶσιν ἀπρεπῶς καὶ γελῶσιν ἀτάκτως.

81. Εἶπε πάλιν· Ὥσπερ τὰ ἰοβόλα θηρία τὰ δριμύτερα τῶν φαρμάκων ἀπελαύνει, οὕτω καὶ λογισμὸν πονηρὸν εὐχὴ μετὰ νηστείας ἐκδιώκει.

82. Εἶπε πάλιν· Μή σε δελεάσῃ ἡ τῶν κατὰ κόσμον πλου-

41. Τή μοναχική τάξη τή συνιστοῦν ὅλα ὅσα ἀποτελοῦν τόν κανόνα τῆς μοναχικῆς ζωῆς. Ἀκριβής τήρηση τῶν νηστειῶν, οἱ προσδιορισμένες ἀκο-

78. Ἔλεγαν γιά τόν ἀββᾶ Σερίνο ὅτι ἐργαζόταν πολύ καί δύο παξιμάδια ἔτρωγε ὅλο-ὅλο. Κάποια μέρα τόν ἐπισκέφθηκε ὁ ἀββᾶς Ἰώβ, ὁ συνασκητής του —καί αὐτός ἦταν μεγάλος ἀσκητής— καί τοῦ λέει: «Ἐγώ στό κελί μου ἐφαρμόζω μέ ἀκρίβεια τή μοναχική μου τάξη[41]. Ἄν ὅμως βγῶ, κάνω συγκατάβαση στούς ἀδελφούς». Τοῦ ἀποκρίνεται τότε ὁ ἀββᾶς Σερίνος: «Αὐτό δέν εἶναι μεγάλη ἀρετή, τό νά κρατᾶς τή μοναχική σου τάξη, ὅταν εἶσαι μέσα στό κελί σου, ἀλλά μᾶλλον ὅταν βγεῖς ἀπ' τό κελί σου».

79. Πῆγαν κάποτε στήν ἀμμᾶ Σάρρα μοναχοί ἀπό τή Σκήτη. Αὐτή τούς παρέθεσε πανέρι μέ φαγώσιμα· ἀλλά ἐκεῖνοι ἄφησαν τά καλά καί ἔφαγαν τά χαλασμένα. Τότε ἡ ἀμμᾶς τούς εἶπε: «Πράγματι εἶστε μοναχοί τῆς Σκήτης».

80. Εἶπε ἡ μακαρία Συγκλητική: «Ἐμεῖς πού ἀναλάβαμε αὐτή τήν ἀποστολή (τῆς μοναχικῆς καθιερώσεως), πρέπει νά κατέχουμε τήν ἄκρα σωφροσύνη. Βέβαια καί στούς κοσμικούς φαίνεται νά ὑπάρχει σωφροσύνη ἀλλά συνυπάρχει μ' αὐτήν καί ἀφροσύνη, γιατί μ' ὅλες τίς ἄλλες αἰσθήσεις ἁμαρτάνουν. Καί μάλιστα βλέπουν ἄπρεπα καί γελοῦν ἄτακτα».

81. Εἶπε ἐπίσης: «Ὅπως τά θανατηφόρα θηρία τά διώχνει τό πιό ἰσχυρό φαρμάκι, ἔτσι καί τούς ἁμαρτωλούς λογισμούς τούς ἀπομακρύνει ἡ προσευχή πού συνοδεύεται μέ τή νηστεία».

82. Εἶπε πάλιν: «Μή σέ ἐξαπατήσει ἡ καλοπέραση τῶν

λουθίες (συνάξεις), ὁ προσωπικός κανόνας ὡς εὐχή, μετάνοιες, μελέτη, ἄσκηση σιωπῆς, τήρηση τοῦ νοός κλπ.

σίων τρυφὴ ὡς χρήσιμόν τι ἔχουσα. Ἡδονῆς ἕνεκα ἐκεῖνοι τὴν ὀψαρτυτικὴν τιμῶσι τέχνην. Νηστείᾳ καὶ αὐτὸς διὰ τῶν εὐτελῶν τὴν ἐκείνων εὐπορίαν τῶν τροφῶν ὑπερβάλλου. Φησὶ γὰρ ἡ Γραφή· Ψυχὴ ἐν πλησμονῇ οὖσα κηρίοις ἐμπαίζει. Μὴ κορεσθῇς ἄρτου καὶ οὐκ ἐπιθυμήσεις οἴνου.

83. Εἶπεν ὁ ἀββᾶς Τιθόης ὅτι· Ξενιτεία ἐστὶ τὸ κρατῆσαι ἄνθρωπον τὸ ἑαυτοῦ στόμα.

84. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Τιθόην ὅτι· Πῶς φυλάξω τὴν καρδίαν μου; Λέγει αὐτῷ ὁ Γέρων· Πῶς φυλάξωμεν τὴν καρδίαν ἡμῶν ἀνεωγμένης τῆς γλώσσης ἡμῶν καὶ τῆς κοιλίας;

85. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· Ὥσπερ ὁ λέων φοβερός ἐστι τοῖς ὀνάγροις, οὕτω μοναχὸς δόκιμος λογισμοῖς ἡδυπαθείας.

86. Εἶπε πάλιν· Ἡ νηστεία χαλινός ἐστι τῷ μοναχῷ κατὰ τῆς ἁμαρτίας· ὁ ῥίπτων αὐτήν, ἵππος θηλυμανὴς εὑρίσκεται.

87. Εἶπε πάλιν· Ὁ μὴ κρατῶν γλώσσης αὐτοῦ ἐν καιρῷ ὀργῆς, οὐδὲ παθῶν ὁ τοιοῦτος κρατήσει ποτέ.

88. Εἶπε πάλιν· Καλὸν φαγεῖν κρέα καὶ πιεῖν οἶνον καὶ

---

42. Παροιμ. 27, 7.
43. Βλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 40-41 ὑποσημ. 7.

πλουσίων κατά κόσμον, σάν νά ἔχει κάτι τό χρήσιμο. Ἐκεῖνοι γιά πρόσκαιρη εὐχαρίστηση ἔχουν σέ ἐκτίμηση τή μαγειρική τέχνη. Καί ἐσύ νηστεύοντας μέ τό λιτό σου φαγητό νά ὑπερακοντίζεις τή δική τους ἀφθονία στίς τροφές. Γιατί ἡ ἁγία Γραφή λέει: Ψυχή πού ζεῖ μέσ' στήν ἀφθονία, περιφρονεῖ τήν κηρήθρα. Μή χορτάσεις ψωμί καί δέν θά ἐπιθυμήσεις κρασί[42]».

83. Εἶπε ὁ ἀββᾶς Τιθόης: «Ξενητεία[43] εἶναι νά κυριαρχήσει ὁ ἄνθρωπος στό στόμα του».

84. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Τιθόη: «Πῶς νά περιφρουρήσω τήν καρδιά μου;» Κι ὁ Γέροντας τοῦ λέει: «Πῶς νά φυλάξουμε τήν καρδιά μας, ὅταν εἶναι ἀνοικτές ἡ γλώσσα μας καί ἡ κοιλιά μας;»

85. Εἶπε ὁ ἀββᾶς Ὑπερέχιος: «Ὅπως τό λιοντάρι εἶναι φοβερό στούς ἄγριους ὄνους[44], τό ἴδιο εἶναι καί ὁ δοκιμασμένος μοναχός στούς λογισμούς τῆς ἡδυπάθειας[45]».

86. Εἶπε ἐπίσης: «Ἡ νηστεία εἶναι χαλινάρι γιά τόν μοναχό ἐναντίον τῆς ἁμαρτίας. Ὅποιος πετάξει τό χαλινάρι αὐτό, γίνεται σάν ἵππος θηλυμανής[46]».

87. Εἶπε πάλι: «Ἐκεῖνος πού δέν κυριαρχεῖ στή γλώσσα του σέ ὥρα ὀργῆς, αὐτός οὔτε στά πάθη του θά κυριαρχήσει ποτέ».

88. Εἶπε ἀκόμη: «Προτιμότερο εἶναι νά τρώει κανείς

---

44. Παροιμ. 13, 19.
45. Ἡδυπάθεια: ἡ ροπή πρός τήν ἡδονή.
46. Ἰερ. 5, 8.

μὴ φαγεῖν ἐν καταλαλιᾷ σάρκας ἀδελφῶν.

89. Εἶπε πάλιν· Ψιθυρίσας ὁ ὄφις τὴν Εὔαν τοῦ παραδείσου ἐξέβαλε. Τούτῳ οὖν ὅμοιός ἐστι καὶ ὁ καταλαλῶν τοῦ πλησίον. Τὴν γὰρ ψυχὴν τοῦ ἀκούοντος ἀπολλύει καὶ τὴν ἑαυτοῦ οὐ διασῴζει.

90. Εἶπε πάλιν· Ξηρὸν ὑπὸ νηστείας σῶμα μοναχοῦ ψυχὴν ἐκ βυθοῦ ἀνιμᾶται καὶ ξηραίνει ὀχετοὺς ἡδονῶν νηστεία μοναχοῦ.

91. Εἶπε πάλιν· Σώφρων μοναχὸς ἐπὶ τῆς γῆς τιμηθήσεται καὶ ἐν οὐρανοῖς ἐναντίον Ὑψίστου στεφανωθήσεται.

92. Εἶπε πάλιν· Ῥῆμα πονηρὸν μὴ προφερέτω τὸ στόμα σου. Ἄμπελος γὰρ ἀκάνθας οὐ φέρει.

93. Φιλόρωμός τις ὀνόματι γέγονε μοναχὸς δοκιμώτατος. Ἀπετάξατο δὲ ἐν ταῖς ἡμέραις Ἰουλιανοῦ τοῦ δυσωνύμου βασιλέως. Καὶ μετὰ παρρησίας διελέγετο αὐτῷ ὑβρίζων αὐτὸν καὶ ἐλέγχων τὴν μανίαν αὐτοῦ. Ὃν ξυρισθῆναι ἐκέλευσε καὶ ὑπὸ παιδαρίων εὐτόνως κατακοσισθῆναι, ὅστις ἐγκαρτερῶν τῷ πράγματι καὶ χάριτας αὐτῷ ὡμολόγησε. Τούτῳ τῷ γενναίῳ ἐπέθετο ὁ τῆς πορνείας καὶ τῆς γαστριμαργίας πόλεμος, ὅστις σιδηροφορίᾳ τε καὶ ἐγκλεισμῷ καὶ

47. Γεν. 3, 1-5.

κρέας καί νά πίνει κρασί, παρά νά τρώει τίς σάρκες τῶν ἀδελφῶν του μέ τήν καταλαλιά».

89. Εἶπε ὁ ἴδιος: «Τό φίδι μέ ὅσα ψιθύρισε ἔβγαλε τήν Εὔα ἀπό τόν Παράδεισο[47]. Μ' αὐτό λοιπόν μοιάζει κι ἐκεῖνος πού φλυαρεῖ κατά τοῦ πλησίον. Γιατί καί τήν ψυχή αὐτοῦ πού ἀκούει τήν ὁδηγεῖ στήν καταστροφή καί τή δική του τή διακινδυνεύει».

90. Εἶπε πάλι: «Τό λιπόσαρκο ἀπό τή νηστεία σῶμα τοῦ μοναχοῦ ἀνασύρει τήν ψυχή ἀπό τόν βυθό τῆς θάλασσας· καί ξεραίνει τούς ἀγωγούς τῶν ἡδονῶν ἡ νηστεία τοῦ μοναχοῦ».

91. Εἶπε ἀκόμη: «Ὁ σώφρων μοναχός πάνω στή γῆ θά τιμηθεῖ καί στούς οὐρανούς ἐνώπιον τοῦ Ὑψίστου θά στεφανωθεῖ».

92. Εἶπε ἐπίσης: «Λόγο πονηρό νά μήν προφέρει τό στόμα σου· γιατί τό ἀμπέλι δέν παράγει ἀγκάθια».

93. Κάποιος πού ὀνομαζόταν Φιλόρωμος ἔγινε μοναχός πολύ ἄξιος. Ἡ ἀποχώρησή του ἀπό τήν κοσμική ζωή ἔγινε ἐπί τῆς βασιλείας τοῦ Ἰουλιανοῦ τοῦ κακόφημου βασιλιᾶ, στόν ὁποῖο μιλοῦσε μέ παρρησία, προσβάλλοντάς τον καί ἐλέγχοντας τήν παραφροσύνη του. Γι' αὐτό (ὁ βασιλιάς) διέταξε νά τοῦ ξυρίσουν τό κεφάλι καί νά τόν ξυλοκοπήσουν κάποιοι νέοι. Στή δοκιμασία αὐτή ἔδειξε μεγάλη καρτερία καί μάλιστα ἐξέφρασε τήν εὐγνωμοσύνη του στόν βασιλιά. Αὐτόν λοιπόν τόν γενναῖο τόν βρῆκε ὁ πειρασμός τῆς πορνείας καί τῆς γαστριμαργίας· καί ἀσκώντας δεκαοκτώ χρόνια τήν ἐγκράτεια, φορώντας σί-

ἀποχῇ βρωμάτων καὶ σιτίνου ἄρτου καὶ ἁπαξαπλῶς πάντων τῶν ἑψομένων διὰ πυρός, ἐπὶ δέκα καὶ ὀκτὼ ἔτη ἀσκήσας τὴν ἐγκράτειαν, ἐνίκησε τὸν διάβολον. Ἔλεγε δὲ οὗτος ὁ μακάριος, ὅτι ἐπὶ τριάκοντα καὶ δύο ἔτη οὐδὲ μιᾶς ὀπώρας ἡψάμην. Δειλίας δέ με, φησί, πολεμησάσης ποτὲ εἰς ἄκρον ὡς καὶ αὐτὴν τὴν ἡμέραν ἐκφοβεῖν με, μνήματι ἑαυτὸν ἐγκαθεῖρξα ἐπὶ ἓξ ἔτη καὶ ταύτης περιεγενόμην τὸν ἐξ ἐπαφῆς πόλεμον πολεμήσας μετὰ τοῦ πνεύματος τοῦ τὴν δειλίαν μοι ἐπάγοντος.

94. Ἦσαν δύο ἀδελφοὶ γειτνιῶντες ἀλλήλοις καὶ ὁ εἷς ἐξ αὐτῶν ἔκρυπτεν εἴ τι εἶχεν, εἴτε κέρμα, εἴτε ψωμία καὶ ἐνέβαλεν εἰς τὰ τοῦ πλησίον αὐτοῦ καὶ οὐκ ᾔδει ὁ ἄλλος ἀλλ' ἐθαύμαζεν ὅτι ἐπληθύνοντο τὰ αὐτοῦ. Μιᾶς οὖν τῶν ἡμερῶν ἔφθασεν αὐτὸν αἰφνιδίως τοῦτο ποιοῦντα· καὶ ἔβαλε μάχεσθαι μετ' αὐτοῦ λέγων ὅτι· Διὰ τὰ σαρκικά σου ἐσύλησάς μου τὰ πνευματικά. Καὶ ἀπῄτει αὐτὸν λόγον, ἵνα μηκέτι τοῦτο ποιήσῃ καὶ οὕτως αὐτῷ συνεχώρησεν.

95. Ἔλεγον περί τινος Γέροντος εἰς τὰ Κελλία ὅτι περικεκλεισμένος ἦν μηδὲ εἰς τὴν ἐκκλησίαν ἀνερχόμενος. Εἶχε δὲ σαρκικὸν ἀδελφὸν εἰς ἄλλο κελλίον καθήμενον καὶ ἠσθένησε· καὶ ἔπεμψε πρὸς αὐτόν, ἵνα ἴδῃ αὐτὸν πρὸ τοῦ ἐξελθεῖν ἐκ τοῦ σώματος· καὶ εἶπεν ὅτι οὐ δύναμαι ἐλθεῖν, ὅτι σαρκικός μου ἀδελφός ἐστιν. Πάλιν ἔπεμψε λέγων· Κἂν τὴν νύκτα δεῦρο, ἵνα σε ἴδω. Ὁ δὲ εἶπεν· Οὐ δύναμαι, εἰ δὲ μή, οὐχ εὑρίσκεται ἡ καρδία μου καθαρὰ πρὸς τὸν Θεόν. Καὶ ἐκοιμήθη καὶ οὐκ εἶδον ἀλλήλους.

---

48. Ἡ συμπεριφορά τοῦ μοναχοῦ ἐδῶ πρός τόν ἀδελφό του συνιστᾶ μιά ἀπό τίς μοναχικές ἀσκήσεις τῆς ἀποταγῆς πού ὑποσχέθηκε. Βλ. σχετικά Δ 57 ὑποσημ. 25 σελ. 50.

δερα, μένοντας ἔγκλειστος, ἀπέχοντας ἀπό τροφές καί τό σταρένιο ψωμί καί γενικά ἀπ' ὅλα ὅσα ψήνονται σέ φωτιά, νίκησε τόν διάβολο.

Ἔλεγε λοιπόν αὐτός ὁ μακάριος: «Τριανταδυό χρόνια δέν ἄγγιξα οὔτε ἕνα φροῦτο. Κι ὅταν κάποτε μέ πολέμησε μιά ὑπερβολική δειλία, ὥστε καί τήν ἡμέρα νά φοβοῦμαι, περιόρισα τόν ἑαυτό μου σ' ἕνα μνῆμα γιά ἕξι χρόνια καί τή νίκησα, ἀφοῦ πολέμησα στῆθος μέ στῆθος μέ τό πονηρό πνεῦμα πού μοῦ ἔφερνε τή δειλία».

94. Ἦσαν δύο ἀδελφοί πού γειτόνευαν· ὁ ἕνας ἀπ' αὐτούς ἔκρυβε ὅ,τι τύχαινε νά ἔχει, εἴτε νόμισμα εἴτε ψωμάκια, καί τά ἔβαζε μέσα στά πράγματα τοῦ γείτονα ἀδελφοῦ. Ὁ ἄλλος δέν τό ἤξερε αὐτό καί ἀποροῦσε γιατί πλήθαιναν τά δικά του. Μιά μέρα λοιπόν τόν ἔπιασε ξαφνικά τήν ὥρα πού τό ἔκανε. Καί ἄρχισε νά φιλονικεῖ μαζί του λέγοντάς του: «Ἐξαιτίας τῶν ὑλικῶν σου μέ ἀπογύμνωσες ἀπό τά πνευματικά». Καί ζητοῦσε τήν ὑπόσχεσή του γιά νά μήν τό κάνει στό ἑξῆς πιά καί ἔτσι τόν συγχώρησε.

95. Ἔλεγαν γιά κάποιον Γέροντα πού ἔμενε στά Κελλία ὅτι ἦταν ἔγκλειστος καί δέν ἔβγαινε οὔτε γιά νά πάει στήν ἐκκλησία. Εἶχε ἕναν κατά σάρκα ἀδελφό ὁ ὁποῖος ἀσκήτευε σέ ἄλλο κελί καί ἀρρώστησε. Ἔστειλε λοιπόν μήνυμα στόν ἀδελφό του, γιά νά τόν δεῖ, πρίν ἀποχωρήσει ἀπό τό σῶμα. Κι ἐκεῖνος εἶπε: «Δέν μπορῶ νά 'ρθῶ, γιατί εἶσαι σαρκικός μου ἀδελφός». Τοῦ μηνάει ξανά: «Τουλάχιστον, ἔλα τή νύκτα νά σέ δῶ». Καί τοῦ ἀπαντάει: «Δέν μπορῶ· ἄν τό κάνω, δέν θά εἶναι ἡ καρδιά μου καθαρή ἐνώπιον τοῦ Θεοῦ». Καί πέθανε καί δέν εἶδαν ὁ ἕνας τόν ἄλλο[48].

96. Παρέβαλέ τις τῶν ἐπισκόπων κατ' ἐνιαυτὸν εἰς Σκῆτιν πρὸς τοὺς Πατέρας. Καὶ ἀπαντήσας αὐτῷ ἀδελφὸς ἤνεγκεν αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ καὶ παραθεὶς αὐτῷ ἄρτον καὶ ἅλας ἔλεγε· Συγχώρησόν μοι, κύρι, ὅτι οὐδὲν ἄλλο ἔχω παραθεῖναί σοι. Λέγει αὐτῷ ὁ ἐπίσκοπος· Θέλω ἵνα καὶ εἰς τὸ ἐρχόμενον ἔτος εἰσελθὼν μήτε ἅλας εὕρω.

97. Ἔλεγέ τις τῶν ἀδελφῶν ὅτι ἐγένετο ζήτησις ἐν τῇ Λαύρᾳ τῆς Αἰγύπτου καὶ ἐλάλησαν πάντες οἱ μεγάλοι καὶ οἱ μικροί. Εἷς δὲ μόνος οὐκ ἐλάλησε. Καὶ ἐξελθόντων αὐτῶν ἠρώτησεν αὐτὸν εἷς ἀδελφὸς λέγων· Πῶς σὺ οὐκ ἐλάλησας; Ὁ δὲ βιασθεὶς ὑπὸ τοῦ ἀδελφοῦ εἶπεν αὐτῷ· Συγχώρησόν μοι, ὅτι εἶπον τῷ λογισμῷ μου· Ἐὰν μὴ λαλήσῃ τὸ ἐμβρίμιον τὸ ὑποκάτω μου μηδὲ σὺ λαλήσῃς, καὶ οὕτως ἔμεινα μὴ φθεγγόμενος.

98. Ἐσθιόντων ποτὲ τῶν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ τῶν Κελλίων ἐν τῇ ἑορτῇ τοῦ Πάσχα ἔδωκαν ἀδελφῷ ποτήριον οἴνου καὶ ἠνάγκασαν αὐτὸν πιεῖν. Ὁ δὲ λέγει αὐτοῖς· Συγχωρήσατέ μοι, πατέρες, ὅτι καὶ πέρυσιν οὕτω μοι ἐποιήσατε καὶ ἔπιον ἓν ποτήριον καὶ ἐθλίβην ἐπὶ πολὺν χρόνον.

99. Καταβαίνοντός ποτε Γέροντος ἐν Σκήτει συνώδευσεν αὐτῷ τις ἀδελφός. Καὶ ὡς ἦλθον χωρισθῆναι ἀπ' ἀλλήλων λέγει αὐτῷ ὁ Γέρων· Γευσώμεθα ὁμοῦ, ἀδελφέ. Καὶ ἐγεύσαντο. Ἦν δὲ πρωὶ καὶ ἀρχὴ τῆς ἑβδομάδος. Ὀρθρίσας δὲ ὁ Γέρων τῷ Σαββάτῳ ἦλθε πρὸς τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ· Ἆρα ἐπείνασας, ἀδελφέ, ἀφ' ὅτε ἐφάγομεν; Λέγει αὐτῷ ὁ ἀδελφός· Οὐχί, καθ' ἡμέραν γὰρ ἐσθίων οὐ πεινῶ. Ἔφη αὐτῷ

49. Βλ. Δ ὑποσημ. 21 σελ. 46.

96. Κάποιος ἐπίσκοπος ἐπισκεπτόταν κάθε χρόνο τούς Πατέρες στή Σκήτη. Τόν συνάντησε λοιπόν ἕνας ἀδελφός καί τόν πῆγε στό κελί του. Τοῦ παρέθεσε ψωμί καί ἁλάτι λέγοντάς του: «Συγχώρα με, δέσποτα, τίποτε ἄλλο δέν ἔχω νά σοῦ προσφέρω». Καί τοῦ λέει ὁ Ἐπίσκοπος: «Θέλω, καί τοῦ χρόνου ἄν ἔρθω στό κελί σου, μήτε ἁλάτι νά βρῶ».

97. Ἔλεγε κάποιος ἀδελφός ὅτι ἔγινε συζήτηση πάνω σέ κάποιο θέμα στή Λαύρα τῆς Αἰγύπτου καί μίλησαν ὅλοι, καί οἱ μεγάλοι καί οἱ μικροί. Ἕνας μόνο δέν μίλησε. Ὅταν βγῆκαν ἔξω, τόν ρώτησε κάποιος ἀδελφός: «Πῶς ἐσύ δέν μίλησες;» Κι ἐπειδή τόν πίεζε ὁ ἀδελφός, τοῦ λέει: «Συγχώρα με, εἶπα στόν λογισμό μου: Ἐάν δέν μιλήσει τό στρωσίδι πού κάθομαι πάνω του, οὔτε σύ νά μιλήσεις. Κι ἔτσι ἔμεινα χωρίς νά μιλήσω».

98. Ὅταν ἔτρωγαν κάποτε οἱ ἀδελφοί στήν ἐκκλησία τῶν Κελλίων κατά τή γιορτή τοῦ Πάσχα, ἔδωσαν σ' ἕναν ἀδελφό ἕνα ποτήρι κρασί καί τόν ἀνάγκασαν νά τό πιεῖ. Κι' αὐτός τούς εἶπε: «Συγχωρεῖστε με, πατέρες, καί πέρσυ τό ἴδιο μοῦ κάνατε καί ἤπια ἕνα ποτήρι, ἀλλά εἶχα θλίψη μέσα μου γιά πολύν καιρό[49]».

99. Κάποτε κατέβαινε ἕνας Γέροντας στή Σκήτη καί τόν συνόδευσε κάποιος ἀδελφός. Ὅταν ἔφτασε ἡ ὥρα νά χωρίσουν μεταξύ τους, τοῦ λέει ὁ Γέροντας: «Ἄς φᾶμε μαζί, ἀδελφέ». Καί ἔφαγαν. Ἦταν πρωί καί ἀρχή τῆς ἑβδομάδος.

Σάν ἔφτασε τό Σάββατο, πολύ πρωί ὁ Γέροντας πῆγε στόν ἀδελφό καί τοῦ λέει: «Μήπως πείνασες, ἀδελφέ, ἀπό τότε πού φάγαμε;» Καί τοῦ ἀπαντᾶ: «Ὄχι, γιατί τρώγω κάθε μέρα καί δέν πεινῶ». Κι ὁ Γέροντας τοῦ εἶπε: «Εἰλικρι-

ὁ Γέρων· Φύσει ἐγώ, τέκνον, ἀπὸ τότε οὐκ ἔφαγον καὶ πεινῶ. Ἀκούσας δὲ ὁ ἀδελφὸς κατενύγη καὶ πολλὰ ὠφελήθη.

100. Εἶπε Γέρων ὅτι· Εἴκοσιν ἔτη ἔμεινα πρὸς ἕνα λογισμὸν πολεμῶν, ἵνα πάντας ἀνθρώπους ὡς ἕνα βλέπω.

101. Ἐγένετό ποτε ἑορτὴ ἐν Σκήτει καὶ ἔδωκαν Γέροντι ποτήριον οἴνου· καὶ ἀποστρέψας αὐτὸ εἶπεν· Ἄρατε ἀπ' ἐμοῦ τὸν θάνατον τοῦτον. Ἰδόντες δὲ καὶ οἱ λοιποὶ οἱ συνεσθίοντες αὐτῷ οὐδὲ αὐτοὶ ἐδέξαντο.

102. Ἐπείνασέ τις ἀδελφός ποτε ἀπὸ πρωῒ καὶ ἐπολέμησε μετὰ τοῦ λογισμοῦ αὐτοῦ μὴ φαγεῖν, ἕως οὗ γένηται τρίτη ὥρα. Καὶ γενομένης τρίτης ἐβιάσατο, ἕως γένηται ἕκτη ὥρα. Καὶ γενομένης ἕκτης ὥρας βρέξας τοὺς ἄρτους ἐκάθησε φαγεῖν καὶ πάλιν ἀνέστη λέγων τῷ λογισμῷ· Μείνωμεν ἕως ἐνάτης ὥρας. Καὶ ἐγένετο ἐνάτη καὶ ποιήσας εὐχὴν εἶδε τὴν ἐνέργειαν ὡς καπνὸν ἀναβαίνουσαν εἰς τὸν οὐρανὸν ἐκ τοῦ ἐργοχείρου καὶ ἐπαύσατο ἡ πεῖνα ἐξ αὐτοῦ.

103. Διηγήσατό τις μαθητὴς περὶ τοῦ ἀββᾶ αὐτοῦ ὅτι ἐν ὅλοις εἴκοσιν ἔτεσιν οὐκ ἐκοιμήθη ἐπὶ πλευρᾶς αὐτοῦ, ἀλλ' εἰς τὸ κάθισμα αὐτοῦ εἰς ὃ εἰργάζετο ἐκεῖ ἐκάθευδε καθήμενος. Ἤσθιε δὲ ἢ διὰ δύο ἢ διὰ τεσσάρων ἢ διὰ πέντε ἡμερῶν· οὕτως ἐπὶ εἴκοσιν ἔτεσιν. Ὅτε δὲ ἤσθιεν, ἡ μία αὐτοῦ χεὶρ ἐκτεταμένη ἦν εἰς προσευχὴν καὶ τῇ ἄλλῃ ἤσθιε.

50. Βλ. Δ ὑποσημ. 21 σελ. 46.

νά, παιδί μου, ἀπό τότε δέν ἔφαγα καί πεινῶ». Ὅταν τ' ἄκουσε ὁ ἀδελφός ἦλθε σέ κατάνυξη καί ὠφελήθηκε πολύ.

100. Εἶπε ἕνας Γέροντας: «Εἴκοσι χρόνια ἐπέμεινα πολεμώντας ἕνα λογισμό, νά βλέπω δηλαδή ὅλους τούς ἀνθρώπους σάν ἕναν».

101. Ἔγινε κάποτε γιορτή στή Σκήτη καί πρόσφεραν σέ κάποιον Γέροντα ἕνα ποτήρι κρασί. Τό ἐπέστρεψε ὅμως λέγοντας: «Πάρτε ἀπό μένα τόν θάνατο αὐτόν». Τό εἶδαν καί οἱ ἄλλοι ὁμοτράπεζοι καί οὔτε αὐτοί δέχθηκαν νά πιοῦν[50].

102. Κάποια φορά ἕνας ἀδελφός πείνασε ἀπό τό πρωί καί πολέμησε μέ τόν λογισμό του νά μή φάει ὥς τίς ἐννιά[51]. Ἔγινε ἐννιά, ἀλλά κατέβαλε προσπάθεια, ἕως ὅτου γίνει δώδεκα. Καί ὅταν ἔγινε δώδεκα, ἔβρεξε τό ψωμί καί κάθισε νά φάει ἀλλά καί πάλι σηκώθηκε λέγοντας στόν λογισμό του: Ἄς περιμένουμε ὥς τίς τρεῖς. Καί στίς τρεῖς ἀφοῦ ἔκανε τήν προσευχή του, εἶδε τήν ἐνέργεια (τοῦ διαβόλου) νά βγαίνει ἀπ' τό ἐργόχειρό του καί νά ἀνεβαίνει σάν καπνός στόν οὐρανό· καί ἔτσι ἔλαβε τέλος σ' αὐτόν τό αἴσθημα τῆς πείνας.

103. Διηγήθηκε κάποιος μαθητής γιά τόν Γέροντά του ὅτι εἴκοσι ὁλόκληρα χρόνια δέν ἔγειρε στό πλευρό νά κοιμηθεῖ ἀλλά στό κάθισμά του, πάνω στό ὁποῖο δούλευε, ἐκεῖ κοιμόταν καθισμένος. Καί ἔτρωγε κάθε δύο ἤ κάθε τέσσερες ἤ κάθε πέντε ἡμέρες· ἔτσι ἔκανε ἐπί εἴκοσι χρόνια. Καί τήν ὥρα πού ἔτρωγε, τό ἕνα του χέρι ἦταν ὑψωμένο γιά προσευχή καί μέ τό ἄλλο ἔτρωγε. Καί ὅταν τοῦ εἶπα, «τί

51. Γιά τή βυζαντινή ὥρα βλ. Δ ὑποσημ. 3 σελ. 20.

Κἀμοῦ δὲ εἰπόντος αὐτῷ· Τί ἐστι τοῦτο, διὰ τί οὕτω ποιεῖς, ἀββᾶ; Ἀπεκρίνετο πρός με ὅτι· Τὸ κρῖμα τοῦ Θεοῦ τίθημι πρὸ ὀφθαλμῶν μου καὶ οὐ δύναμαι καρτερῆσαι. Ἐγένετο δέ ποτε βαλλόντων ἡμῶν σύναξιν, ἔλαθέ με καὶ ἐπλανήθην λόγον ἀπὸ τοῦ ψαλμοῦ· καὶ ὡς ἐτελέσαμεν τὴν σύναξιν, ἀποκριθεὶς ὁ Γέρων εἶπεν· Ἐγὼ ὅταν βάλω σύναξιν, ὡς πῦρ ἡγοῦμαι ὑποκάτω μου καιόμενον καὶ οὐ δύναται ὁ λογισμός μου ἐκκλῖναι δεξιὰ ἢ ἀριστερά. Καὶ ποῦ ἦν ὁ λογισμός σου, ὅταν ἐβάλομεν τὴν σύναξιν, ὅτι ἔλαθέ σε ὁ λόγος τοῦ ψαλμοῦ; Οὐκ οἶδας ὅτι ἐνώπιον τοῦ Θεοῦ ἕστηκας καὶ τῷ Θεῷ ἐλάλεις;

104. Ἐξῆλθε δέ ποτε ὁ Γέρων ἐν νυκτὶ καὶ εὗρέ με κοιμώμενον εἰς τὴν αὐλὴν τοῦ κελλίου. Καὶ ἔστη ὁ Γέρων θρηνῶν με καὶ κλαίων ἔλεγεν· Ἆρα ποῦ ἐστιν ὁ λογισμὸς τούτου ὅτι οὕτω καθεύδει μετὰ ἀμεριμνίας;

105. Ἠνέχθη εἰς τὰ Κελλία σαΐτης οἴνου εἰς ἀπαρχήν, ἵνα δοθῇ τοῖς ἀδελφοῖς πρὸς ποτήριον. Καὶ θελήσαντός τινος ἀδελφοῦ ἐπὶ τὸν θόλον φυγεῖν, ἔπεσεν ὁ θόλος. Καὶ ἀπελθόντες διὰ τὸν ψόφον εὗρον αὐτὸν ἐρριμμένον καὶ ἤρξαντο αὐτὸν ἀτιμάζειν λέγοντες· Κενόδοξε, καλῶς σοι ἐγένετο. Καὶ προσελάβετο αὐτὸν ὁ ἀββᾶς λέγων· Ἄφετε τὸν υἱόν μου, καλὸν ἔργον ἐποίησε. Καὶ ζῇ Κύριος, οὐ μὴ οἰκοδο-

52. Ὑδρία μέ τό ὄνομα σαΐτης τοῦ ἀρχ. κειμένου ἦταν καί μονάδα μετρήσεως πού ἀντιστοιχοῦσε σέ 22 ξέστες. Ἐάν ὑπολογίσουμε μέ βάση τόν ἀττικό ξέστη πού ἦταν περίπου 0,4 λ., οἱ 22 ξέστες πού προσφέρθηκαν ἦταν περίπου 9 λίτρα. Βλ. καί Δ ὑποσημ. 7 σελ. 26.

53. Θόλος: κτίσμα στρογγυλό μέ κωνική στέγη. Συνηθίζονταν τέτοιοι θόλοι σέ ὑπαίθριους χώρους πού χρησίμευαν ὡς ἀποθῆκες ζωοτροφῶν, μαγειρικῶν σκευῶν κλπ. Φαίνεται ὅτι σ' ἕναν τέτοιο θόλο, ἴσως πρόχειρης κατα-

συμβαίνει, γιατί κάνεις ἔτσι, Γέροντα;», μοῦ ἀπάντησε: «Τήν κρίση τοῦ Θεοῦ ἔχω μπροστά στά μάτια μου καί δέν μπορῶ νά τήν ἀντέξω». Καί κάποτε ὅταν ἀρχίσαμε τήν ἀκολουθία, μοῦ διέφυγε καί εἶπα λάθος κάποια λέξη τοῦ ψαλμοῦ. Μόλις τελειώσαμε, μοῦ λέει ὁ Γέροντας: «Ἐγώ ὅταν ἀρχίζω τήν ἀκολουθία, νιώθω σάν νά καίει ἀπό κάτω μου φωτιά καί δέν μπορεῖ ὁ λογισμός μου νά πάει πρός τά δεξιά ἤ τ' ἀριστερά. Ποῦ ἦταν λοιπόν ὁ λογισμός σου, ὅταν ἀρχίσαμε τήν ἀκολουθία καί μπέρδεψες τόν λόγο τοῦ ψαλμοῦ; Μήπως δέν ἤξερες ὅτι στέκεσαι μπροστά στόν Θεό καί στόν Θεό μιλοῦσες;»

104. Βγῆκε ἔξω κάποια φορά ὁ Γέροντας τή νύκτα καί μέ βρῆκε νά κοιμᾶμαι στήν αὐλή τοῦ κελιοῦ. Καί ἄρχισε ὁ Γέροντας νά μέ θρηνεῖ καί ἔλεγε κλαίοντας: «Ἄραγε ποῦ βρίσκεται ὁ λογισμός του καί κοιμᾶται τόσο ἀμέριμνα;»

105. Ἔφεραν στά Κελλία, σάν ἀπαρχή τῆς καινούριας σοδιᾶς, μιά ὑδρία[52] γεμάτη κρασί, γιά νά προσφερθεῖ στούς ἀδελφούς ἀπό ἕνα ποτήρι. Καί καθώς ἕνας ἀδελφός ἐπιχειροῦσε νά καταφύγει στόν θόλο[53], ἔπεσε ὁ θόλος. Ἔτρεξαν ἀμέσως μέ τόν πάταγο πού ἀκούστηκε καί τόν βρῆκαν αὐτόν πεσμένο καί ἄρχισαν νά τόν καταφρονοῦν λέγοντας: «Κενόδοξε, καλά σοῦ ἔγινε». Τόν πῆρε τότε πρός τό μέρος του ὁ ἀββᾶς λέγοντας: «Ἀφῆστε τόν γιό μου, καλό ἔργο ἔκανε. Καί ζεῖ ὁ Κύριος[54]. Δέν θά χτιστεῖ ὁ θόλος αὐτός ὅσο

σκευῆς, προσπαθώντας νά κρυφτεῖ ὁ ἀδελφός γιά νά ἀποφύγει τό κρασί ἀπό ἐγκράτεια, ἔπεσε τό κτίσμα.

54. «Ζῇ Κύριος»: εἶναι μιά μορφή ὅρκου πού χρησιμοποιοῦσαν οἱ Προφῆτες τῆς Παλαιᾶς Διαθήκης γιά νά βεβαιώσουν τήν ἀλήθεια τῶν προρρήσεων. Ἐδῶ ὁ ἀββᾶς κυρώνει μέ τό «ζῇ Κύριος» τή φράση πού ἀκολουθεῖ: Οὐ μὴ οἰκοδομηθῇ ὁ θόλος κλπ.

μηθῇ ὁ θόλος οὗτος ἐν τοῖς χρόνοις μου, ἵνα μάθῃ ἡ οἰκουμένη ὅτι διὰ ποτήριον οἴνου ἔπεσεν ὁ θόλος εἰς τὰ Κελλία.

106. Παρέβαλέ τις τῶν Γερόντων ἑτέρῳ Γέροντι. Καὶ εἶπε τῷ μαθητῇ αὐτοῦ· Ποίησον ἡμῖν μικρὸν φακόν. Καὶ ἐποίησε. Καί· Βρέξον ἡμῖν ἄρτον· καὶ ἔβρεξε. Καὶ ἔμειναν ἕως ἕκτης ὥρας τῆς ἑτέρας ἡμέρας λαλοῦντες περὶ πνευματικῶν. Καὶ λέγει τῷ μαθητῇ αὐτοῦ πάλιν· Ποίησον ἡμῖν μικρὸν φακόν, τέκνον. Καὶ λέγει· Ἀπὸ χθὲς ἐποίησα. Καὶ ἀναστάντες ἔφαγον.

107. Ἄλλος τις Γέρων παρέβαλέ τινι τῶν πατέρων. Ὁ δὲ ἑψήσας ὀλίγον φακὸν εἶπεν αὐτῷ· Ποιήσωμεν μικρὰν σύναξιν. Καὶ ἐτέλεσεν ὁ εἷς ὅλον τό Ψαλτήριον καὶ ὁ ἀδελφὸς ἀπεστήθισε τοὺς μεγάλους δύο προφήτας. Καὶ πρωίας γενομένης, ἀνεχώρησεν ὁ παραβαλὼν Γέρων καὶ τῆς τροφῆς ἐπελάθοντο.

108. Ἠσθένησέ τις τῶν Γερόντων καὶ μὴ δυνάμενος δέξασθαι τροφὴν ἐπὶ πολλὰς ἡμέρας, παρεκαλεῖτο ὑπὸ τοῦ ἰδίου μαθητοῦ ὥστε γενέσθαι αὐτῷ μικρὸν λακεντίον. Ἀπελθὼν δὲ ἐποίησε καὶ ἤνεγκεν αὐτῷ φαγεῖν. Ἦν δὲ ἐκεῖ ἀγγεῖον κρεμάμενον ἔχον μικρὸν μέλι καὶ ἕτερον ἀγγεῖον ἔχον μικρὸν ἔλαιον ἀπὸ λινοσπέρμου καὶ ἦν ὄζον, πρὸ χρόνου μένον εἰς λύχνον. Καὶ ἔλαθε τὸν ἀδελφὸν καὶ ἀντὶ μέλιτος ἔβαλεν ἐξ αὐτοῦ εἰς τὸ βρῶμα τοῦ Γέροντος. Γευσάμενος δὲ ὁ Γέρων οὐδὲν ἐλάλησεν ἀλλὰ σιωπῶν ἔφαγεν. Ἠνάγκασε δὲ αὐτὸν καὶ ἄλλο ἅπαξ φαγεῖν καὶ βιασάμενος ἑαυτὸν

55. Οἱ προφῆτες Ἠσαΐας καί Ἰερεμίας θεωροῦνται ὡς δύο ἀπό τούς μεγαλύτερους προφῆτες (ἀπό τόν ὄγκο τῆς συγγραφῆς τους).

56. Ἡ λέξη λακέντιον τοῦ ἀρχ. κειμ. σημαίνει ἀλεύρι σιταρένιο ἀνωτέρας

ζῶ ἐγώ, γιά νά μάθει ὁ κόσμος ὅτι ἐξαιτίας ἑνός ποτηριοῦ κρασιοῦ ἔπεσε ὁ θόλος στά Κελλία».

106. Κάποιος ἀπό τούς Γέροντες ἐπισκέφθηκε ἄλλον Γέροντα, ὁ ὁποῖος εἶπε στόν μαθητή του: «Κάνε μας λίγη φακή». Καί ἔκανε. «Μούσκεψε καί ψωμί» καί μούσκεψε. Καί παρέμειναν μιλώντας γιά πνευματικά θέματα ὥς τήν ἕκτη ὥρα τῆς ἄλλης μέρας. Καί λέει στόν μαθητή του πάλι: «Κάνε μας λίγη φακή, παιδί μου». Καί τοῦ ἀπαντᾶ ὁ μαθητής: «Ἀπό χθές τήν ἔκανα». Καί τότε σηκώθηκαν καί ἔφαγαν.

107. Ἕνας ἄλλος Γέροντας ἐπισκέφθηκε κάποιον ἀπό τούς Πατέρες. Αὐτός ἔψησε λίγη φακή καί τοῦ εἶπε: «Ἄς κάνουμε μιά μικρή ἀκολουθία». Καί διάβασε ὥς τό τέλος αὐτός μόνος ὅλο τό ψαλτήρι καί ὁ ἀδελφός εἶπε ἀπό στήθους τούς δύο μεγάλους Προφῆτες[55]. Ξημέρωσε καί ὁ ἐπισκέπτης Γέροντας ἔφυγε καί ξέχασαν τήν τροφή.

108. Ἀρρώστησε κάποιος ἀπό τούς Γέροντες καί ἐπειδή δέν μποροῦσε νά δεχθεῖ τροφή, τόν παρακαλοῦσε πολλές μέρες ὁ μαθητής του νά τοῦ κάνει λίγο κουρκούτι ἀπό σιμιγδάλι[56]. Πράγματι πῆγε, τό ἔκανε καί τοῦ τό ἔφερε νά φάει. Ἀλλά ὑπῆρχε ἐκεῖ κρεμασμένο ἕνα ἀγγεῖο μέ λίγο μέλι μέσα καί ἕνα ἄλλο μέ λίγο λάδι ἀπό λινόσπορο· μύριζε μάλιστα αὐτό, γιατί ἦταν ἀπό πολύ καιρό καί προοριζόταν γιά τό λυχνάρι. Καί ὁ ἀδελφός κατά λάθος ἔβαλε στό φαγητό τοῦ Γέροντα ἀπ᾽ αὐτό ἀντί γιά μέλι.

Ὁ Γέροντας ὅταν τό δοκίμασε, δέν ἔβγαλε μιλιά ἀλλά ἔφαγε σιωπηλός. Ὁ ἀδελφός ἐπέμεινε νά πάρει καί δεύτερη φορά· καί ὁ Γέροντας βιάζοντας τόν ἑαυτό του ἔφαγε.

ποιότητος, ὅπως τό σιμιγδάλι μέ τό ὁποῖο ἔκαναν κουρκούτι.

ἔφαγεν. Ἔδωκε δὲ αὐτῷ καὶ τὸ τρίτον. Ὁ δὲ οὐκ ἠθέλησε φαγεῖν λέγων· Φύσει οὐ δύναμαι, τέκνον. Ὁ δὲ ὡς πρόθυμον αὐτὸν ποιῶν ἔλεγε· Καλόν ἐστιν, ἀββᾶ, ἰδοὺ κἀγὼ τρώγω μετὰ σοῦ. Γευσάμενος δὲ καὶ μαθὼν ὃ ἐποίησεν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ λέγων· Οὐαί μοι, ἀββᾶ, ὅτι ἀπέκτεινά σε καὶ σὺ τὴν ἁμαρτίαν ἔθηκας ἐπ' ἐμὲ ὅτι οὐκ ἐλάλησας. Λέγει ὁ γέρων· Τέκνον, μὴ θλιβῇς, εἰ ἤθελεν ὁ Θεός, ἵνα φάγω μέλι, μέλι εἶχες βαλεῖν.

109. Διηγήσαντο περί τινος Γέροντος ὅτι ἐπεθύμησέ ποτε σικύδιν, ὅπερ λαβὼν ἐκρέμασε πρὸ τῶν ὀφθαλῶν αὐτοῦ καὶ μὴ ἡττηθεὶς τῇ ἐπιθυμίᾳ ἐδάμαζεν ἑαυτὸν μετανοῶν ὅτι κἂν ὅλως ἐπεθύμησεν.

110. Ἀδελφός τις ἀπῆλθεν ἐπισκέψασθαι τὴν ἰδίαν ἀδελφὴν ἐν μοναστηρίῳ ἀσθενοῦσαν. Ἦν δὲ πιστοτάτη καὶ μὴ καταδεχομένη ἰδεῖν ἄνδρα, μηδὲ πάλιν τὸν ἴδιον ἀδελφὸν προφάσει αὐτῆς εἰς μέσον γυναικῶν εἰσελθεῖν. Καὶ ἐδήλωσεν αὐτῷ λέγουσα· Πορεύου, ἀδελφέ μου, εὐχόμενος ὑπὲρ ἐμοῦ καὶ χάριτι Χριστοῦ βλέπω σε ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

111. Μοναχὸς ὑπαντήσας κανονικαῖς κατὰ τὴν ὁδὸν ὑπεχώρησεν ἐκ τῆς ὁδοῦ. Εἶπε δὲ ἡ ἡγουμένη πρὸς αὐτόν· Σύ, εἰ ᾖς τέλειος μοναχός, ἡμῖν ὡς γυναιξὶν οὐκ ἂν προσεῖχες.

Τοῦ δίνει καί τρίτη φορά, ἀλλά δέν θέλησε νά φάγει λέγοντας: «Ἀλήθεια, παιδί μου, δέν μπορῶ». Κι ὁ ἀδελφός γιά νά τοῦ κάνει τή διάθεση, τοῦ λέει: «Ὡραῖο εἶναι, ἀββᾶ μου, νά, κι ἐγώ θά φάω μαζί σου». Μόλις ὅμως τό δοκίμασε καί ἀντιλήφθηκε τί ἔκανε, ἔπεσε μέ τό πρόσωπο στή γῆ λέγοντας: «Ἀλίμονό μου, ἀββᾶ, σέ σκότωσα· καί σύ μοῦ φόρτωσες τήν ἁμαρτία πού δέν μίλησες». Κι ὁ Γέροντας τοῦ λέει: «Παιδί μου, μή θλίβεσαι· ἐάν ἤθελε ὁ Θεός νά φάω μέλι, μέλι θά εἶχες βάλει».

109. Διηγοῦνταν γιά κάποιον Γέροντα ὅτι ἐπεθύμησε κάποτε ἕνα ἀγγουράκι. Τό πῆρε καί τό κρέμασε ἔτσι πού νά τό 'χει μπροστά στά μάτια του. Καί ἐνῶ δέν νικήθηκε ἀπό τήν ἐπιθυμία νά τό φάει, δάμαζε τόν ἑαυτό του μετανοώντας καί μόνο γιατί τό ἐπιθύμησε.

110. Κάποιος ἀδελφός πῆγε νά ἐπισκεφθεῖ τήν ἀδελφή του σέ μοναστήρι πού ἦταν ἄρρωστη. Καί αὐτή ἦταν πάρα πολύ συνεπής[57] καί δέν ἐπέτρεπε στόν ἑαυτό της νά δεῖ ἄνδρα οὔτε πάλι καί ὁ ἀδελφός της ἐξαιτίας της νά βρεθεῖ ἀνάμεσα σέ γυναῖκες.

Καί τοῦ μήνυσε τά ἑξῆς: «Πήγαινε, ἀδελφέ μου, νά προσεύχεσαι γιά μένα καί μέ τή χάρη τοῦ Χριστοῦ θά σέ δῶ στή Βασιλεία τῶν Οὐρανῶν».

111. Ἕνας μοναχός συνάντησε στόν δρόμο μοναχές καί ἔκανε πίσω. Καί τοῦ εἶπε ἡ ἡγουμένη: «Ἐάν ἦσουν τέλειος μοναχός, δέν θά μᾶς ἔβλεπες σάν γυναῖκες».

---

57. Δηλαδή τήν χαρακτήριζε γνήσια μοναχική συνείδηση καί πράξη.

112. Ἀδελφὸς ἦν ὁδεύων μετὰ τῆς ἰδίας μητρὸς γραΐδος τυγχανούσης. Καὶ ὡς ἦλθεν ἐπὶ ποταμὸν οὐκ ἠδυνήθη ἡ γραῦς περᾶσαι. Καὶ λαβὼν ὁ υἱὸς αὐτῆς τὸ μαφόριον αὐτοῦ περιείλισσε τὰς χεῖρας αὐτοῦ, ἵνα μὴ ἅψηται τοῦ σώματος τῆς μητρὸς αὐτοῦ· καὶ οὕτω βαστάσας αὐτὴν ἀπήνεγκεν εἰς τὸ πέραν. Καὶ λέγει αὐτῷ ἡ μήτηρ αὐτοῦ· Τέκνον, διατί ἐτύλιξας τὰς χεῖράς σου; Ὁ δὲ ἔφη· Ὅτι τὸ σῶμα τῆς γυναικὸς πῦρ ἐστι καὶ ἐκ τοῦ πλησιάσαι σοι ἔρχεταί μοι ἄλλης γυναικὸς ἐνθύμησις καὶ διὰ τοῦτο οὕτως ἐποίησα.

113. Ἀδελφὸς εἰς τὰ Κελλία ἤνεγκε τὰ ψωμία αὐτοῦ νεαρὰ καὶ ἐκάλεσε μίαν τράπεζαν Γερόντων ἀσκητῶν. Καὶ ὡς ἔφαγον ἕκαστος πρὸς δύο ψωμία, ἐπαύσαντο. Ὁ δὲ ἀδελφὸς εἰδὼς τὸν πόνον τῆς ἀσκήσεως αὐτῶν ἔβαλε μετάνοιαν λέγων· Διὰ τὸν Κύριον φάγετε σήμερον, ἕως οὗ χορτασθῆτε. Καὶ ἔφαγον πρὸς ἄλλα δέκα παξαμάτια. Ἰδοὺ οὖν παρὰ πόσον τῆς χρείας ἤσθιον οἱ ἀληθινοὶ ἀσκηταί.

114. Ἐκακώθη τις Γέρων ποτὲ ἀσθένειαν μεγάλην, ὥστε τὰ ἐντὸς αὐτοῦ αἷμα πολὺ ἐκβάλλειν. Εὐκαίρησε δέ τινι τῶν ἀδελφῶν μυξάρια ξηρά. Καὶ ποιήσας ἀθήραν ἔβαλεν αὐτὰ κάτω καὶ ἤνεγκε τῷ Γέροντι καὶ παρεκάλει αὐτὸν γεύσασθαι λέγων· Ποίησον ἀγάπην καὶ φάγε, ἴσως γὰρ καὶ ὠφελοῦσί σε. Ἀτενίσας δὲ αὐτῷ ἐπὶ πολὺ ὁ Γέρων εἶπεν· Ἐπ᾽ ἀληθείας ἤθελον, ἵνα ἀφῇ με ὁ Θεὸς ἐν τῇ ἀσθενείᾳ ταύτῃ ἄλλα τριάκοντα ἔτη. Καὶ οὐ κατεδέξατο ὁ Γέρων ἐν

58. Μαφόριον (ὦμος + φέρω, λατινικό maforium) εἶδος μπέρτας πού κάλυπτε τό κεφάλι καί τούς ὤμους.

112. Ἕνας ἀδελφός βάδιζε στόν δρόμο μέ τή μητέρα του πού ἦταν γριά. Ὅταν ἔφθασαν στό ποτάμι, δέν μπόρεσε ἡ γερόντισσα νά τό περάσει. Πῆρε λοιπόν ὁ γιός της τό μαφόρι[58] του καί τό περιτύλιξε στά χέρια του γιά νά μήν ἐγγίσει τό σῶμα τῆς μητέρας του. Καί ἔτσι πιάνοντάς την τήν πέρασε στήν ἀπέναντι ὄχθη. Τοῦ λέει λοιπόν ἡ μητέρα του: «Γιατί, παιδί μου, τύλιξες τά χέρια σου;» Κι ἐκεῖνος εἶπε: «Αὐτό τό ᾽κανα, γιατί τό σῶμα τῆς γυναίκας εἶναι φωτιά· καί πλησιάζοντας ἐσένα μοῦ ἔρχεται ἡ σκέψη γιά ἄλλη γυναίκα».

113. Κάποιος ἀδελφός στά Κελλία ἔφερε τά ψωμάκια του φρέσκα καί κάλεσε ἀσκητές Γέροντες σέ τράπεζα. Κι ὅταν ἔφαγαν ὁ καθένας ἀπό δύο ψωμάκια, σταμάτησαν. Ὁ ἀδελφός ὅμως πού γνώριζε τόν κόπο τῆς ἀσκήσεώς τους, ἔβαλε μετάνοια καί τούς εἶπε: «Χάριν τοῦ Κυρίου, φᾶτε σήμερα ὥσπου νά χορτάσετε». Καί ἔφαγαν ἄλλα δέκα παξιμάδια ὁ καθένας. Νά, λοιπόν, οἱ ἀληθινοί ἀσκηταί πόσο λιγότερο ἔτρωγαν ἀπ᾽ ὅσο χρειαζόταν γιά νά χορτάσουν.

114. Ἕνας Γέροντας ἔπεσε κάποτε σέ σοβαρή ἀσθένεια καί ἔχανε πολύ αἷμα ἀπό τά σπλάχνα του. Σέ κάποιον ἀπό τούς ἀδελφούς βρέθηκαν ξερά δαμάσκηνα. Ἔκανε λοιπόν χυλό ἀπό πληγούρι[59] καί ἔριξε κι αὐτά μέσα. Τά πῆγε στόν Γέροντα καί τόν παρακαλοῦσε νά φάει. «Κάνε ἀγάπη καί φάγε —τοῦ ἔλεγε— μπορεῖ νά σοῦ κάνουν καλό». Ὁ Γέροντας κάρφωσε τό βλέμμα του ἐπάνω στόν ἀδελφό γιά πολλή ὥρα καί εἶπε: «Εἰλικρινά σοῦ μιλῶ, θά ἤθελα νά μέ ἀφήσει ὁ Θεός στήν ἀρρώστια αὐτή ἄλλα τριάντα χρόνια». Καί δέν δέχθηκε ὁ Γέροντας, ἄν καί ἦταν τόσο ἄρρωστος,

59. Βλ. Δ ὑποσημ. 14 καί 15, σελ. 36.

τοιαύτῃ ἀσθενείᾳ κἂν μικρὰν ἀθήραν φαγεῖν. Καὶ λαβὼν αὐτὴν ὁ ἀδελφὸς ἀπῆλθεν εἰς τὸ ἑαυτοῦ κελλίον.

115. Ἄλλος τις Γέρων ἐκάθητο εἰς ἔρημον μακράν. Συνέβη δὲ ἀδελφὸν παραβαλεῖν αὐτῷ καὶ εὗρεν αὐτὸν ἀσθενοῦντα. Καὶ λαβὼν αὐτὸν ἔνιψεν. Καὶ ἐξ ὧν ἤνεγκε χρειῶν ἐποίησε μικρὸν ἑψητὸν καὶ ἤνεγκεν αὐτῷ φαγεῖν. Ἀποκριθεὶς δὲ ὁ Γέρων εἶπε· Φύσει, ἀδελφέ, ἐληθάργησα ὅτι εἶχον οἱ ἄνθρωποι τὴν ἀνάπαυσιν ταύτην. Ἤνεγκε δὲ αὐτῷ καὶ ποτήριον οἴνου καὶ ἰδὼν αὐτὸ ἔκλαυσε λέγων ὅτι· Οὐ προσεδόκησα ἕως τοῦ θανάτου μου πιεῖν οἶνον.

116. Ἤσκησε Γέρων τοῦ μὴ πιεῖν ἡμέρας τεσσαράκοντα. Καὶ εἴ ποτε ἐγένετο καῦμα, ἔπλυνε τὸ βαυκάλιον καὶ ἐγέμιζεν αὐτὸ ὕδατος καὶ ἐκρέμα αὐτὸ ἐναντίον αὐτοῦ. Καὶ ἐρωτηθεὶς παρὰ ἀδελφοῦ δι' ἣν αἰτίαν τοῦτο ποιεῖ, ἀπεκρίθη· Ἵνα μετὰ τοῦ διψᾶν με πλέον κοπιῶ καὶ πλείονα μισθὸν λαμβάνω παρὰ τοῦ Θεοῦ.

117. Εἶπε Γέρων· Χωρὶς κόπου οὐδεὶς κτᾶται ἀρετήν· εἰ δὲ καὶ κτήσηται, οὐ παραμένει αὐτῷ. Τοῖς γὰρ πενθοῦσι

60. Ἡ ἄσκηση καί ἡ ἀρετή τοῦ Γέροντα στό ἀπόφθ. αὐτό ξεπερνᾶ τά κοινά μέτρα. Γι' αὐτό ἐκ πρώτης ὄψεως μοιάζει ὡς ὑπερβολή ἡ ἄρνησή του νά δεχθεῖ φαγητό, γιά νά ἀναρρώσει. Ὅμως ἤδη αὐτός μέ τή θέση πού παίρνει, δείχνει καθαρά ὅτι ζοῦσε στή σφαίρα τῆς χάριτος τοῦ Θεοῦ καί ἀπολάμβανε οὐρανίων δωρημάτων —ἀγνώστων στόν κοινό ἄνθρωπο— τά ὁποῖα δέν θέλει ἐπ' οὐδενί νά τά ἀνταλλάξει μέ τή γήινη ἀνάπαυση.

Στό ἀμέσως ἑπόμενο ἀπόφθ. 115 ὁ Γέροντας ἐκπροσωπεῖ τόν τύπο τοῦ πολύχρονου ἀσκητῆ ὡς βιαστῆ τῆς Βασιλείας τοῦ Θεοῦ, ὁ ὁποῖος ὅμως δέχεται μέ τήν ἀνθρώπινη ἁπλότητα τόν καρπό τῆς ἀγάπης τοῦ ἀδελφοῦ καί ἀσφαλῶς «μετὰ εὐχαριστίας» (πρβλ. Α' Τιμ. 4, 4).

νά φάει ἔστω λίγο χυλό. Τόν πῆρε λοιπόν ὁ ἀδελφός τόν χυλό καί ἔφυγε γιά τό κελί του[60].

115. Κάποιος ἄλλος Γέροντας ἀσκήτευε σέ μακρινή ἔρημο. Καί συνέβη ἕνας ἀδελφός νά τόν ἐπισκεφθεῖ καί τόν βρῆκε ἄρρωστο. Τόν πῆρε λοιπόν, τόν ἔνιψε καί ἀπό τίς προμήθειες πού εἶχε φέρει μαζί του, τοῦ μαγείρεψε λίγο φαγάκι καί τοῦ τό πρόσφερε νά φάει. Καί ὁ Γέροντας τοῦ εἶπε: «Ἀλήθεια, ἀδελφέ μου, ἔχω ξεχάσει ὅτι οἱ ἄνθρωποι εἶχαν τέτοια πράγματα πού τούς ἀναπαύουν». Τοῦ ἔδωσε καί ἕνα ποτήρι κρασί καί ὅταν τό εἶδε, ἔκλαψε καί εἶπε: «Δέν περίμενα μέχρι τόν θάνατό μου νά πιῶ κρασί».

116. Ἕνας Γέροντας ὑπέβαλε τόν ἑαυτό του στήν ἄσκηση νά μήν πιεῖ σαράντα μέρες νερό. Καί ὅταν ἔκανε καύσωνα ἔπλυνε τό βαυκάλι[61], τό γέμιζε νερό καί τό κρεμοῦσε ἀπέναντί του. Καί ὅταν τόν ρώτησε ἕνας ἀδελφός γιατί τό κάνει αὐτό, ἀπάντησε: «Γιά νά 'χει ἡ δίψα μου περισσότερο κόπο καί ὁ μισθός μου ἀπό τόν Θεό νά 'ναι μεγαλύτερος».

117. Εἶπε ἕνας Γέροντας: «Χωρίς κόπο κανένας δέν ἀποκτᾶ ἀρετή. Κι ἄν ἀκόμη τήν ἀποκτήσει, δέν κρατάει

Οἱ ἀσκητές καί οἱ ἅγιοι τῆς Ἐκκλησίας μας διά μέσου τῶν αἰώνων δέν ὑπῆρξαν ἀντίγραφα πανομοιότυπα ὁ ἕνας τοῦ ἄλλου. Ἡ κάθε εἰκόνα τοῦ Θεοῦ, ἡ κάθε ψυχή, ἔχει τήν μοναδικότητά της καί οἱ φτασμένοι αὐτοί ἅγιοι, οἱ ἐν Πνεύματι ζῶντες «τίς οἶδε ποίαις νεύσεσι τοῦ Θεοῦ» βαδίζουν κατά τόν ἕνα ἤ τόν ἄλλο τρόπο τήν «ὁδόν».

«Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαὶ εἰσιν». Ἐν μέρει, θά μποροῦσε νά πεῖ κανείς, ὅτι ἰσχύει αὐτό καί γιά τήν πνευματική τροχιά πού διανύει ἡ στρατευομένη ἐκκλησία στόν νῦν αἰῶνα (πρβλ. Ἰω. 14, 2-23).

61. Βαυκάλι = πήλινο ἤ γιάλινο δοχεῖο μέ στενό λαιμό, κανάτι, σταμνί.

καὶ πεινῶσιν ἐπηγγείλατο τὴν Βασιλείαν τῶν Οὐρανῶν.

118. Εἶπε Γέρων· Διὰ τοῦτο περιαίρω τὰς ἡδονάς, ἵνα τὰς τοῦ θυμοῦ περικόψω προφάσεις. Οἶδα γὰρ αὐτὸν ἀεὶ μαχόμενόν μοι περὶ τῶν ἡδονῶν καὶ ἐκταράσσοντά μου τὸν νοῦν καὶ τὴν γνῶσιν ἀποδιώκοντα.

119. Ἀδελφός τις κινηθεὶς εἰς ὀργὴν κατά τινος, ἔστη εἰς προσευχὴν αἰτούμενος μακροθυμῆσαι τῷ ἀδελφῷ καὶ τὸν πειρασμὸν παρελθεῖν ἀβλαβῶς. Καὶ εὐθέως ὁρᾷ καπνὸν ἐξερχόμενον ἐκ τοῦ στόματος αὐτοῦ. Καὶ τούτου γενομένου ἐπαύσατο ἡ ὀργή.

120. Εἶπέ τις τῶν Πατέρων· Οἶδα ἀδελφὸν εἰς τὰ Κελλία νηστεύσαντα πᾶσαν τὴν ἑβδομάδα τοῦ Πάσχα. Καὶ ὡς συνήχθησαν ὀψέ, ἔφυγεν, ἵνα μὴ φάγῃ εἰς τὴν ἐκκλησίαν. Μικρὰ οὖν τεῦτλα μετὰ ἅλατος ἔφαγε χωρὶς ἐλαίου.

121. Ἀπῆλθέ ποτε ὁ πρεσβύτερος τῆς Σκήτεως πρὸς τὸν ἀρχιεπίσκοπον Ἀλεξανδρείας· καὶ ὡς ὑπέστρεψεν εἰς Σκῆτιν, ἠρώτησαν αὐτὸν οἱ ἀδελφοί· Πῶς ἡ πόλις; Ὁ δὲ εἶπεν αὐτοῖς· Φύσει, ἀδελφοί, ἐγὼ πρόσωπον ἀνθρώπου οὐκ εἶδον, εἰ μὴ μόνον τοῦ ἀρχιεπισκόπου. Οἱ δὲ ἀκούσαντες ἐθαύμασαν καὶ ἐστηρίχθησαν ἀπὸ τοῦ λογισμοῦ αὐτοῦ, ἵνα φυλάττωσιν ἀπὸ μετεωρισμοῦ τοὺς ὀφθαλμοὺς αὐτῶν.

---

62. Ματθ. 5, 4 καί 6.

63. Τό ἀπόφθ. αὐτό ἀποδίδεται στόν Εὐάγριο.

64. Ἐδῶ ἡ λ. Πάσχα ἀναφέρεται στή Μ. Ἑβδομάδα (Βλ. Δ ὑποσημ. 10 σελ. 30). Καί ἡ νηστεία πού ἔκανε ὅλη τή Μ. Ἑβδομάδα, ἔχει τήν ἔννοια τῆς

πολύ. Γιατί ὁ Κύριος ὑποσχέθηκε τή Βασιλεία τῶν Οὐρανῶν σ' αὐτούς πού πενθοῦν καί πεινοῦν[62]».

118. Εἶπε ἕνας Γέροντας: «Γι' αὐτόν τόν λόγο ἀπομακρύνω τίς ἡδονές, γιά νά ἀφαιρέσω τίς ἀφορμές τοῦ θυμοῦ. Γιατί γνωρίζω καλά ὅτι μέ πολεμάει (ἡ ὀργή) γιά χάρη τῶν ἡδονῶν, μοῦ ταράζει τόν νοῦ καί διώχνει τή γνώση[63]».

119. Ἕνας ἀδελφός πού ἔνιωσε νά κινεῖται ὀργή μέσα του ἐναντίον κάποιου, ἄρχισε νά προσεύχεται ζητώντας ἀπό τόν Θεό νά τοῦ δώσει μακροθυμία πρός τόν ἀδελφό καί νά περάσει ὁ πειρασμός χωρίς νά τόν βλάψει. Καί εὐθύς εἶδε ἕναν καπνό νά βγαίνει ἀπό τό στόμα του καί μετά ἀπ' αὐτό ἔπαυσε ἡ ὀργή.

120. Εἶπε ἕνας ἀπ' τούς Πατέρες: «Γνωρίζω κάποιον ἀδελφό στά Κελλία πού νήστευσε ὅλη τήν ἑβδομάδα τοῦ Πάσχα. Καί ὅταν ἔγινε ἡ σύναξη τό βράδυ, ἔφυγε γιά νά μή φάει στήν τράπεζα τῆς ἐκκλησίας. Ἔφαγε λοιπόν λίγα τεῦτλα μέ ἁλάτι χωρίς λάδι[64].

121. Πῆγε κάποτε ὁ πρεσβύτερος τῆς Σκήτης στόν ἐπίσκοπο τῆς Ἀλεξανδρείας. Ὅταν ἐπέστρεψε στή Σκήτη, τόν ρώτησαν οἱ ἀδελφοί: «Πῶς εἶναι ἡ πόλη;» Καί αὐτός τούς εἶπε: «Ἀλήθεια, ἀδελφοί μου, ἐγώ δέν εἶδα πρόσωπο ἀνθρώπου παρά μόνο τόν ἀρχιεπίσκοπο». Οἱ ἀδελφοί ὅταν τό ἄκουσαν, θαύμασαν καί ἐνισχύθηκαν ἀπό τόν λογισμό αὐτό, γιά νά προσέχουν νά μήν ἀφήνουν ἀκυβέρνητο τό βλέμμα τους.

ἀσιτίας. Παρά ταῦτα δέν ἔμεινε στή γιορταστική τράπεζα τῆς ἐκκλησίας καί περιορίσθηκε στά τεῦτλα του, δηλαδή στά κοκκινογούλια (παντζάρια) καί τά σέσκουλα.

122. Κατῆλθόν ποτε Πατέρες εἰς Ἀλεξάνδρειαν κληθέντες ὑπὸ τοῦ Θεοφίλου τοῦ ἀρχιεπισκόπου, ἵνα ποιήσωσιν εὐχὴν καὶ καθέλῃ τὰ εἴδωλα. Καὶ ἐσθιόντων αὐτῶν μετ' αὐτοῦ παρετέθη κρέας μόσχιον καὶ ἤσθιον μηδὲν διακρινόμενοι. Καὶ λαβὼν ὁ ἀρχιεπίσκοπος ἓν κοπάδιν ἔδωκε τῷ ἔγγιστα αὐτοῦ Γέροντι λέγων· Ἰδοὺ τοῦτο καλὸν κοπάδιν ἐστί, φάγε, ἀββᾶ. Οἱ δὲ ἀποκριθέντες εἶπον· Ἡμεῖς ἕως ἄρτι λάχανα ἠσθίομεν· εἰ δὲ κρέα ἐστίν, ἡμεῖς οὐ τρώγομεν. Καὶ οὐκέτι προσέθετο εἷς ἐξ αὐτῶν γεύσασθαι αὐτοῦ.

123. Ἔλεγεν ἀδελφός τις· Οἶδα Γέροντα εἰς ὄρος ὑψηλὸν καθήμενον καὶ μὴ λαμβάνοντα τίποτε παρά τινος. Ἀλλὰ ἔχων μικρὸν ὕδωρ ἐφιλοκάλλει τὸ λάχανον αὐτοῦ. Καὶ τούτῳ διῃτᾶτο μέχρι ἔτη πεντήκοντα ζήσας μηδέποτε ἐξελθὼν τοῦ προτειχίσματος. Ἐγένετο δὲ πάνυ ὀνομαστὸς διὰ τὰς πολλὰς ἰάσεις ἃς ἐποίει καθ' ἑκάστην τῶν ἐρχομένων εἰς αὐτόν. Κοιμᾶται δὲ ἐν εἰρήνῃ ἐκεῖ καταλιπὼν ἐν τῷ τόπῳ μαθητὰς αὐτοῦ πέντε.

124. Γέροντί τινι μεγάλῳ συνῴκει ἀδελφὸς ἀμελέστερος. Καὶ ὁρῶν τὸν Γέροντα ἅπαξ ἐσθίοντα διὰ τῆς ἑβδομάδος λέγει αὐτῷ· Ἀββᾶ, λέγουσί τινες ὅτι ἡ μεγάλη ἄσκησις φέρει τινὰ εἰς ὑπερηφανίαν. Λέγει αὐτῷ ὁ Γέρων· Οὐκοῦν,

65. Θεόφιλος Ἀλεξανδρείας: Ἦταν ἀρχιεπίσκοπος Ἀλεξανδρείας ἐπί 28 χρόνια (385-412). Προικισμένος μέ πολλά διανοητικά χαρίσματα, ὑπῆρξε ἰδιαίτερα ἀγωνιστικός κατά τῶν αἱρετικῶν. Ἀρκετά ὅμως ἐπεισόδια τοῦ βίου του μαρτυροῦν ὅτι τόν χαρακτήριζαν σέ μεγάλο βαθμό ἡ ἐριστικότητα καί ἡ φιλοδοξία.

122. Κατέβηκαν κάποια φορά μερικοί Πατέρες στήν Ἀλεξάνδρεια καλεσμένοι ἀπό τόν Θεόφιλο τόν ἀρχιεπίσκοπο γιά νά προσευχηθοῦν στόν Θεό καί νά καταστρέψει τά εἴδωλα[65]. Καί τήν ὥρα πού ἔτρωγαν μαζί του, παρετέθη στό τραπέζι μοσχαρίσιο κρέας καί ἔτρωγαν χωρίς νά ἔχουν κανένα λογισμό. Κάποια στιγμή πῆρε ὁ ἀρχιεπίσκοπος ἕνα κομμάτι καί τό πρόσφερε στόν Γέροντα πού ἦταν δίπλα του λέγοντας: «Ὁρίστε, αὐτό εἶναι καλό κομμάτι, φάγε το, ἀββᾶ». Οἱ ἀββάδες τότε τοῦ ἀποκρίθηκαν καί εἶπαν: «Ἐμεῖς ὥς τώρα τρώγαμε χόρτα· ἐάν εἶναι κρέας, ἐμεῖς δέν τρῶμε». Καί οὔτε ἕνας ἀπ' αὐτούς δέν συνέχισε πιά νά τρώει.

123. Εἶπε ἕνας ἀδελφός: «Γνωρίζω κάποιον Γέροντα πού ἀσκήτευε σ' ἕνα βουνό ὑψηλό καί δέν ἔπαιρνε τίποτε ἀπό κανέναν. Εἶχε λίγο νερό ἐκεῖ καί περιποιοῦνταν τά λαχανικά του. Αὐτόν τόν τρόπο διατροφῆς εἶχε μέχρι τά πενήντα του χρόνια πού ἔζησε καί δέν βγῆκε καμιά φορά ἔξω ἀπό τόν φράκτη. Ἔγινε πολύ ὀνομαστός ἀπό τίς θεραπεῖες πού ἔκανε σ' αὐτούς πού καθημερινά προσέρχονταν σ' αὐτόν. Ἐκοιμήθη ἐκεῖ ἐν εἰρήνῃ καί ἄφησε στόν τόπο ἐκεῖνο πέντε μαθητές του».

124. Μέ κάποιον μεγάλο Γέροντα συγκατοικοῦσε ἕνας ἀδελφός ἀμελής. Αὐτός καθώς ἔβλεπε τόν Γέροντα νά τρώει μιά φορά τήν ἑβδομάδα, τοῦ λέει: «Ἀββᾶ, λένε μερικοί ὅτι ἡ πολλή ἄσκηση ὁδηγεῖ τόν ἄνθρωπο στήν ὑπερηφάνεια». Καί ὁ Γέροντας τοῦ ἀποκρίθηκε: «Λοιπόν, παιδί

Ἀπό τῆς ἀναλήψεως τῶν καθηκόντων του ἀποφάσισε νά ξεριζώσει καί τά τελευταῖα ὑπολείμματα τοῦ ἐθνισμοῦ στήν Αἴγυπτο, γι' αὐτό καί ἀποδύθηκε σέ σκληρό ἀγώνα. Προέβη στήν καταστροφή πολλῶν ἱερῶν τῶν ἐθνικῶν καί ἰδίως τοῦ περίφημου Σεραπείου τῆς Ἀλεξανδρείας.

τέκνον, ἐὰν διὰ τῆς ἀμελείας ἔρχηται ἡ ταπείνωσις, ἀπελθόντες ἄρωμεν ἑαυτοῖς καὶ γυναῖκας καὶ φάγωμεν κρέα καὶ οἶνον πίωμεν. Οὐαὶ ἡμῖν, τέκνον, πῶς ἐμπαιζόμεθα καὶ οὐκ οἴδαμεν; Οὐκ ἀκούεις τοῦ Δαβὶδ λέγοντος· Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου;

125. Εἶπε Γέρων· Λόγον δίδωσιν ὁ μοναχὸς τῷ Θεῷ ὑπὲρ ὧν λαμβάνει ἀγάπην.

126. Εἶπε Γέρων· Ἐὰν παραβάλῃς τινὶ καὶ γένηται εὐχὴ καὶ ἐπιτρέψῃ σοι καθίσαι, εἰπὲ αὐτῷ· Πάτερ, εἰπὲ ἡμῖν λόγον ζωῆς, πῶς εὑρίσκομεν τὸν Θεὸν καὶ εὖξαί μοι ὅτι πολλὰς ἔχω ἁμαρτίας. Ἕως τούτου καὶ μὴ λάλει ἕτερον λόγον, ἐὰν μὴ ἐρωτηθῇς.

127. Εἶπε πάλιν· Συνήθισον τοὺς ὀφθαλμούς σου μὴ βλέπειν εἰς σῶμα ἀλλότριον, εἰ δυνατὸν μηδὲ εἰς τὸ ἴδιον.

128. Εἶπε πάλιν· Ἐὰν πολεμῇ ἡ ψυχή σου εἰς πολλὰ βρώματα, στένωσον αὐτὴν καὶ εἰς αὐτὸν τὸν ἄρτον, ἵνα παρακαλῇ κἂν ἄρτου χορτασθῆναι.

129. Εἶπε πάλιν· Ἐὰν ἀκμὴν νεώτερος ᾖ, φεῦγε τὸν οἶνον ὡς ὄφιν. Κἂν ἐν ἀγάπῃ πίῃς μικρόν, παῦσον. Κἂν ὁρκίζωσί σε οἱ καλέσαντές σε καὶ ποιῶσί σοι μετάνοιαν, μὴ πρόσχῃς τοῖς ὅρκοις αὐτῶν· πολλάκις γὰρ ὁ Σατανᾶς ὑποβάλλει τοῖς μοναχοῖς ἀναγκάσαι τοὺς νεωτέρους εἰς οἶνον. Οἶδε γὰρ ὅτι οἶνος καὶ γυναῖκες χωρίζουσιν ἀπὸ τοῦ Θεοῦ.

66. Ψαλμ. 24, 18.

μου, ἐάν μέ τήν ἀμέλεια ἔρχεται ἡ ταπείνωση, νά πᾶμε νά παντρευτοῦμε, νά τρῶμε κρέας, νά πίνουμε κρασί. Ἀλίμονό μας, παιδί μου, πῶς γινόμαστε παίγνιο τῶν λογισμῶν καί δέν τό καταλαβαίνουμε; Δέν ἀκοῦς τόν Δαβίδ νά λέει: Δές τήν ταπείνωσή μου καί τόν κόπο μου καί συγχώρησε ὅλες τίς ἁμαρτίες μου[66];»

125. Εἶπε ἕνας Γέροντας: «Θά δώσει λόγο ὁ μοναχός στόν Θεό γιά ὅσα λαμβάνει ἀπό τούς ἀνθρώπους ὡς ἐλεημοσύνη».

126. Εἶπε ἄλλος Γέροντας: «Ἐάν πᾶς σέ κάποιον καί γίνει προσευχή καί σοῦ ἐπιτρέψει νά καθίσεις, πές του: Πάτερ, πές μας ἕναν λόγο ζωῆς πῶς θά βροῦμε τόν Θεό καί προσευχήσου γιά μένα, γιατί ἔχω πολλές ἁμαρτίες. Μέχρι ἐκεῖ καί μήν πεῖς τίποτε ἄλλο, ἐάν δέν σέ ρωτήσει».

127. Εἶπε πάλι: «Συνήθισε τό βλέμμα σου νά μήν πέφτει σέ σῶμα ξένο, εἰ δυνατόν οὔτε στό δικό σου».

128. Εἶπε ἐπίσης: «Ἐάν σέ πολεμάει ὁ λογισμός γιά πολλά φαγητά, περιόρισέ τον καί σ' αὐτό τό ψωμί ἀκόμη, γιά νά παρακαλεῖ νά χορτάσει τουλάχιστον ψωμί».

129. Εἶπε ὁ ἴδιος: «Ἐάν εἶσαι ἀκόμη σέ νεανική ἡλικία, νά ἀποφεύγεις τό κρασί σάν νά 'ναι φίδι. Ἄν σέ τράπεζα ἀγάπης πιεῖς λίγο, σταμάτα. Καί ἄν αὐτοί πού σέ κάλεσαν σέ ἐξορκίζουν καί σοῦ βάζουν μετάνοια, μή δίνεις σημασία στούς ὅρκους τους. Γιατί πολλές φορές ὁ Σατανᾶς σπέρνει τόν λογισμό στούς μοναχούς νά ἀναγκάσουν τούς νέους γιά νά πιοῦν κρασί. Ξέρει καλά ὅτι κρασί καί γυναῖκες χωρίζουν ἀπό τόν Θεό».

130. Εἶπε Γέρων ὅτι· Γέγραπται περὶ Σολομῶντος ὅτι φυλογύναιος ἦν. Καὶ πᾶν μὲν ἄρρεν φιλεῖ τὸ θῆλυ, ἀλλὰ ἀναγκάζομεν τοὺς λογισμοὺς ἡμῶν καὶ βασανίζομεν τὴν φύσιν εἰς ἁγνείαν μᾶλλον καὶ μὴ εἰς ἐπιθυμίαν τοιαύτην ἐμπεσεῖν.

131. Ἠκούσαμεν περί τινος ἀδελφοῦ ἐνδεοῦς καὶ χρῄζοντος ὅτι μετὰ τὸ ἐνεχθῆναι αὐτῷ τῶν βρωμάτων τὴν χρείαν, εἰ ἔτυχεν ἄλλον ἐνεγκεῖν οὐκ ἐδέχετο ταῦτα λέγων· Ἤδη διέθρεψέ με ὁ Κύριός μου καὶ ἀρκεῖ μοι.

132. Διηγήσατο μαθητὴς μεγάλου Γέροντος περὶ τοῦ ἀββᾶ αὐτοῦ ὅτι ποτὲ γενομένης τῆς ἐνάτης ὥρας ἐπείνασε καὶ ἠθέλησε γεύσασθαι. Καὶ θέντες τὴν τράπεζαν ἔστημεν εἰς εὐχὴν καὶ ἐψάλαμεν δύο ψαλμοὺς καὶ ἤρξατο ὁ Γέρων λέγειν ἀπὸ στήθους· καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωὶ καὶ ἐγένετο ὥρα ἐνάτη καὶ οὕτω κατέπαυσεν. Ὁ γὰρ νοῦς αὐτοῦ ἄνω ἐθεώρει μυστήρια.

133. Εἶπε Γέρων· Τὸν τῆς γαστριμαργίας δαίμονα ὑπερτίθου λέγων αὐτῷ· Μεῖνον, οὐ γὰρ πεινάσεις· καὶ σεμνῶς μᾶλλον ἔσθιε. Οὕτω γὰρ ἐπείγει τινὰ ὡς θέλειν ἀπὸ μιᾶς πάντα φαγεῖν. Καὶ ὅσον σὲ ἐπείγει, πλεῖον σὺ ὁμαλῶς ἔσθιε.

134. Εἶπε Γέρων· Ἔφθασα Γέροντα ἐν τῇ ἐρήμῳ ταύτῃ ἀπὸ ἑβδομήκοντα ἐτῶν ποιήσαντα, βοτάνας καὶ φοίνικας ἐσθίοντα μόνον.

130. Εἶπε ἕνας Γέροντας: «Εἶναι γραμμένο στή Γραφή γιά τόν Σολομώντα ὅτι ἦταν φιλογύνης[67]. Καί κάθε ἀρσενικό ἀγαπάει τό θηλυκό. Ἀλλά θά βιάζουμε τούς λογισμούς μας καί θά ἀσκοῦμε τή φύση μας ὅλο καί πιό πολύ γιά ἁγνότητα, ὥστε νά μήν ἐμπέσουμε σέ τέτοια ἐπιθυμία».

131. Ἀκούσαμε γιά ἕναν ἀδελφό πού ἦταν φτωχός καί εἶχε ἀνάγκη ὅτι, ὅταν τοῦ ἔφερναν τά τρόφιμα πού τοῦ ἦταν ἀπαραίτητα καί τύχαινε καί ἄλλος νά τοῦ φέρει προμήθειες, δέν τίς δεχόταν καί ἔλεγε: «Ἤδη μέ ἔθρεψε ὁ Κύριός μου καί μοῦ ἀρκεῖ».

132. Διηγήθηκε ἕνας μαθητής μεγάλου Γέροντος σχετικά μέ τόν ἀββᾶ αὐτόν τό ἑξῆς: Κάποια φορά ὅταν ἔγινε τρεῖς τό ἀπόγευμα, πείνασε καί θέλησε νά φάει. Ἀφοῦ βάλαμε τράπεζα, σταθήκαμε γιά προσευχή, ψάλαμε δύο ψαλμούς καί ἄρχισε ὁ Γέροντας νά λέγει ἀπό στήθους. Καί ἦρθε ἡ νύχτα, ξημέρωσε ἡ ἄλλη μέρα, ἔγινε τρεῖς τό ἀπόγευμα καί τότε σταμάτησε. Γιατί ὁ νοῦς του βρισκόταν ψηλά καί ἔβλεπε τά μυστήρια τοῦ Θεοῦ».

133. Εἶπε ἕνας Γέροντας: «Τόν πειρασμό της γαστριμαργίας νά τόν ὑποτάσσεις λέγοντάς του: Περίμενε. Δέν θά μείνεις πεινασμένος. Καί τρῶγε πιό σεμνά. Γιατί πιέζει ἔτσι τόν ἄνθρωπο, ὥστε νά θέλει διαμιᾶς νά τά φάει ὅλα. Καί ὅσο σέ πιέζει, ἐσύ τρῶγε πιό κανονικά».

134. Εἶπε ἄλλος Γέροντας: «Πρόλαβα στήν ἔρημο αὐτή Γέροντα πού ἔκανε ἑβδομήντα χρόνια, τρώγοντας χόρτα καί χουρμάδες μόνο».

---

67. Γ΄ Βασ. 11, 1.

135. Εἶπε Γέρων· Οὐδὲν οὕτω προσάγει Θεῷ τοὺς μοναχοὺς ὡς ἡ τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ Κυρίῳ ἀπερίσπαστον παρέχουσα, ἡ καλὴ καὶ σεμνὴ καὶ φιλόθεος ἁγνεία, καθάπερ μεμαρτύρηκεν αὐτὸ τὸ πανάγιον Πνεῦμα διὰ τοῦ φωστῆρος Παύλου.

136. Εἶπε Γέρων· Ἡ γαστριμαργία μήτηρ ἐστὶ τῆς πορνείας. Εἶπε πάλιν· Ὁ κρατῶν γαστρὸς κρατεῖν δύναται καὶ πορνείας καὶ γλώσσης.

137. Ἀδελφοὶ ἐκλήθησαν ἐν Σκήτει καθαρίσαι σειράν. Καὶ ἦν τις ἀσθενῶν ἐκ τῆς ἀσκήσεως καὶ βήσσων ἔφερε φλέγματα καὶ ἔπτυεν. Καὶ μὴ θέλοντος αὐτοῦ ἀπήρχοντο ἀπὸ τῶν πτυσμάτων ἐπάνω ἀδελφοῦ τινος. Καὶ ὠχλεῖτο ἐκεῖνος ὑπὸ τοῦ ἰδίου λογισμοῦ εἰπεῖν τῷ ἀσθενοῦντι παύσασθαι τοῦ πτύειν ἐπάνω αὐτοῦ. Λαβὼν δὲ εὐθέως τῶν πτυσμάτων ἤθελε φαγεῖν. Τότε λέγει ἑαυτῷ· Μήτε φάγῃς μήτε εἴπῃς.

138. Εἶπε Γέρων· Ψυχῆς πλοῦτος ἐγκράτεια. Ταύτην κτησώμεθα μετὰ ταπεινοῦ φρονήματος φεύγοντες τὴν κενοδοξίαν, τὴν μητέρα τῶν κακῶν.

68. Α΄ Κορ. 7, 35.

69. Σύντομη ἀλλά χαρακτηριστική ἡ πάλη τῆς ψυχῆς νά ἰσορροπήσει ἀνάμεσα στή φιλαυτία καί στήν ἀγάπη πρός τόν πλησίον.

Ἀρχικά κινεῖται ἡ φιλαυτία καί ὑπαγορεύει νά ἐλέγξει τόν ἄρρωστο ἀδελφό. Δέν ὑποχωρεῖ βέβαια ὁ ἀγωνιστής μοναχός στή φιλαυτία του, ἀλλά ἐξακοντίζεται στό ἄλλο ἄκρο, νά καταπιεῖ τά φτύσματα, πού καμιά λογική ἤ ἠθική δικαίωση δέν εἶχε ἡ πράξη αὐτή. Τελικά νικᾶ ἡ διάκριση, πού τοῦ δίνει τό μέτρο· δίκαια χαρακτηρίζεται ἡ διάκριση ὡς «μείζων πασῶν τῶν ἀρετῶν». Βλ. καί Ε ὑποσημ. 9 σελ. 118.

135. Εἶπε κάποιος Γέροντας: «Τίποτε ἄλλο δέν πλησιάζει τούς μοναχούς στόν Θεό τόσο, ὅσο αὐτή πού ἀπερίσπαστα παρέχει τήν ταιριαστή καί ἀρεστή ζωή στόν Κύριο, δηλαδή ἡ ὡραία, ἡ σεμνή καί ἀγαπητή στόν Θεό ἁγνότητα, ὅπως ἀκριβῶς αὐτό τό ἔχει φανερώσει τό πανάγιο Πνεῦμα μέ τό στόμα τοῦ φωστῆρος Παύλου[68]».

136. Εἶπε ἕνας Γέροντας: «Ἡ γαστριμαργία εἶναι μητέρα τῆς πορνείας». Εἶπε ἐπίσης: «Αὐτός πού κυριαρχεῖ στήν κοιλιά του μπορεῖ νά κυριαρχεῖ καί στήν πορνεία καί στή γλώσσα».

137. Κάποιους ἀδελφούς τούς κάλεσαν στή Σκήτη γιά νά καθαρίσουν σχοινιά. Ἕνας ἀπ' αὐτούς ἦταν ἄρρωστος ἀπό τήν ἄσκηση πού ἔκανε. Ἔβηχε καί ἔβγαζε φλέματα πού τά ἔφτυνε. Καί χωρίς νά τό θέλει, ἀπό τά φλέματα αὐτά πήγαιναν πάνω σέ ἕναν ἀδελφό.

Ἐνοχλοῦνταν ὁ ἀδελφός ἀπό τόν λογισμό του νά πεῖ στόν ἄρρωστο νά σταματήσει νά φτύνει ἐπάνω του. Καί παίρνει εὐθύς ἀπό τά φτύσματα καί ἤθελε νά τά καταπιεῖ. Ἐκείνη λοιπόν τή στιγμή λέει στόν ἑαυτό του: «Οὔτε νά τά καταπιεῖς οὔτε νά μιλήσεις»[69].

138. Εἶπε ἕνας Γέροντας: «Ἡ ἐγκράτεια εἶναι πλοῦτος τῆς ψυχῆς. Αὐτήν ἄς ἀποκτήσουμε μέ ταπεινό φρόνημα ἀποφεύγοντας τήν κενοδοξία, πού εἶναι ἡ μητέρα τῶν κακῶν».

139. Εἶπε πάλιν· Ὑπὲρ τοῦ πτωχὸν τραφῆναι καὶ νηστεῦσαι καλόν.

140. Εἶπε πάλιν· Ἐν λόγοις θείοις τρυφήσωμεν καὶ ἐν διηγήμασιν ἁγίων πατέρων ἑορτάσωμεν, μὴ γαστρὶ τρυφῶντες ἀλλὰ πνευματικῶς εὐφραινόμενοι.

141. Ἔλεγον περί τινος μεγάλου Γέροντος ἐν τῇ Λαύρᾳ τοῦ ἀββᾶ Πέτρου ὅτι πεντήκοντα ἔτη ἐποίησε καθήμενος εἰς τὸ σπήλαιον αὐτοῦ μήτε οἶνον πιών, μήτε ἄρτον φαγών, εἰ μὴ πίτυρα. Μετελάμβανε δὲ τρίτον τῆς ἑβδομάδος.

142. Ἤνεγκάν ποτε εἰς Σκῆτιν λάχανα καὶ κολοκύνθια καὶ ἔθηκαν αὐτὰ εἰς τὴν ἐκκλησίαν, ἵνα ὡς ἔρχονται οἱ ἀδελφοὶ λάβωσι πρὸς μικρὰ εἰς τὰ κελλία ἑαυτῶν. Καὶ ἔλαβεν εἷς Γέρων μικρὰ λάχανα καὶ ὀλίγα κολοκύνθια· καὶ πορευόμενος ἐν τῇ ὁδῷ ἔφαγεν αὐτὰ ὠμά. Ἀπαντήσας οὖν αὐτῷ ἀδελφὸς εἶπεν αὐτῷ· Ποῦ εἰσι τὰ λάχανά σου; Ὁ δὲ ἔφη· Ἔφαγον αὐτά. Λέγει αὐτῷ ὁ ἀδελφός· Ἰδοὺ τὰ ἐμὰ ἐτήρησα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Σὺ οὐ πεινᾷς, ἀδελφέ, διὰ τοῦτο αὐτὰ ἐτήρησας.

143. Ἀδελφὸς ἠρώτησε Γέροντα· Τὸ κεχρῆσθαι τὸ φαγεῖν ἀδιαφόρως καὶ τὸ πιεῖν, τί γεννᾷ τῷ ἀνθρώπῳ; Ἀπεκρίθη δὲ ὁ Γέρων ὅτι· Γεννᾷ πᾶν κακόν· βλέπομεν γὰρ ὅτι ἡ τελεία ἐρήμωσις Ἱερουσαλὴμ γέγονε διὰ Ναβουζαρδὰν τοῦ ἀρχιμαγείρου. Καὶ πάλιν ὁ Κύριος παραγγέλλει τοῖς

70. Λαύρα ἀββᾶ Πέτρου: Βρίσκεται στή δυτική κοιλάδα τοῦ Ἰορδάνου ποταμοῦ, μεταξύ τῆς Ἱεριχοῦς καί Νεκρᾶς Θάλασσας.

139. Εἶπε ἐπίσης: «Εἶναι καλό νά νηστεύσει κανείς καί γιά νά τραφεῖ ὁ πτωχός».

140. Εἶπε ὁ ἴδιος: «Τήν ἀπόλαυσή μας νά τήν γυρεύουμε μέσα στούς θείους λόγους καί γιορτή μας νά εἶναι οἱ διηγήσεις τῶν ἁγίων Πατέρων. Μήν ἐπιδιώκουμε τήν ἀπόλαυση τῆς γαστέρας, ἀλλά τήν πνευματική εὐφροσύνη».

141. Ἔλεγαν γιά κάποιον μεγάλο Γέροντα τῆς Λαύρας τοῦ ἀββᾶ Πέτρου[70] ὅτι ἀσκήτευσε στή σπηλιά του πενήντα χρόνια, χωρίς νά γευθεῖ κρασί καί χωρίς νά φάει ψωμί παρά μόνο πίτουρα. Καί ἔτρωγε τρεῖς φορές τήν ἑβδομάδα μόνο.

142. Ἔφεραν κάποτε στή Σκήτη χόρτα καί κολοκύθια καί τά τοποθέτησαν στήν ἐκκλησία γιά νά παίρνουν οἱ ἀδελφοί, ὅταν ἔρχονται, ἀπό λίγα γιά τά κελιά τους. Ἔτσι ἕνας Γέροντας πῆρε λίγα χόρτα καί λίγα κολοκύθια καί καθώς πήγαινε στόν δρόμο τά ἔφαγε ὠμά. Τόν συνάντησε ἕνας ἀδελφός καί τοῦ εἶπε: «Ποῦ εἶναι τά λαχανικά σου;» Κι αὐτός εἶπε: «Τά ἔφαγα». Τοῦ λέει τότε ὁ ἀδελφός: «Νά, τά δικά μου τά κράτησα». «Ἐσύ, ἀδελφέ, —τοῦ εἶπε ὁ Γέροντας— δέν πεινᾶς, γι' αὐτό τά κράτησες».

143. Ἀδελφός ρώτησε κάποιον Γέροντα: «Τό νά συνηθίζει κανείς νά τρώει καί νά πίνει ἀδιάκριτα, τί προκαλεῖ στόν ἄνθρωπο;» Καί ἀπάντησε ὁ Γέροντας: «Προκαλεῖ κάθε κακό. Βλέπουμε ὅτι ἡ ὁλοκληρωτική καταστροφή τῆς Ἰερουσαλήμ ἔγινε μέ τόν Ναβουζαρδάν τόν ἀρχιμάγειρο[71]. Ἐξάλλου ὁ Κύριος παραγγέλλει στούς μαθητές του τά

71. Β΄ Βασ. 25, 8.

μαθηταῖς λέγων· Βλέπετε μὴ βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς.

144. Εἶπε Γέρων· Μοναχὸς πίνων πλείω τριῶν ποτηρίων, μὴ εὔξηται ὑπὲρ ἐμοῦ.

145. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω ὅτι ἡ κοιλία μου θλίβει με καὶ πολλὰ τρώγω καὶ οὐ δύναμαι ἐγκρατεύσασθαι καὶ μικρὸν καὶ μικρὸν τὸ σῶμά μου στρηνιᾷ; Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν αὐτῷ· Ἐὰν μὴ βάλλῃς ἑαυτῷ φόβον καὶ νηστείαν, οὐκ ὀρθοποδεῖς εἰς τὴν ὁδὸν τοῦ Θεοῦ. Καὶ εἶπε παραβολὴν οὕτως· Ἄνθρωπός τις εἶχεν ὄνον. Καὶ καθημένου αὐτοῦ ἐπάνω αὐτοῦ, ἐρρέμβετο ὧδε καὶ ὧδε καὶ λαβὼν τὴν ῥάβδον ἔτυπτεν αὐτόν. Καὶ λέγει αὐτῷ ὁ ὄνος· Μή με τυπτήσῃς καὶ ἀπ᾽ ἄρτι ὀρθοποδῶ. Καὶ περιπατήσας ἔτι μικρὸν κατῆλθεν ἀπ᾽ αὐτοῦ, καὶ ἔθηκεν τὴν ῥάβδον εἰς τὴν δισακκίαν ἐπάνω αὐτοῦ, καὶ οὐκ ᾔδει ὁ ὄνος ὅτι ἐπάνω αὐτοῦ ἐστιν ἡ ῥάβδος. Καὶ ὡς εἶδε τὸν κύριον αὐτοῦ μὴ βαστάζοντα τὴν ῥάβδον, ἤρξατο καταφρονεῖν καὶ εἰς τὰ σπόριμα ὑπάγειν. Ἦλθε δὲ ὁ κύριος αὐτοῦ καὶ ἦρεν τὴν ῥάβδον καὶ ἔτυπτε τὸν ὄνον ἕως οὗ ὀρθοπόδησεν. Οὕτως ἐστὶ καὶ περὶ σώματος καὶ κοιλίας.

146. Πάλιν ἠρώτησεν ὁ ἀδελφὸς τὸν αὐτὸν Γέροντα λέγων· Πῶς θλίβουσί με οἱ λογισμοί μου, καὶ πολλάκις μετὰ τὴν αἰχμαλωσίαν ἐπιτιμῶ αὐτοῖς καὶ οὐκ ἀναχω-

72. Λουκ. 21, 34.

ἑξῆς: Προσέχετε μή σκληρύνουν οἱ καρδιές σας μέσ᾽ στήν ἀσωτεία καί τή μέθη καί μέσα στίς βιωτικές μέριμνες[72]».

144. Εἶπε κάποιος Γέροντας: «Μοναχός πού πίνει περισσότερα ἀπό τρία ποτήρια, ἄς μήν προσευχηθεῖ γιά μένα[73]».

145. Κάποιος ἀδελφός ρώτησε ἕνα Γέροντα: «Τί νά κάνω μέ τήν κοιλιά μου πού μέ στενοχωρεῖ; Τρώγω πολύ καί δέν μπορῶ νά ἐγκρατευθῶ καί λίγο-λίγο τό σῶμα μου πυρώνεται».

Κι ὁ Γέροντας τοῦ ἀποκρίθηκε: «Ἐάν δέν βάλεις στήν ψυχή σου τόν φόβο τοῦ Θεοῦ καί δέν νηστεύεις, δέν πρόκειται νά ὀρθοποδήσεις στόν δρόμο τοῦ Θεοῦ». Καί τοῦ ἀνέφερε τήν ἑξῆς παραβολή: «Ἕνας ἄνθρωπος εἶχε ἕνα γαϊδούρι. Καί ἐνῶ ἦταν καθισμένος ἐπάνω του, αὐτό ξέφευγε ἐδῶ κι ἐκεῖ. Πῆρε λοιπόν τό ραβδί καί τό χτυποῦσε. Καί τοῦ λέει τό γαϊδούρι: Μή μέ χτυπᾶς ἄλλο καί ἀπό ᾽δῶ καί πέρα θά βαδίζω ἴσια. Προχώρησαν ἀκόμη λίγο καί κατέβηκε (ὁ ἀγωγιάτης)· τό ραβδί τό ἔβαλε μέσα στό δισάκκι πού ἦταν πάνω στό ζῶο ἀλλά τό ζῶο δέν ἤξερε ὅτι ἦταν ἐπάνω του. Ὅταν ὅμως εἶδε νά μή κρατάει τό ἀφεντικό του ραβδί, ἄρχισε νά μή τοῦ δίνει σημασία καί πήγαινε στά σπαρμένα χωράφια. Ἀλλά ἦρθε τό ἀφεντικό, πῆρε τό ραβδί καί ἄρχισε νά χτυπάει τό γαϊδούρι, ὥσπου περπάτησε σωστά. Τό ἴδιο συμβαίνει καί σχετικά μέ τό σῶμα καί τήν κοιλιά».

146. Πάλι ὁ ἀδελφός ρώτησε τόν ἴδιο Γέροντα: «Πῶς συμβαίνει καί μέ καταπιέζουν οἱ λογισμοί, καί πολλές φορές ἀφοῦ μέ αἰχμαλωτίσουν, τούς ἀποδοκιμάζω ἀλλά δέν

73. Βλ. Δ ὑποσημ. 21 σελ. 46.

ροῦσιν, ἀλλ᾽ εἰς τὸν τόπον αὐτῶν στήκουσιν; Καὶ ἀπεκρίθη ὁ Γέρων καὶ εἶπεν αὐτῷ· Ἐὰν μὴ μετὰ πείνης εἴπης αὐτοῖς· Ὑπάγετε ἀπ᾽ ἐμοῦ, οὐχ ὑπάγουσιν, ἀλλὰ μένουσιν· ὅσον γὰρ ἔχουσιν ἀνάπαυσιν, οὐχ ὑπάγουσιν.

147. Εἶπε Γέρων· Νήστευε μετὰ λόγου καὶ ἀκριβείας. Ὅρα μὴ ὁ ἐχθρὸς ἐπιστῇ τῇ ἐμπορίᾳ τῆς νηστείας σου. Καὶ τάχα οἶμαι περὶ τούτου τὸν Σωτῆρα εἰρηκέναι τό· Γίνεσθε δόκιμοι τραπεζῖται, τουτέστι τὸ βασιλικὸν χάραγμα ἀκριβῶς γινώσκετε. Εἰσὶ γὰρ καὶ παραχαράγματα. Καὶ ἡ μὲν τοῦ χρυσοῦ φύσις ἡ αὐτή· διαφέρει δὲ τῷ χαράγματι. Ὁ μὲν χρυσός ἐστιν ἡ νηστεία, ἡ ἐγκράτεια, ἡ ἐλεημοσύνη· ἀλλὰ Ἑλλήνων παῖδες τὴν τυραννικὴν αὐτῶν εἰκόνα τούτοις ἐντίθενται, καὶ αἱρετικοὶ δὲ πάντες διὰ τούτων σεμνύνονται. Ὁρᾶν δὲ δεῖ τούτους καὶ ἀποφεύγειν ὡς παραχαράκτας. Βλέπε οὖν μὴ ἀγύμναστος περιπεσὼν αὐτοῖς ζημιωθῇς. Δέχου οὖν μετὰ ἀσφαλείας τὸν τοῦ Κυρίου σταυρὸν ἐντυπούμενον ἐν ταῖς ἀρεταῖς, τουτέστι πίστιν ὀρθὴν μετὰ σεμνῶν πράξεων.

148. Ἐκηρύχθη ποτὲ ἐν Σκήτει ἡ Τεσσαρακοστὴ τῶν νηστειῶν. Καὶ ἐλθών τις ἀδελφὸς ἀνήγγειλε Γέροντι μεγάλῳ λέγων· Ἀββᾶ, αἱ νηστεῖαι ἥκασιν. Λέγει αὐτῷ ὁ Γέρων·

---

74. Τό κείμενο τοῦ ἀποφθ. 147 βρίσκεται αὐτούσιο σχεδόν, ὡς λόγος τῆς ἁγίας Συγκλητικῆς, στό ἔργο τοῦ Μ. Ἀθανασίου(;): *Βίος καὶ πολιτεία τῆς ἁγίας Συγκλητικῆς*. PG 28, 1488A-1557B.

Εἰδικά γιά τή φράση «Γίνεσθε δόκιμοι τραπεζῖται» πού στό ἀπόφθεγμα ἀποδίδεται στόν Κύριο, ὑπάρχει ἡ σημείωση ὅτι θεωρεῖται ἕνα ἐκ τῶν ἀγρά-

φεύγουν· μένουν στή θέση τους». Κι ὁ Γέροντας τοῦ εἶπε: «Ἐάν δέν τούς πεῖς πεινασμένος: φύγετε ἀπό μένα, δέν φεύγουν, παραμένουν. Γιατί ἐνόσω βρίσκουν ἀνάπαυση, δέν ἀπομακρύνονται».

147. Εἶπε ἕνας Γέροντας: «Νά νηστεύεις μέ διάκριση καί ἀκρίβεια. Πρόσεχε νά μήν ἀναμειχθεῖ ὁ ἐχθρός στό θέμα τῆς νηστείας σου. Καί νομίζω ὅτι ἴσως γι᾽ αὐτό ὁ Σωτήρας ἔχει πεῖ: Νά εἶστε ἔμπειροι τραπεζίτες[74]· δηλαδή νά ἀναγνωρίζετε μέ σιγουριά τή βασιλική σφραγίδα. Γιατί γίνονται καί παραχαράξεις. Καί ἡ φύση βέβαια τοῦ χρυσοῦ εἶναι ἡ ἴδια· διαφέρει ὅμως στή σφραγίδα.

Ὁ χρυσός λοιπόν εἶναι ἡ νηστεία, ἡ ἐγκράτεια, ἡ ἐλεημοσύνη. Ἀλλά οἱ εἰδωλολάτρες βάζουν σ᾽ αὐτές (τίς ἀρετές) τήν εἰκόνα τοῦ τυράννου τους καί ὅλοι οἱ αἱρετικοί μέ αὐτῶν (τῶν ἀρετῶν) τίς παραποιήσεις καυχῶνται. Πρέπει νά τούς διακρίνουμε αὐτούς καί νά τούς ἀποφεύγουμε ὡς παραχαράκτες. Ἔχε λοιπόν τόν νοῦ σου μήν πάθεις ζημιά πέφτοντας στήν ἐπιρροή τους σάν ἀγύμναστος. Καί νά ἀποδέχεσαι μέ ἀσφάλεια τίς ἀρετές πού φέρουν τόν χαρακτήρα τοῦ σταυροῦ τοῦ Κυρίου, δηλαδή τήν ὀρθή πίστη πού συνοδεύεται ἀπό σεμνές πράξεις».

148. Κάποια φορά κηρύχθηκε στή Σκήτη ἡ ἔναρξη τῆς Σαρακοστῆς. Καί κάποιος ἀδελφός τό ἀνήγγειλε σέ ἕνα μεγάλο Γέροντα λέγοντάς του: «Ἀββᾶ, οἱ νηστεῖες ἔφθασαν».

φων λογίων τοῦ Ἰησοῦ. (A. Resch, Agrapha. Ausserkanonische Schriftfragmente, Darmstadt 1967, ἀριθμ. 87, σελ. 112).

Τό ρητό αὐτό, ὡς λόγιον τοῦ Κυρίου, ἀναφέρεται καί ἀπό τόν ἅγιο Κύριλλο Ἱεροσολύμων στήν 6η Κατήχηση κεφ. 36, καί ἀπό ἄλλους Πατέρες τῆς Ἐκκλησίας.

Ποῖαι, τέκνον; Εἶπε δὲ ὁ ἀδελφός· Αἱ νηστεῖαι τῆς Τεσσαρακοστῆς. Τότε ἀπεκρίθη αὐτῷ ὁ Γέρων· Φύσει, τέκνον, ἰδοὺ πεντήκοντα χρόνους οὐκ οἶδα οὐδὲ πότε εἰσέρχονται αἱ νηστεῖαι ἃς λέγεις, οὐδὲ πότε ἐξέρχονται, ἀλλ᾽ ὅλος ὁ χρόνος μου νηστεία μοί ἐστιν.

149. Διηγήσαντο οἱ Πατέρες ὅτι σώφρονος τινὸς κατασχεθέντος εἰς μαρτύριον, πικρότατον αὐτῷ ἀγῶνα προσήνεγκαν, ὥστε καὶ τὴν σωφροσύνην αὐτοῦ ἐκβιάζεσθαι. Τὰ δὲ τῆς κακομηχανίας αὐτῶν τοιάδε γεγένηται. Ἔν τινι κήπῳ εὐσκίῳ κλίνην στρώσαντες καὶ τὸν ἅγιον ἐν αὐτῇ δεσμήσαντες ἐπαφῆκαν αὐτῷ γύναιον ἄσεμνον ὡς ἂν καὶ ἐκ τῆς τοῦ τόπου ἡδύτητος καὶ ἐκ τοῦ μὴ δύνασθαι τὴν ἐπιχείρησιν τοῦ ἀσέμνου γυναίου διαφυγεῖν πανταχόθεν, ἄκων καὶ μὴ βουλόμενος εἰς τὴν ἄσεμνον πρᾶξιν ἑλκυσθῇ. Ἀλλ᾽ ὁ πιστὸς ἀνήρ, τοῦ γυναίου ἤδη διὰ φιλημάτων τὰς ἡδονὰς ἀνάπτοντος, τὴν γλῶσσαν αὐτοῦ δήγματι ἀποτεμὼν προσέπτυσεν αὐτῇ καὶ ἑαυτῷ μὲν πόνους δεινοτάτους καὶ ἀλγηδόνας ἀντὶ ἡδονῆς εἰσήγαγεν, ἐκείνην δὲ ἐφόβισε καὶ ἐσίανε τῷ ῥεύματι τοῦ αἵματος καὶ διὰ τοῦτο ὁ ἅγιος ἐν Κυρίῳ ἀπηνέγκατο νῖκος.

150. Ἀναχωρητής τις ἐκάθητο εἰς τὴν ἐσωτέραν ἔρημον ἐπὶ τριάκοντα ἔτη ἐξ ἑνὸς μαλωᾶ ἔχων τὴν τροφὴν αὐτοῦ. Ὕστερον δὲ ἤρξατο λέγειν ἐν ἑαυτῷ ὅτι εἰς μάτην ὧδε ἀπόλλω τῶν τοσούτων ἐτῶν τὰς ἡμέρας. Ἰδοὺ γὰρ τοσαῦτα ἔτη ἔχω μηδὲν ἄλλο ἐσθίων εἰ μὴ τὸν μαλωὰν τοῦτον καὶ

Τόν ρωτάει ὁ Γέροντας: «Ποιές, παιδί μου;» Καί ὁ ἀδελφός εἶπε: «Οἱ νηστεῖες τῆς Σαρακοστῆς». Τότε τοῦ ἀπάντησε ὁ Γέροντας: «Ἀλήθεια, παιδί μου, οἱ νηστεῖες γιά τίς ὁποῖες μιλᾶς, πᾶνε τώρα πενήντα χρόνια πού δέν ξέρω οὔτε πότε ἀρχίζουν οὔτε πότε τελειώνουν, γιατί ὅλος ὁ καιρός γιά μένα εἶναι καιρός νηστείας».

149. Διηγοῦνταν οἱ Πατέρες ὅτι συνέλαβαν κάποιον σώφρονα ἄνδρα καί τόν ὑπέβαλαν σέ μαρτυρικό ἀγώνα πολύ πικρό, ὥστε καί τή σωφροσύνη του νά παραβιάσουν. Χρησιμοποίησαν λοιπόν τό ἑξῆς πονηρό τέχνασμα. Σέ κάποιο κῆπο κάτω ἀπό τή σκιά τῶν δένδρων ἔστρωσαν κρεβάτι, ἔδεσαν τόν ἅγιο σ᾽ αὐτό καί ἄφησαν ἐπάνω του ἕνα ἄσεμνο γύναιο, ὥστε καί ἀπό τή γλυκύτητα τοῦ τόπου ἀλλά καί καθώς δέν μποροῦσε ἀπό πουθενά νά διαφύγει τά καμώματα τοῦ ἄσεμνου γυναίου, ἀκούσια καί χωρίς τή θέλησή του νά ἑλκυσθεῖ στήν ἄσεμνη πράξη.

Ἀλλά ὁ πιστός ἄνθρωπος, καθώς τό γυκαικάριο ἤδη μέ φιλήματα ἄναβε τήν ἡδονή, δάγκασε καί ἔκοψε τή γλώσσα του καί τήν ἔφτυσε ἐπάνω της. Ἔτσι στόν ἑαυτό του πρόσφερε ἀντί τῆς ἡδονῆς φρικτούς πόνους καί ὀδύνες καί ἐκείνη τήν φόβισε καί τῆς προκάλεσε ἀηδία μέ τό αἷμα πού ἔρεε. Καί μέ τόν τρόπο αὐτό ὁ ἅγιος κέρδισε τήν ἐν Κυρίῳ νίκη.

150. Ἕνας ἀναχωρητής ἔμενε στή βαθιά ἔρημο ἐπί τριάντα χρόνια τρεφόμενος ἀπό ἕνα μαλωά[75]. Κατόπιν ἄρχισε νά λέει μόνος του: «Χαμένες πᾶνε ὅλες μου οἱ μέρες τόσον καιρό ἐδῶ. Νά, τόσα χρόνια μήν τρώγοντας τίποτε ἄλλο ἐκτός ἀπό τόν μαλωά αὐτόν καί οὔτε εἶχα κάποια

75. Μαλωάς: ἄγριος καρπός δέντρου εἴτε θάμνου· ἴσως ἀγριομουριά.

οὔτε ἀποκάλυψιν εἶδον οὔτε σημεῖον ἐποίησα οἷον ἐποίησαν οἱ πρὸ ἐμοῦ μοναχοί· καταλείψας δὲ τὰ ὧδε ἀπέρχομαι ἐπὶ τὸν κόσμον. Ταῦτα δὲ ἐννοοῦντος παρέστη αὐτῷ ἄγγελος Κυρίου λέγων· Τί διαλογίζει; Ὁ δὲ εἶπε τὰ προγεγραμμένα. Λέγει οὖν αὐτῷ ὁ ἄγγελος· Καὶ ποῖον σημεῖον θέλεις ποιῆσαι περισσότερον τούτου; Τίς ἐστιν ὁ ἐνδυναμώσας σε καρτερῆσαι τοσαῦτα ἔτη ἐν τῷ τόπῳ τούτῳ ὑπὸ μόνου τοῦ μαλωᾶ τρεφόμενον; Ὑπόμεινον οὖν καὶ αἴτησαι τὸν Θεὸν παρασχεῖν σοι τὴν ταπείνωσιν. Ὁ δὲ στηριχθεὶς ὑπὸ τοῦ ἀγγέλου ἐκαρτέρησεν ἐκεῖ τὸν χρόνον τῆς ζωῆς αὐτοῦ.

151. Εἶπε Γέρων· Οὐ συμφέρει μοναχῷ ἐπερωτᾶν πῶς ὁ δεῖνα ἢ πῶς ὁ δεῖνα; Διὰ γὰρ τῆς ἐπερωτήσεως ταύτης ἀποσπώμενος τῆς προσευχῆς εἰς φλυαρίας καὶ καταλαλιὰς ἐμπίπτει· ὥστε οὐδὲν κρεῖττον τοῦ σιωπᾶν.

152. Διηγήσαντό τινες Πατέρες ὅτι ἦν τις ἐν τοῖς Γέρουσι τῷ γένει πόντιος πολλὰ καὶ μεγάλα κατορθώματα πεποιηκώς. Περὶ τούτου τοῦ Γέροντος Θεόδωρος ὁ γεγονὼς ἐπίσκοπος Ῥώσου ἔλεγεν ἡμῖν ὅτι ἐν μιᾷ ἦλθεν ἔγγιστά μου ἐν τῷ ἁγίῳ Ἰορδάνῃ εἰς τὴν Λαύραν τῶν Πυργίων. Ἐκεῖ γὰρ ἤμην τότε καθεζόμενος καὶ λέγει μοι· Ποίησον ἀγάπην, ἀδελφὲ Θεόδωρε, δεῦρο μετ᾽ ἐμοῦ εἰς τὸ ὄρος τὸ Σινᾶ ὅτι ἐκεῖσε ἔχω εὐχήν. Ἐγὼ δὲ μὴ δυνηθεὶς παρακοῦσαι τοῦ Γέροντος λέγω αὐτῷ· Ἄγωμεν. Ὡς οὖν ἐπερά-

76. Ρῶσος: Παραλιακή πόλη βορειοδυτικά τῆς Ἀντιόχειας.

77. Λαύρα Πυργίων: Βρισκόταν στήν Ἔρημο Καλαμῶνος, βόρεια τῆς

ἀποκάλυψη οὔτε ἔκανα κανένα θαῦμα, ὅπως ἔκαναν οἱ μοναχοί πρίν ἀπό μένα. Θά παρατήσω λοιπόν αὐτήν ἐδῶ τή ζωή καί θά φύγω στόν κόσμο».

Καθώς ἔκανε αὐτές τίς σκέψεις, τοῦ παρουσιάστηκε ἄγγελος Κυρίου καί τοῦ λέει: «Τί λογαριάζεις μέ τό μυαλό σου;» Κι ἐκεῖνος τοῦ εἶπε τά παραπάνω. Τοῦ λέει τότε ὁ ἄγγελος: «Καί τί μεγαλύτερο θαῦμα ἀπ᾽ αὐτό θέλεις νά κάνεις; Ποιός σέ δυνάμωσε νά ζήσεις καρτερικά τόσα χρόνια σ᾽ αὐτόν τόν τόπο τρεφόμενος μόνο ἀπό τόν μαλωά; Κάνε λοιπόν ὑπομονή καί ζήτησε ἀπό τόν Θεό νά σοῦ δώσει ταπείνωση». Στηρίχθηκε ἔτσι ὁ ἀναχωρητής ἀπό τόν ἄγγελο καί ἔμεινε καρτερικά ἐκεῖ ὅλη τήν ὑπόλοιπη ζωή του.

151. Εἶπε ἕνας Γέροντας: «Δέν συμφέρει στόν μοναχό νά κάνει ἐρωτήσεις πῶς εἶναι ὁ τάδε ἤ ὁ τάδε. Γιατί μέ τίς ἐρωτήσεις αὐτές ἀποσπᾶται ἀπό τήν προσευχή καί πέφτει σέ φλυαρία καί σέ κουτσομπολιό. Ἑπομένως τίποτε δέν εἶναι ὠφελιμότερο ἀπό τή σιωπή».

152. Διηγήθηκαν κάποιοι Πατέρες ὅτι μεταξύ τῶν Γερόντων ἦταν ἕνας πόντιος στήν καταγωγή πού ἔκανε πολλά καί μεγάλα κατορθώματα. Σχετικά μ᾽ αὐτόν τόν Γέροντα ὁ Θεόδωρος, πού ἔγινε ἐπίσκοπος Ρώσου[76], μᾶς διηγήθηκε τό ἑξῆς: «Ἀπρόσμενα κάποια μέρα ἦλθε πολύ κοντά μου στόν ἅγιο Ἰορδάνη στή Λαύρα τῶν Πυργίων[77]. Ἐκεῖ ἔμενα τότε κι ἐγώ· καί μοῦ λέει: Ἀδελφέ Θεόδωρε, κάνε ἀγάπη καί ἔλα μαζί μου στό ὄρος Σινᾶ, γιατί ἔχω τάξιμο γιά ἐκεῖ. Κι ἐγώ δέν μπόρεσα νά ἀδιαφορήσω στήν πρόταση τοῦ Γέροντα καί τοῦ εἶπα: Νά πᾶμε. Ὅταν λοιπόν πε-

Νεκρᾶς Θάλασσας.

σαμεν τὸν Ἰορδάνην, λέγει μοι ὁ Γέρων· Ἀδελφὲ Θεόδωρε, δεῦρο βάλωμεν μετάνοιαν, ἵνα ἕως τοῦ ὄρους τοῦ ἁγίου Σινᾶ μηδεὶς ἡμῶν φάγῃ. Λέγω αὐτῷ· Ὄντως, πάτερ, ἐγὼ οὐ δύναμαι τοῦτο ποιῆσαι.

Καὶ ἐμοῦ μὴ θελήσαντος τοῦτο ποιῆσαι ἔβαλε μετάνοιαν ὁ Γέρων καὶ ἕως τοῦ ἁγίου Σινᾶ οὐ μετέλαβέ τινος. Μεταλαβὼν οὖν ὅτε ἐφθάσαμεν εἰς τὸ Σινᾶ τῶν ἁγίων Μυστηρίων, τότε καὶ τροφῆς μετέλαβεν. Ὁμοίως καὶ ἀπὸ τοῦ Σινᾶ ἀπήλθομεν εἰς τὸν ἅγιον Μηνᾶν Ἀλεξανδρείας μὴ μεταλαβὼν αὐτὸς τροφῆς, κἀκεῖσε κοινωνήσας μετέλαβε τροφῆς. Καὶ ἀπὸ τοῦ ἁγίου Μηνᾶ ἤλθομεν εἰς τὴν ἁγίαν Πόλιν μηδενὸς ἐν τῇ ὁδῷ γευσαμένου αὐτοῦ. Κοινωνήσας δὲ εἰς τὴν ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀνάστασιν, μετέλαβε τροφῆς. Ἐν ὅλῃ οὖν τῇ τοιαύτῃ καὶ τηλικαύτῃ ὁδῷ εἰ μὴ τρίτον οὐκ ἔφαγεν ὁ Γέρων· ἅπαξ εἰς τὸ Σινᾶ ὄρος, ἅπαξ εἰς τὸν ἅγιον Μηνᾶν καὶ ἅπαξ εἰς τὴν ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀνάστασιν.

Τέλος τῆς περὶ ἐγκρατείας πραγματείας.


78. Πρόκειται γιά τόν ναό τοῦ μεγαλομάρτυρα ἁγίου Μηνᾶ πού ἡ μνήμη του ἑορτάζεται στίς 11 Νοεμβρίου. Στόν μεγάλο διωγμό ἐπί Διοκλητιανοῦ καί Μαξιμιανοῦ (296) ἐγκατέλειψε τήν ἀσκητική ζωή στό ὄρος Κοτυάειον (Φρυγίας), κοινῶς Κιουτάχεια, ὅπου εἶχε καταφύγει γιά ἄσκηση μέ τήν ἀποχώρησή του ἀπό τόν στρατιωτικό τομέα, καί προσῆλθε αὐτόκλητος καί ὁμολόγησε τήν πίστη του. Μετά ἀπό φρικτά βασανιστήρια, ἀπεκεφαλίσθη. Ὅσα λείψανα διασώθηκαν ἀπό τήν καύση τοῦ μαρτυρικοῦ σκήνους, τά μετέφεραν χριστιανοί στήν πατρική του γῆ, τήν Αἴγυπτο, καί τά ἔθαψαν κοντά στή λίμνη Μαρεώτιδα, δυτικά τῆς τότε Ἀλεξανδρείας, ὅπου λόγω τῶν πολλῶν θαυμάτων πού τελοῦνταν ἀπό τόν ἅγιο, συνέρρεαν πλήθη καί ἀπό ξένες ἀκόμη χῶρες. Ὁ πρῶτος ναός, πάνω στόν τάφο τοῦ μάρτυρα, κτίσθηκε ἐπί Μ. Κωνσταντίνου καί ἀρχιερατείας Μεγάλου Ἀθανασίου καί κατέστη θρησκευτικό κέντρο. Γύρω ἀπό τόν ναό ἀργότερα χτίσθηκε μοναστήρι· καί ἐπί αὐτοκράτορος Ζήνωνος (474-491) ἱδρύθηκε μέ τή δυναμική συμβολή τοῦ ἰδίου ὁλόκληρη πόλη γύρω ἀπό τά κτίσματα τοῦ τάφου τοῦ ἁγίου, γνωστή ὡς «ἡ πόλις τοῦ ἁγίου Μηνᾶ». Τά ἐρείπια τῆς πόλης αὐτῆς βρίσκονται στό σημερινό Ἐλ Ἀλαμέϊν (πού σημαίνει τόπος ἁγίου Μηνᾶ), ὅπου οἱ συμμαχικές δυνάμεις κατά τόν Β΄ παγκόσμιο πόλεμο πέτυχαν τή μεγάλη νίκη ἐναντίον τοῦ Ἄξονα. Ἡ νίκη αὐτή ἀποδόθηκε σέ θαυματουργική ἐπέμβαση τοῦ ἁγίου.

ράσαμε τόν Ἰορδάνη, μοῦ λέει ὁ Γέροντας: Ἀδελφέ Θεόδωρε, ἔλα νά βάλουμε μετάνοια, ὥσπου νά φθάσουμε στό βουνό τοῦ ἁγίου Σινᾶ, νά μή φάει κανένας μας. Τοῦ λέω τότε: Εἰλικρινά, πάτερ μου, ἐγώ δέν μπορῶ νά τό κάνω αὐτό.

Καί ἀφοῦ ἐγώ δέν θέλησα νά τό κάνω, ἔβαλε μετάνοια ὁ Γέροντας καί μέχρι τό Σινᾶ δέν ἔβαλε τίποτε στό στόμα του. Ὅταν φθάσαμε στό Σινᾶ, μετάλαβε τή θεία Κοινωνία, καί τότε πῆρε καί ἔφαγε. Μέ τόν ἴδιο τρόπο πήγαμε ἀπό τό Σινᾶ στόν ἅγιο Μηνᾶ Ἀλεξανδρείας[78] χωρίς νά φάει τίποτε, καί ἐκεῖ ἀφοῦ κοινώνησε, ἔφαγε κατόπιν. Καί ἀπό τόν ἅγιο Μηνᾶ ἤλθαμε στήν ἁγία Πόλη[79] χωρίς νά βάλει τίποτε στό στόμα του κατά τήν πορεία μας. Μετάλαβε κι ἐκεῖ στόν ἱερό ναό τῆς Ἀναστάσεως τοῦ Χριστοῦ καί Θεοῦ μας καί κατόπιν πῆρε τροφή. Σ' ὅλη δηλαδή τήν τόσο κουραστική καί μεγάλη πορεία μας δέν ἔφαγε ὁ Γέροντας παρά τρεῖς φορές. Μιά φορά στό ὄρος Σινᾶ, μιά στόν ἅγιο Μηνᾶ καί μιά στήν ἁγία Ἀνάσταση τοῦ Κυρίου καί Θεοῦ μας».

Τέλος τῆς πραγματείας γιά τήν ἐγκράτεια.

79. Ἁγία Πόλη: Ἱερουσαλήμ (καθώς ἐπέστρεφαν).



Ἡ πύλη τοῦ ἁγίου Στεφάνου, ὅπου οἱ προσκυνητές παλιά ἐξομολογοῦνταν, πρίν ἐπισκεφθοῦν τὴν Ἁγία Κορυφή τοῦ Σινᾶ

ΚΕΦΑΛΑΙΟ Ε΄

«Πᾶς πόρνος ἢ ἀκάθαρτος… οὐκ ἔχει κληρονομίαν ἐν τῇ Βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ».

(Ἐφ. 5, 5)

Διηγήματα διάφορα πρὸς ὠφέλειαν τῶν ἐκ τῆς πορνείας ἐπανισταμένων ἡμῖν πολέμων

Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· λογίζομαι ὅτι ἔχει τὸ σῶμα κίνησιν φυσικὴν ἀναφυρεῖσαν αὐτῷ ἀλλ' οὐκ ἐνεργεῖ μὴ θελούσης τῆς ψυχῆς, μόνον δὲ σημαίνει ἐν τῷ σώματι ἀπαθῆ κίνησιν· ἔστι δὲ καὶ ἄλλη κίνησις ἐκ τοῦ τρέφειν καὶ θάλπειν τὸ σῶμα βρώμασι καὶ πόμασιν, ἐξ ὧν ἡ θέρμη τοῦ αἵματος διεγείρει τὸ σῶμα πρὸς ἐνέργειαν. Διὸ καὶ ἔλεγεν ὁ Ἀπόστολος· μὴ μεθύσκεσθε οἴνῳ ἐν ᾧ ἐστὶν ἀσωτία. Καὶ πάλιν ὁ Κύριος τοῖς μαθηταῖς ἐντελλόμενος εἶπε· Βλέπετε μήποτε βαρηθῶσιν αἱ καρδίαι ἡμῶν ἐν κραιπάλῃ καὶ μέθῃ. Ἔστι δέ τις καὶ ἑτέρα κίνησις τοῖς ἀγωνιζομένοις ἐξ ἐπιβουλῆς καὶ φθόνου δαιμόνων ἐπιγινομένη. Ὥστε εἰδέναι δεῖ ὅτι τρεῖς εἰσὶ σωματικαὶ κινήσεις· μία μὲν φυσική, ἑτέρα ἐξ ἀδιαφορίας τροφῶν, ἡ δὲ τρίτη ἀπὸ δαιμόνων.

1. Ἐνέργεια σεξουαλικῆς φύσεως.
2. Ἐφ. 5, 18.
3. Κραιπάλη: ναυτία ἀπό ὑπερβολικό μεθύσι, ἀσωτεία.
4. Λουκ. 21, 34.

Διάφορες διηγήσεις ὠφέλιμες γιά τούς πολέμους πού ξεσηκώνει μέσα μας τό πάθος τῆς πορνείας

Εἶπε ὁ ἀββᾶς Ἀντώνιος*· «Νομίζω πώς τό σῶμα ἔχει μιά φυσική κίνηση πού ἔχει γίνει ἕνα μ' αὐτό, ἀλλά δέν ἐνεργεῖ χωρίς τή συγκατάθεση τῆς ψυχῆς· σημειώνει μόνο στό σῶμα μιά ἀπαθή κίνηση. Ὑπάρχει ὅμως καί ἄλλη κίνηση πού προέρχεται ἀπό τό ὅτι τρέφουμε καί περιποιούμαστε τό σῶμα μέ φαγητά καί ποτά. Καί ἡ θερμότητα τοῦ αἵματος πού ὀφείλεται σ' αὐτά, διεγείρει τό σῶμα σέ ἐνέργεια[1]. Γι' αὐτό καί ἔλεγε ὁ Ἀπόστολος· «Μή μεθᾶτε μέ κρασί πού ὁδηγεῖ στήν ἀσωτεία»[2]. Ἀλλά καί ὁ Κύριος, ὅταν ἔδινε ἐντολές στούς μαθητές του, εἶπε· «Προσέχετε μή σκληρύνουν οἱ καρδιές σας μέσα στήν κραιπάλη[3] καί στή μέθη[4]».

Ὑπάρχει ὅμως καί μιά ἄλλη κίνηση σ' αὐτούς πού ἀγωνίζονται πνευματικά. Αὐτή προέρχεται ἀπό τήν δολιότητα καί τόν φθόνο τῶν δαιμόνων. Ὥστε πρέπει νά γνωρίζουμε ὅτι τρεῖς σωματικές κινήσεις ὑπάρχουν. Μιά ἡ φυσική, ἡ ἄλλη ἀπό ἀπροσεξία στίς τροφές[5] καί ἡ τρίτη ἀπό τούς δαίμονες.

5. Τό νά τρώει κανείς ἀνεξέλεγκτα σέ ποσότητα καί ποιότητα (ἀδηφαγία καί λαιμαργία).

2. Ἀδελφὸς ἠρώτησε τόν ἀββᾶν Ἀγάθωνα περὶ τῆς πορνείας καὶ λέγει αὐτῷ· Ὕπαγε ῥίψον ἐνώπιον τοῦ Θεοῦ τὴν ἀδυναμίαν σου καὶ ἕξεις ἀνάπαυσιν.

3. Ἄλλοτε μέγας Γέρων παρέβαλε τῷ ἀββᾷ Ἀχιλλᾷ ἀπὸ Θηβαΐδος καὶ λέγει αὐτῷ· Ἀββᾶ, πολεμοῦμαι εἰς σέ. Ὁ δὲ λέγει αὐτῷ· Ὕπαγε καὶ σύ, Γέρων, εἰς ἐμὲ ἄρτι πολεμεῖσαι; Ὁ δὲ Γέρων ἀπὸ ταπεινώσεως εἶπε· Ναί, ἀββᾶ. Ἦν δὲ ἐκεῖ ἐπὶ τῇ θύρᾳ καθήμενος γέρων τυφλὸς καὶ χωλὸς καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἤθελον καθίσαι μικρὰς ἡμέρας καὶ διὰ τὸν Γέροντα τοῦτον οὐ δύναμαι καθίσαι. Ἀκούσας οὖν ὁ ἀββᾶς Ἀχιλλᾶς ἐθαύμασε τήν ταπείνωσιν τοῦ Γέροντος καὶ ἔλεγεν· Αὕτη οὐκ ἔστι πορνεία ἀλλὰ φθόνος ἐστὶ τῶν πονηρῶν δαιμόνων.

4. Εἶπεν ὁ ἀββᾶς Γερόντιος ὁ τῆς Πέτρας ὅτι· Πολλοὶ πειραζόμενοι ἐκ σωματικῶν ἡδονῶν μὴ πλησιάσαντες σώμασι κατὰ διάνοιαν ἐπόρνευσαν καὶ τῶν σωμάτων παρθένων φυλαττομένων κατὰ ψυχὴν ἐκπορνεύουσι· καλὸν οὖν, ἀγαπητοί, ποιεῖν τὸ γεγραμμένον καὶ πάσῃ φυλακῇ τηρεῖν ἕκαστον τὴν ἑαυτῶν καρδίαν.

5. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Δανιὴλ λέγων· Δός μοι μίαν ἐντολήν καὶ φυλάξω αὐτήν. Καὶ λέγει αὐτῷ· Μηδέποτε χαλάσῃς τὴν χεῖρά σου μετὰ γυναικὸς εἰς πινάκιον καὶ φάγῃς μετ᾽ αὐτῆς· καὶ ἐν τούτῳ φεύξῃ ἐκ τοῦ δαίμονος τῆς πορνείας μικρόν.

---

6. Βλ. Δ ὑποσημ. 39 σελ. 64.

2. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ἀγάθωνα* σχετικά μέ τήν πορνεία. Καί τοῦ λέγει ὁ Γέροντας: «Πήγαινε, ρίξε τήν ἀδυναμία σου ἐνώπιον τοῦ Θεοῦ καί θά βρεῖς ἀνάπαυση».

3. Κάποια ἄλλη φορά ἕνας μεγάλος Γέροντας πῆγε στόν ἀββᾶ Ἀχιλλᾶ* τῆς Θηβαΐδος[6] καί τοῦ λέει: «Ἀββᾶ, ἔχω πόλεμο μέσα μου γιά σένα». Κι ἐκεῖνος τοῦ λέει: «Φύγε καί σύ, Γέροντα, πού ἔχεις τώρα πιά πόλεμο γιά μένα». Καί ὁ Γέροντας μέ ταπείνωση τοῦ λέει: «Ναί, ἀββᾶ». Καί ἐκεῖ στήν πόρτα καθόταν ἕνας γέροντας τυφλός καί κουτσός· λέει λοιπόν σ᾽ αὐτόν ὁ Γέροντας: «Ἤθελα νά μείνω λίγες μέρες καί ἐξαιτίας τοῦ Γέροντα αὐτοῦ δέν μπορῶ νά μείνω». Ἄκουσε λοιπόν ὁ ἀββᾶς Ἀχιλλᾶς καί μέ θαυμασμό γιά τήν ταπείνωση τοῦ Γέροντα εἶπε: «Αὐτή δέν εἶναι πορνεία ἀλλά φθόνος τῶν πονηρῶν δαιμόνων».

4. Εἶπε ὁ ἀββᾶς Γερόντιος τῆς Πέτρας[7]: «Πολλοί πού ἔχουν τόν πειρασμό τῆς σαρκικῆς ἡδονῆς, χωρίς νά ἔχουν σωματικές σχέσεις, πορνεύουν μέ τή σκέψη. Καί ἐνῶ διατηροῦν τή σωματική τους παρθενία, διαπράττουν τό σαρκικό ἁμάρτημα στήν ψυχή. Χρειάζεται λοιπόν, ἀγαπητοί μου, νά ἐφαρμόζουμε αὐτό πού ἀναφέρεται στήν ἁγία Γραφή καί μέ κάθε τρόπο ὁ καθένας νά ἐπαγρυπνεῖ καί νά φυλάγει τήν καρδιά του[8]».

5. Ἕνας ἀδελφός παρακάλεσε τόν ἀββᾶ Δανιήλ*: «Δός μου μιά ἐντολή καί θά τήν φυλάξω». Καί τοῦ λέει ὁ ἀββᾶς: «Ποτέ μήν ἁπλώσεις τό χέρι σου σέ πιάτο μαζί μέ γυναίκα καί μή φᾶς μαζί της. Μ᾽ αὐτόν τόν τρόπο θά ἀποφεύγεις ἐν μέρει τόν δαίμονα τῆς πορνείας».

---

7. Βλ. Δ ὑποσημ. 37 σελ. 62.

8. Παροιμ. 4, 23.

6. Εἶπεν ὁ ἀββᾶς Εὐδαίμων περὶ τοῦ ἀββᾶ Παφνουτίου τοῦ πατρὸς τῆς Σκήτεως ὅτι· Κατῆλθον ἐκεῖ νεώτερος καὶ οὐκ ἀφῆκέ με μεῖναι ἐκεῖ λέγων· Ἐπὶ ἐμοῦ ὄψιν γυναικὸς οὐκ ἀφίω μεῖναι εἰς Σκῆτιν διὰ τὸν πόλεμον τοῦ ἐχθροῦ.

7. Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβός ὅτι ὁ χορταζόμενος καὶ λαλῶν μετὰ παιδίου ἤδη ἐπόρνευσε τῷ λογισμῷ μετ' αὐτοῦ.

8. Εἶπεν ὁ ἀββᾶς Καρίων ὅτι ἄνθρωπος μένων μετὰ παιδίου ἐὰν μή ἐστι δυνατὸς ἔρχεται κάτω, ἐὰν δέ ἐστι δυνατὸς καὶ οὐκ ἔρχεται κάτω, τέως οὐ προκόπτει.

9. Εἶπεν ὁ ἀββᾶς Κασσιανός ὅτι ἔλεγεν ἡμῖν ὁ ἀββᾶς Μωυσῆς· Καλὸν ἐστὶ μὴ ἀποκρύπτειν τοὺς λογισμοὺς ἀλλὰ Γέρουσι πνευματικοῖς καὶ διακριτικοῖς ἐξαγγέλλειν αὐτούς, οὐχὶ τοῖς διὰ χρόνον μόνον πεπολιωμένοις. Ἐπειδὴ πολλοὶ πρὸς τὴν ἡλικίαν ἀποβλέποντες καὶ τοὺς λογισμοὺς ἑαυτῶν ἐξειπόντες, ἀντὶ θεραπείας εἰς ἀπόγνωσιν διὰ τὴν ἀπειρίαν τοῦ ἀκούοντος περιέπεσον. Ἦν γάρ τις ἀδελφὸς τῶν πάνυ σπουδαίων καὶ σφοδρῶς ὀχληθεὶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας ἦλθε πρός τινα Γέροντα καὶ ἀνήγγειλεν αὐτῷ τοὺς ἰδίους λογισμούς. Ἐκεῖνος δὲ ἀκούσας, ἄπειρος ὤν,

---

9. Διάκριση: Ἡ διάκριση κατά τόν ἅγιο Ἰωάννη Σιναΐτη εἶναι: Στούς ἀρχάριους ἡ ὀρθή ἐπίγνωση τοῦ ἑαυτοῦ τους. Στούς μεσαίους ἡ νοερή αἴσθηση πού διακρίνει ἀλάνθαστα τό κυρίως ἀγαθό ἀπό τό φυσικό ἀγαθό καί τό ἀντίθετό του κακό. Καί στούς τέλειους εἶναι ἡ γνώση πού δίνεται ἀπό θεία ἔλλαμψη καί ἔχει τή δύναμη νά φωτίζει πλήρως καί ὅσα σκοτεινά ὑπάρχουν στή σκέψη τῶν ἄλλων.

Γενικά διάκριση εἶναι ἡ ἀλάνθαστη γνώση καί ἀντίληψη τοῦ θείου θε-

6. Εἶπε ὁ ἀββᾶς Εὐδαίμων γιά τόν ἀββᾶ Παφνούτιο*, τόν πατέρα τῆς Σκήτης, τό ἑξῆς: «Πῆγα ἐκεῖ ὅταν ἤμουν νέος, καί δέν μέ ἄφησε νά παραμείνω ἐκεῖ λέγοντάς μου: Ὅσο εἶμαι ἐγώ ἐδῶ, ὄψη γυναίκας δέν θά ἀφήσω νά μείνει στή Σκήτη ἐξαιτίας τοῦ πολέμου πού ξεσηκώνει ὁ ἐχθρός».

7. Εἶπε ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβός*: «Αὐτός πού εἶναι χορτάτος καί κουβεντιάζει μέ παιδί, ἤδη διέπραξε τό σαρκικό ἁμάρτημα μαζί του μέ τόν λογισμό».

8. Εἶπε ὁ ἀββᾶς Καρίων*: «Ἄνθρωπος πού μένει μαζί μέ παιδί, ἐάν δέν εἶναι δυνατός, πάει πίσω· ἐάν εἶναι δυνατός καί δέν πάει πίσω, ὁπωσδήποτε δέν προκόπτει».

9. Εἶπε ὁ ἀββᾶς Κασσιανός*: «Μᾶς ἔλεγε ὁ ἀββᾶς Μωυσῆς*· καλό εἶναι νά μήν κρύβει κανείς τούς λογισμούς του ἀλλά νά τούς ἀνακοινώνει σέ Γέροντες πνευματικούς πού ἔχουν διάκριση[9], ὄχι σ' αὐτούς πού μόνον λόγω ἡλικίας ἔχουν ἀσπρίσει. Γιατί πολλοί πού ἔλαβαν ὑπόψιν μόνο τήν ἡλικία καί ἐξαγόρευσαν τούς λογισμούς τους, ἀντί νά θεραπευτοῦν, ἔπεσαν σέ ἀπόγνωση καί αἰτία ἦταν ἡ ἀπειρία αὐτοῦ πού ἄκουε τούς λογισμούς τους.

Ἦταν λοιπόν ἕνας ἀδελφός ἀπό τούς πολύ ἀγωνιστές καί ἐπειδή ἐνοχλήθηκε ἔντονα ἀπό τόν πειρασμό τῆς πορνείας, πῆγε σέ κάποιον Γέροντα καί τοῦ ἀνέφερε τούς λογισμούς του. Ἐκεῖνος μόλις τόν ἄκουσε, ἐπειδή ἦταν ἄπει-

---

λήματος εἴτε γιά προσωπικά θέματα πρόκειται εἴτε γιά ὁμαδικά. Καί γιά τήν ἐνδημία τοῦ χαρίσματος προϋποτίθεται ἐσωτερική καθαρότητα συνειδήσεως, καρδιᾶς καί αἰσθήσεων (βλ. *Κλίμακα* κεφ. 26). Κατά τόν ἀπ. Παῦλο εἶναι χάρισμα «ἡ διάκρισις πνευμάτων» (Α΄ Κορ. 12, 10). Ἐπίσης θεωρεῖται ὡς «μείζων πασῶν τῶν ἀρετῶν».

ἀγανακτῶν ἄθλιον ἀπεκάλει τὸν ἀδελφὸν καὶ ἀνάξιον τοῦ μοναχικοῦ σχήματος ὡς τοιούτους δεξάμενον λογισμούς.

Ταῦτα ἀκούσας ὁ ἀδελφός ἀπογνοὺς ἑαυτοῦ καὶ καταλείψας τὸ ἴδιον κελλίον ἐπὶ τὸν κόσμον ἀπήρχετο. Κατὰ δὲ οἰκονομίαν Θεοῦ ὑπαντᾷ αὐτῷ ὁ ἀββᾶς Ἀπολλὼς καὶ βλέπων αὐτὸν τεταραγμένον καὶ πάνυ σκυθρωπάζοντα ἠρώτα αὐτὸν λέγων· Τέκνον, τίς ἡ αἰτία τῆς τοσαύτης στυγνότητος; Ὁ δὲ τὴν μὲν ἀρχὴν ἐκ τῆς πολλῆς ἀθυμίας οὐκ ἀπεκρίθη οὐδέν. Ὕστερον δὲ πολλὰ παρακληθεὶς ὑπὸ τοῦ Γέροντος τὰ καθ' ἑαυτὸν ἐξεῖπε λέγων ὅτι· Λογισμοὶ πορνείας ὀχλοῦσί μοι καὶ ἀπελθὼν ἀνήγγειλα τῷδε τῷ Γέροντι καὶ κατὰ τὸν λόγον αὐτοῦ οὐκ ἔστι μοι σωτηρίας ἐλπίς· ἀπογνοὺς οὖν ἑαυτοῦ ἀπέρχομαι εἰς τὸν κόσμον. Ταῦτα δὲ ἀκούσας ὡς σοφὸς ἰατρὸς ὁ πατὴρ Ἀπολλὼς παρεκάλει πολλὰ καὶ ἐνουθέτει αὐτὸν λέγων· Μὴ ξενίζου, τέκνον, μηδὲ ἀπελπίσῃς ἑαυτόν. Ἐγὼ γὰρ ἐν τοιαύτῃ ἡλικίᾳ καὶ πολιᾷ, σφόδρα ὑπὸ τούτων τῶν λογισμῶν ὀχλοῦμαι. Μὴ οὖν ἀθυμήσῃς ἐπὶ τῇ τοσαύτῃ πυρώσει, ἥτις οὐ τοσοῦτον ἀνθρωπίνῃ σπουδῇ ὅσον ἐλέει Θεοῦ θεραπεύεται. Μόνον τὴν σήμερον χάρισαί μοι καὶ ὑπόστρεψον εἰς τὸ κελλίον σου. Ἐποίησε δὲ ὁ ἀδελφὸς οὕτω.

Καὶ ἀπελθὼν ἀπ' αὐτοῦ ὁ ἀββᾶς Ἀπολλὼς ἐπορεύθη εἰς τὸ κελλίον τοῦ γέροντος τοῦ ἀπαγορεύσαντος τὸν ἀδελφὸν καὶ στὰς ἔξω ἐδεήθη τοῦ Θεοῦ μετὰ δακρύων λέγων· Κύριε, ὁ τοὺς πειρασμοὺς ὑπὲρ τοῦ συμφέροντος ἐπάγων, μετάστρεψον τὸν πόλεμον τοῦ ἀδελφοῦ εἰς τὸν γέροντα τοῦτον, ἵνα διὰ πείρας εἰς τὸ γῆρας αὐτοῦ μάθῃ ὅπερ ἐν τῷ

10. Τό ρ. ἀπαγορεύω τοῦ ἀρχ. κειμένου ἐκτός τῆς ἀρχικῆς σημασίας (= δέν ἐπιτρέπω σέ κάποιον κάτι) χρησιμοποιεῖται, ἰδιαίτερα στήν πατερική γραμματεία, καί μέ τήν ἔννοια: ἀπελπίζω, ἀπογοητεύω κάποιον.

ρος, ἀγανάκτησε καί ἀποκάλεσε τόν ἀδελφό ἄθλιο καί ἀνάξιο τοῦ μοναχικοῦ σχήματος, γιατί δέχθηκε τέτοιους λογισμούς.

Ἀκούοντας ὁ ἀδελφός τά λόγια αὐτά τοῦ Γέροντα ἀπελπίστηκε ἀπό τόν ἑαυτό του· ἐγκαταλείπει λοιπόν τό κελί του καί παίρνει τόν δρόμο γιά τόν κόσμο. Τά οἰκονόμησε ὅμως ὁ Θεός καί τόν συναντᾶ ὁ ἀββᾶς Ἀπολλώς*. Βλέποντάς τον ταραγμένο καί πολύ σκυθρωπό τόν ρωτάει: «Παιδί μου, τί σοῦ συνέβη καί εἶσαι τόσο πολύ λυπημένος;» Ἐκεῖνος στήν ἀρχή ἀπό τήν πολλή του λύπη δέν ἔδωσε καμιά ἀπάντηση. Ὕστερα ὅμως, ἐπειδή τόν παρακάλεσε πολύ ὁ Γέροντας, τοῦ φανέρωσε τό συμβάν: «Μέ ἐνοχλοῦν —εἶπε— λογισμοί πορνείας· γι' αὐτό πῆγα καί τούς ἀποκάλυψα στόν τάδε γέροντα καί κατά τά λεγόμενά του δέν ὑπάρχει γιά μένα ἐλπίδα σωτηρίας. Ἀπελπισμένος κι ἐγώ ἀπό τόν ἑαυτό μου, φεύγω γιά τόν κόσμο».

Αὐτά μόλις τ' ἄκουσε ὁ πατήρ Ἀπολλώς, σάν σοφός γιατρός ἄρχισε νά τόν παρηγορεῖ πολύ καί νά τόν συμβουλεύει λέγοντάς του: «Οὔτε νά παραξενευθεῖς, παιδί μου, οὔτε νά ἀπελπισθεῖς. Γιατί ἐγώ σέ τέτοια ἡλικία πού εἶμαι καί ἔχω ἀσπρίσει, ἐνοχλοῦμαι πάρα πολύ ἀπ' αὐτούς τούς λογισμούς. Μήν χάνεις λοιπόν τό θάρρος σου ἀπό τή μεγάλη πύρωση πού ἔχεις· ἄλλωστε αὐτή δέν θεραπεύεται τόσο ἀπό τήν προσπάθεια τοῦ ἀνθρώπου, ὅσο ἀπό τό ἔλεος τοῦ Θεοῦ. Μόνο σήμερα κάνε μου τήν χάρη καί γύρισε στό κελί σου». Καί ὁ ἀδελφός ἔκανε ὅπως τοῦ εἶπε.

Μόλις χώρισαν, ὁ ἀββᾶς Ἀπολλώς κατευθύνθηκε στό κελί τοῦ γέροντα πού ἀπέλπισε[10] τόν ἀδελφό. Στάθηκε ἀπ' ἔξω καί παρακάλεσε τόν Θεό μέ δάκρυα λέγοντας: «Κύριε, ἐσύ πού ἐπιτρέπεις νά ἔρχονται οἱ πειρασμοί γιά τό συμφέρον μας, στρέψε τόν πόλεμο τοῦ ἀδελφοῦ σ' αὐτόν ἐδῶ τόν γέροντα, γιά νά μάθει ἀπό πείρα στά γηρατειά του ὅ,τι δέν

μακρῷ χρόνῳ οὐκ ἐδιδάχθη, ὅπως συμπάσχῃ τοῖς πολεμουμένοις. Ὡς δὲ τὴν εὐχὴν ἐτέλεσεν, ὁρᾷ αἰθίοπα στήκοντα πλησίον τοῦ κελλίου καὶ βέλη ἀφιέντα κατὰ τοῦ γέροντος, ὑφ' ὧν τρωθεὶς εὐθέως ὡς ἐκ μέθης ὧδε κἀκεῖσε περιεφέρετο. Μὴ δυνάμενος δὲ καρτερῆσαι, ἐξελθὼν τοῦ κελλίου αὐτῇ τῇ ὁδῷ ᾗ καὶ ὁ νεώτερος ἐπὶ τὸν κόσμον ἐχώρει.

Ὁ δὲ ἀββᾶς Ἀπολλὼς νοήσας τὸ γεγονὸς ὑπήντησεν αὐτῷ καὶ προσελθὼν λέγει· Ποῦ πορεύῃ, τίς δὲ ἡ αἰτία τῆς κατεχούσης σε ταραχῆς; Αἰδεσθεὶς δὲ ὅτι ἐγνώσθη τὰ κατ' αὐτὸν τῷ ἁγίῳ, ὑπὸ αἰσχύνης οὐδὲν ἔλεγεν. Εἶπε δὲ αὐτῷ ὁ ἀββᾶς Ἀπολλώς· Ὑπόστρεψον εἰς τὸ κελλίον σου καὶ τοῦ λοιποῦ ἐπίγνωθι τὴν ἀσθένειάν σου καὶ ἔχε σεαυτὸν ἢ ἀγνοηθέντα παρὰ τοῦ διαβόλου ἢ καταφρονηθέντα· διὸ οὐδὲ ἠξιώθης τῆς κατ' αὐτὸν πάλης κατὰ τοὺς σπουδαίους. Τί δὲ λέγω πάλης; Προσβολὴν αὐτοῦ οὐδὲ ἕως μιᾶς ἡμέρας ἐνεγκεῖν ἠδυνήθης. Τοῦτο δέ σοι συνέβη ὅτι νεώτερον ὑπὸ τοῦ κοινοῦ ἐχθροῦ πολεμούμενον δεξάμενος ἀντὶ τοῦ πρὸς ἀγῶνα ἐπαλεῖψαι εἰς ἀπόγνωσιν ἐνέβαλες, μὴ λογισάμενος τὸ σοφὸν ἐκεῖνο παράγγελμα τὸ λέγον, ῥῦσαι ἀπαγομένους εἰς θάνατον καὶ ἐκπριώμενος κτεινομένους μὴ φείσῃ. Ἀλλ' οὐδὲ τὴν παραβολὴν τοῦ Σωτῆρος ἡμῶν τὴν λέγουσαν κάλαμον τεθλασμένον μὴ συντρίβειν καὶ λίνον καπνιζόμενον μὴ σβεννύειν. Οὐδεὶς γὰρ τοῦ ἐχθροῦ φέρειν ἠδύνατο τὰς ἐπιβουλὰς ἀλλ' οὐδὲ τὸν ἔμπυρον τῆς φύσεως βρασμὸν σβέσαι ἢ ἐπισχεῖν εἰ μὴ ἡ τοῦ Θεοῦ χάρις ἐφρούρει τὴν ἀνθρωπίνην ἀσθένειαν. Τοιγαροῦν πληρωθείσης τῆς περὶ

11. Συχνά ὁ διάβολος στή μοναστική γραμματεία ἐμφανίζεται μέ τή μορφή ἑνός μαύρου.

12. Παροιμ. 24, 11.

13. Ματθ. 12, 20.

διδάχθηκε στή μεγάλη διάρκεια τῆς ζωῆς του, ὥστε νά συμπάσχει μέ τούς πειραζομένους». Ὅταν τελείωσε τήν προσευχή του, βλέπει ἕναν ἀράπη[11] νά στέκεται κοντά στό κελί καί νά ρίχνει βέλη ἐναντίον τοῦ γέροντα, ἀπό τά ὁποῖα εὐθύς πληγώθηκε καί σάν μεθυσμένος πήγαινε ἀπ' ἐδῶ κι ἀπ' ἐκεῖ. Μή μπορώντας ν' ἀντέξει τόν πειρασμό, βγῆκε ἀπό τό κελί του καί πῆρε τόν ἴδιο δρόμο πού εἶχε πάρει καί ὁ νέος ἀδελφός πρός τόν κόσμο.

Ὁ ἀββᾶς Ἀπολλώς κατάλαβε τί συνέβη καί πῆγε νά τόν συναντήσει. Τόν πλησιάζει καί τοῦ λέει: «Ποῦ πηγαίνεις; Γιά ποιόν λόγο εἶσαι τόσο ταραγμένος;» Φοβισμένος ὅτι ἀποκαλύφθηκαν στόν ἅγιο αὐτά πού τοῦ συνέβησαν, ἀπό ντροπή δέν ἔλεγε τίποτα. Τοῦ εἶπε τότε ὁ ἀββᾶς Ἀπολλώς: «Γύρισε στό κελί σου καί στό ἑξῆς νά ἔχεις ἐπίγνωση τῆς ἀδυναμίας σου καί νά πιστεύεις ὅτι ἤ σέ εἶχε ἀγνοήσει ὁ διάβολος ἤ σέ εἶχε καταφρονήσει· γι' αὐτό δέν εἶχες κριθεῖ ἄξιος νά παλέψεις μαζί του ὅπως συμβαίνει μέ τούς ἀγωνιστές. Καί τί λέω νά παλέψεις; Δέν μπόρεσες νά ὑπομείνεις οὔτε τήν ἐπίθεση μιᾶς μέρας πού σοῦ ἔκανε. Καί αὐτό σοῦ συνέβη, γιατί ὅταν σοῦ ἦρθε κάποιος νέος πού πολεμοῦνταν ἀπό τόν κοινό ἐχθρό, ἀντί νά τόν παρακινήσεις γιά ἀγώνα, τόν ἔριξες σέ ἀπόγνωση καί δέν σκέφτηκες τό σοφό ἐκεῖνο παράγγελμα πού λέει[12]: Σῶσε αὐτούς πού τούς ὁδηγοῦν στόν θάνατο καί μήν τσιγγουνευθεῖς τά χρήματα γιά νά ἐξαγοράσεις αὐτούς πού πρόκειται νά φονευθοῦν. Ἀλλά οὔτε καί τήν παραβολή τοῦ Σωτήρα μας πού λέει: Καλάμι σπασμένο νά μήν τό συντρίψεις καί λυχνάρι πού καπνίζει νά μήν τό σβήσεις[13]. Γιατί κανείς δέν θά μποροῦσε νά ὑπομείνει τίς ὕπουλες ἐνέργειες τοῦ ἐχθροῦ ἀλλά οὔτε νά σβήσει ἤ νά συγκρατήσει τόν πυρωμένο ἀναβρασμό τῆς φύσεως, ἐάν ἡ χάρη τοῦ Θεοῦ δέν προστάτευε τήν ἀνθρώπινη ἀδυναμία. Λοιπόν ἀφοῦ πραγματοποιήθηκε

ἡμᾶς σωτηριώδους ταύτης οἰκονομίας, κοιναῖς εὐχαῖς τὸν Θεὸν ἱκετεύσωμεν ὅπως καὶ τὴν κατὰ σοῦ ἀφεθεῖσαν μάστιγα παραγάγῃ. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο· ταπεινοῖ καὶ ἀνυψοῖ, θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾍδου καὶ ἀνάγει.

Ταῦτα εἰπὼν καὶ ἐπευξάμενος παραχρῆμα τοῦ ἐπενεχθέντος αὐτῷ πολέμου ἀπήλλαξε, παραινέσας τε αὐτῷ αἰτεῖν παρὰ τοῦ Θεοῦ δοθῆναι αὐτῷ γλῶσσαν παιδείας τοῦ γνῶναι ἐν καιρῷ ἡνίκα δεῖ εἰπεῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος αὐτοῦ.

10. Πρὸς τὸν λογισμὸν τῆς πορνείας ἐπερωτηθεὶς ὁ ἀββᾶς Κῦρος ὁ Ἀλεξανδρεὺς ἀπεκρίνατο οὕτως· Ἐὰν λογισμοὺς οὐκ ἔχῃς, ἐλπίδα οὐκ ἔχεις· ἐὰν λογισμοὺς οὐκ ἔχῃς, τὴν πρᾶξιν ἔχεις. Τοῦτο δέ ἐστιν ὅτι ὁ κατὰ διάνοιαν πρὸς τὴν ἁμαρτίαν μὴ πολεμῶν πολεμούμενος μηδὲ ἀντιλέγων, σωματικῶς πράττει αὐτήν. Ὁ γὰρ ἔχων πράξεις οὐκ ὀχλεῖται διὰ λογισμῶν. Ἠρώτησεν ὁ Γέρων τὸν ἀδελφὸν λέγων· Μὴ συνήθειαν ἔχεις εἰς ὁμιλίαν γυναικός; Καὶ εἶπεν ὁ ἀδελφός· Οὔ· ἀλλὰ παλαιοὶ καὶ νέοι ζωγράφοι εἰσὶν οἱ λογισμοί μου· μνῆμαί εἰσιν ὀχλοῦσαί μοι, καὶ γυναικῶν εἴδωλα. Ὁ δὲ Γέρων πρὸς αὐτὸν εἶπε· Νεκροὺς μὴ φοβοῦ ἀλλὰ τοὺς ζῶντας φεῦγε, τουτέστι τὴν συγκατάθεσιν καὶ τὴν κατ' ἐνέργειαν ἁμαρτίαν καὶ ἐπεκτείνου μᾶλλον εἰς τὴν προσευχήν.

---

14. Ἰώβ 5, 18 καὶ Α' Βασ. 2, 6-7.

15. Ἠσ. 50, 4.

16. Καταλήγοντας ὁ Γέροντας μέ τή λακωνική ἀλλά χαρακτηριστική

γιά μᾶς ἡ σωτήρια αὐτή οἰκονομία, ἄς ἱκετεύσουμε ἀπό κοινοῦ τόν Θεό καί τή μάστιγα πού ἐπέτρεψε ἐναντίον σου νά τήν ἀπομακρύνει. Αὐτός μᾶς κάνει νά πονοῦμε καί πάλι ὅμως μᾶς ἐπαναφέρει στήν προηγούμενη κατάσταση. Μᾶς χτυπᾶ ἀλλά τά χέρια του μᾶς θεραπεύουν. Αὐτός ταπεινώνει καί ἀνυψώνει, Αὐτός εἶναι κύριος τοῦ θανάτου καί τῆς ζωῆς, Αὐτός ὁδηγεῖ τούς ἀνθρώπους στόν τάφο καί τούς ἐπαναφέρει στή ζωή[14].

Ἀφοῦ εἶπε αὐτά, προσευχήθηκε καί ἀμέσως τόν ἀπάλλαξε ἀπό τόν πειρασμό πού εἶχε ὁρμήσει ἐναντίον του. Τόν συμβούλευσε ἐπίσης νά ζητάει ἀπό τόν Θεό νά τοῦ δοθεῖ γλώσσα σύνεσης καί σοφίας, γιά νά γνωρίζει πότε πρέπει νά μιλήσει καί τί νά πεῖ[15].

10. Σχετικά μέ τόν λογισμό τῆς πορνείας ὅταν ρώτησαν τόν ἀββᾶ Κῦρο τόν Ἀλεξανδρέα, ἀπάντησε ὡς ἑξῆς: «Ἐάν δέν ἔχεις λογισμούς, δέν ἔχεις ἐλπίδα. Ἐάν δέν ἔχεις λογισμούς, ἔχεις τήν πράξη. Δηλαδή ἐκεῖνος πού στή σκέψη του δέν πολεμάει μέ τήν ἁμαρτία, ἐνῶ τόν πολεμοῦν οἱ λογισμοί καί οὔτε ἐναντιώνεται σ' αὐτούς, τήν πράττει σωματικά. Γιατί ἐκεῖνος πού ἐκτελεῖ ἔμπρακτα τήν ἁμαρτία δέν ἔχει ἐνόχληση ἀπό λογισμούς».

Ρώτησε τότε ὁ Γέροντας τόν ἀδελφό: «Μήπως συνηθίζεις νά συναναστρέφεσαι γυναίκα;» Καί ὁ ἀδελφός εἶπε: «Ὄχι. Οἱ λογισμοί μου εἶναι παλιοί καί νέοι ζωγράφοι. Μνῆμες εἶναι αὐτές πού μέ ἐνοχλοῦν καί εἰκόνες γυναικῶν». Καί ὁ Γέροντας τοῦ λέει: «Νεκρούς μή φοβᾶσαι ἀλλά νά ἀποφεύγεις τούς ζωντανούς, δηλαδή τή συγκατάθεση καί τήν πράξη τῆς ἁμαρτίας· καί νά ἐπεκτείνεσαι[16] περισσότερο στήν προσευχή».

φράση «ἐπεκτείνου μᾶλλον εἰς τὴν προσευχήν» προσανατολίζει τελικά τήν

11. Διηγήσατό τις περί τινος ἀδελφοῦ ἐμπεσόντος εἰς ἁμαρτίαν ὅτι παραβαλὼν τῷ ἀββᾶ Λὼτ ἐταράσσετο εἰσερχόμενος καὶ ἐξερχόμενος μὴ δυνάμενος καθίσαι. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Λώτ· Τί ἔχεις, ἀδελφέ; Ὁ δὲ εἶπεν· Ἁμαρτίαν μεγάλην ἐποίησα καὶ οὐ δύναμαι αὐτὴν ἐξειπεῖν τοῖς Πατράσι. Λέγει ὁ Γέρων· Ὁμολόγησόν μοι αὐτὴν κἀγὼ βαστάζω αὐτήν. Τότε εἶπεν αὐτῷ· Εἰς πορνείαν ἔπεσον καὶ ἔθυσα τοῦ τυχεῖν τοῦ πράγματος. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Θάρσει, ὅτι ἔστι μετάνοια. Ὕπαγε, κάθου εἰς τὸ σπήλαιον καὶ νήστευσον δύο δύο κἀγὼ βαστάζω μετὰ σοῦ τὸ ἥμισυ τῆς ἁμαρτίας. Πληρωθεισῶν οὖν τριῶν ἑβδομάδων ἐπληροφορήθη ὁ Γέρων ὅτι ἐδέξατο ὁ Θεὸς τὴν μετάνοιαν τοῦ ἀδελφοῦ καὶ ἔμεινεν ὑποτασσόμενος τῷ Γέροντι ἕως θανάτου αὐτοῦ.

12. Ἔλεγεν ὁ ἀββᾶς Ματώης ὅτι· Ἦλθεν ἀδελφὸς πρός με καὶ εἶπέ μοι ὅτι ἡ καταλαλιὰ χεῖρόν ἐστι τῆς πορνείας. Καὶ εἶπον· Σκληρός ἐστιν ὁ λόγος. Λέγει οὖν μοι· Καὶ πῶς νομίζεις εἶναι τὸ πρᾶγμα τοῦτο; Ἐγὼ δὲ ἔφην· Ἡ μὲν καταλαλιὰ κακὴ ἐστι, ταχεῖαν δὲ ἔχει τὴν θεραπείαν. Μετανοεῖ γὰρ πολλάκις ὁ καταλαλήσας λέγων· κατελάλησα· ἡ δὲ πορνεία φυσικὸς θάνατός ἐστιν.

13. Ὁ ἀββᾶς Ὀλύμπιος ὁ τῶν Κελλίων ἐπολεμήθη εἰς πορνείαν. Καὶ λέγει αὐτῷ ὁ λογισμός· Ὕπαγε, λάβε σεαυτῷ γυναῖκα. Καὶ ἀναστὰς ἐποίησε πηλὸν καὶ ἔπλασε γυναῖκα

ψυχή πρός τόν μόνο δυνάμενο νά περιφρουρήσει καί νά ὁπλίσει τόν ἄνθρωπο, ὥστε νά ἀνταπεξέρχεται στήν ἔνταση τῶν πειρασμῶν, ὥς τήν ὥρα πού ἡ θεία του βούληση θά κρίνει σκόπιμο νά τόν ἐλευθερώσει. Βλ. Β' Πέτρ. 2, 9 καί ἀπόφθ. Δ9 (νουθεσία ἀββᾶ Ἀπολλώ).

11. Διηγήθηκε κάποιος γιά ἕναν ἀδελφό πού ἔπεσε σέ ἁμαρτία ὅτι ἐπισκέφθηκε τόν ἀββᾶ Λώτ, ἀλλά μπαινόβγαινε ταραγμένος μή μπορώντας νά καθίσει. Καί τοῦ λέει ὁ ἀββᾶς Λώτ: «Τί ἔχεις, ἀδελφέ;» Κι ἐκεῖνος ἀπαντᾶ: «Ἁμαρτία μεγάλη ἔκανα καί δέν μπορῶ νά τήν ἐξαγορεύσω στούς Πατέρες». «Ὁμολόγησέ την σέ μένα —λέει ὁ Γέροντας— καί ἐγώ θά τήν σηκώσω». Τότε τοῦ εἶπε: «Ἔπεσα σέ πορνεία καί θυσίασα στά εἴδωλα γιά νά τό ἐπιτύχω». «Ἔχε θάρρος —συνιστᾶ ὁ Γέροντας— γιατί ὑπάρχει μετάνοια. Πήγαινε, μεῖνε μέσα στό σπήλαιο καί νήστευσε δύο-δύο[17] μέρες. Καί ἐγώ θά σηκώσω μαζί σου τή μισή ἁμαρτία».

Ὅταν συμπληρώθηκαν τρεῖς ἑβδομάδες, εἶχε πληροφορία ὁ Γέροντας ὅτι δέχτηκε ὁ Θεός τή μετάνοια τοῦ ἀδελφοῦ. Καί ἔμεινε ὑποτακτικός τοῦ Γέροντα μέχρι τόν θάνατό του.

12. Ἔλεγε ὁ ἀββᾶ Ματώης: «Ἦλθε κάποιος ἀδελφός καί μοῦ εἶπε ὅτι ἡ καταλαλιά εἶναι χειρότερη ἀπό τό σαρκικό ἁμάρτημα. Καί εἶπα: Σκληρός εἶναι ὁ λόγος. Μέ ρωτάει τότε: Καί πῶς νομίζεις πώς ἔχει τό θέμα αὐτό; Καί τοῦ ἐξήγησα: Ἡ καταλαλιά εἶναι κακό πράγμα, ἀλλά ἔχει γρήγορη θεραπεία. Γιατί ἐκεῖνος πού κατηγορεῖ μετανοεῖ πολλές φορές ὁμολογώντας: Κατηγόρησα. Ἐνῶ ἡ πορνεία εἶναι ἕνας φυσικός θάνατος».

13. Ὁ ἀββᾶς Ὀλύμπιος πού ἔμενε στά Κελλία, πολεμήθηκε ἀπό τόν πειρασμό τῆς πορνείας. Καί τοῦ λέει ὁ λογισμός του: «Πήγαινε καί παντρέψου».

Σηκώνεται λοιπόν, κάνει πηλό καί πλάθει μιά γυναί-

17. Βλ. Δ ὑποσημ. 5 σελ. 23.

καὶ λέγει· Ἰδοὺ ἡ γυνή σου, χρεία οὖν ἐργάζεσθαι πολλὰ ἵνα θρέψῃς αὐτήν. Καὶ εἰργάζετο κοπιῶν πολλά. Καὶ μεθ' ἡμέρας πάλιν ἀναστὰς ἐποίησε πηλὸν καὶ ἔπλασεν ἑαυτῷ θυγατέραν καὶ λέγει τῷ λογισμῷ αὐτοῦ· Ἰδοὺ ἔτεκεν ἡ γυνή σου· χρείαν ἔχεις περισσότερον ἐργάζεσθαι, ἵνα δυνηθῇς θρέψαι τὸ τέκνον σου καὶ ἐνδύσαι. Καὶ οὕτω ποιῶν ἀπὸ κόπου ἔτηξεν ἑαυτὸν καὶ λέγει τῷ λογισμῷ· Οὐκέτι ἰσχύω ὑποφέρειν τὸν κόπον. Καὶ εἶπεν· Εἰ οὖν οὐκ ἰσχύεις κοπιάσαι μηδὲ γυναῖκα ἐπιζητήσῃς. Καὶ ἰδὼν ὁ Θεὸς τὸν κόπον αὐτοῦ ἦρεν ἀπ' αὐτοῦ τὸν πόλεμον καὶ ἀνεπάη.

14. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ὥσπερ ὁ σπαθάριος τοῦ βασιλέως παρίσταται αὐτῷ διὰ παντὸς ἕτοιμος, οὕτω δεῖ τὴν ψυχὴν ἑτοίμην εἶναι πρὸς τὸν δαίμονα τῆς πορνείας.

15. Ἠρώτησεν ὁ ἀββᾶς Ἀνοὺβ τὸν ἀββᾶν Ποιμένα περὶ τῶν ἀκαθάρτων λογισμῶν ὧν γεννᾷ ἡ καρδία τοῦ ἀνθρώπου καὶ περὶ τῶν ματαίων ἐπιθυμιῶν. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος αὐτῇ; Καὶ σὺ μὴ δὸς αὐτοῖς χεῖρα καὶ ἀργοῦσιν.

16. Ἦλθέ ποτε ἀδελφὸς πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ λέγει αὐτῷ· Τί ποιήσω, πάτερ, ὅτι θλίβομαι ἀπὸ τῆς πορνείας; Καὶ ἰδοὺ ἀπῆλθον πρὸς τὸν ἀββᾶν Ἰβιστίωνα καὶ λέγει μοι· Οὐκ ὀφείλεις αὐτὴν ἐᾶσαι χρονίζειν ἐπὶ σέ. Λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Τοῦ ἀββᾶ Ἰβιστίωνος αἱ πράξεις ἄνω εἰς τὸν οὐρανὸν μετὰ τῶν ἀγγέλων εἰσὶ καὶ λανθάνει αὐτῷ ὅτι ἐγὼ καὶ σὺ ἐν τῇ πορνείᾳ ἐσμέν. Πλὴν τὸ κατ' ἐμέ,

κα. Καί λέει στόν ἑαυτό του: «Νά ἡ γυναίκα σου. Εἶναι ἀνάγκη λοιπόν νά δουλεύεις πολύ γιά νά τήν θρέψεις». Καί δούλευε κοπιάζοντας πολύ.

Μετά ἀπό μερικές ἡμέρες πάλι σηκώθηκε, ἔκανε πηλό καί ἔπλασε γιά τόν ἑαυτό του θυγατέρα. Καί λέει στόν λογισμό του: «Νά, γέννησε ἡ γυναίκα σου. Χρειάζεται τώρα περισσότερο νά ἐργάζεσαι γιά νά μπορέσεις νά θρέψεις καί νά ντύσεις τό παιδί σου». Ἀλλά καθώς δούλευε ἔτσι, ἔλιωσε ἀπό τόν πολύ κόπο καί λέει στόν λογισμό του: «Δέν μπορῶ πιά νά ὑποφέρω τόν κόπο». Καί πρόσθεσε: «Ἐάν δέν μπορεῖς νά κοπιάσεις, οὔτε γυναίκα νά γυρεύεις». Καί ὁ Θεός βλέποντας τόν κόπο του τοῦ πῆρε τόν πόλεμο καί ἡσύχασε.

14. Εἶπε ὁ ἀββᾶς Ποιμήν*: «Ὅπως ὁ σωματοφύλακας τοῦ βασιλιᾶ στέκεται στό πλάϊ του πάντοτε ἕτοιμος, τό ἴδιο καί ἡ ψυχή πρέπει νά εἶναι σέ ἐγρήγορση ἀπέναντι στόν δαίμονα τῆς σαρκικῆς ἁμαρτίας.

15. Ρώτησε ὁ ἀββᾶς Ἀνούβ τόν ἀββᾶ Ποιμένα γιά τούς ἀκάθαρτους λογισμούς, πού γεννᾶ ἡ καρδιά τοῦ ἀνθρώπου, καί γιά τίς μάταιες ἐπιθυμίες. Καί τοῦ λέει ὁ ἀββᾶς Ποιμήν: «Μήπως θά δοξασθεῖ τό ἀξινάρι χωρίς αὐτόν πού τό χρησιμοποιεῖ γιά νά κόβει; Καί σύ μή συνεργάζεσαι μ' αὐτά καί θά ἀδρανήσουν».

16. Ἦλθε κάποτε ἕνας ἀδελφός στόν ἀββᾶ Ποιμένα καί τοῦ λέει: «Τί νά κάνω, πάτερ, πού πιέζομαι ἀπό τόν πειρασμό τῆς πορνείας; Πῆγα μάλιστα στόν ἀββᾶ Ἰβιστίωνα καί μοῦ λέει: Πρέπει νά μήν τόν ἀφήσεις νά χρονίσει πάνω σου». Καί ἀπαντᾶ ὁ ἀββᾶς Ποιμήν: «Οἱ πράξεις τοῦ ἀββᾶ Ἰβιστίωνα εἶναι ψηλά στόν οὐρανό μέ τούς ἀγγέλους μαζί, καί τοῦ διαφεύγει ὅτι ἐγώ καί σύ βρισκόμαστε μέσα στήν

ἐὰν κρατήσῃ μοναχὸς τὴν κοιλίαν καὶ τὴν γλῶσσαν καὶ τὴν ξενιτείαν, θάρσει, οὐκ ἀποθνῄσκει.

17. Ἄλλος ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω ὅτι πολεμοῦμαι εἰς τὴν πορνείαν καὶ ἁρπάζομαι εἰς τὸν θυμόν; Λέγει ὁ Γέρων· Διὰ τοῦτο ὁ Δαβὶδ ἔλεγεν ὅτι· Τὸν μὲν λέοντα ἐπάτασσον, τὴν δὲ ἄρκτον ἀπέπνιγον. Τοῦτό δέ ἐστιν ὅτι τὸν μὲν θυμὸν ἀπέκοπτον, τὴν δὲ πορνείαν ἐν πόνοις ἔθλιβον.

18. Εἶπε πάλιν· Ζῆσαί σε κατὰ Θεὸν ἀδύνατόν ἐστι φιλήδονον ὄντα καὶ φιλάργυρον.

19. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν περὶ τῆς πορνείας καὶ τῆς καταλαλιᾶς ὅτι· Οὐ δέον ἐστὶν ἄνθρωπον τὸ σύνολον οὐδὲ λαλῆσαι πρὸς τοὺς δύο λογισμοὺς τούτους, οὐδὲ ὅλως ἐννοῆσαι τῇ καρδίᾳ. Ἐάν τε γὰρ θέλῃ ὅλως διακρῖναι αὐτοὺς ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐκ ὠφελεῖται ἀλλ' ἀγριωθεὶς ἀπ' αὐτῶν οὐχ ἕξει ἀνάπαυσιν.

20. Ἠρωτήθη ὁ ἀββᾶς Ποιμὴν περὶ μολυσμῶν καὶ ἀπεκρίθη ὅτι· Ἐὰν στήσωμεν τὸ πρακτικὸν καὶ νήψωμεν ἐπιμελῶς, οὐχ εὑρήσομεν ἐν ἑαυτοῖς μολυσμόν.

---

18. Α' Βασ. 17, 35.

19. Νῆψις, νηφάλιος, νηφαλιότης: δηλώνουν τήν ἐπαγρύπνηση πού πρέπει νά ἔχουμε στό νοῦ καί στήν καρδιά, ὥστε νά ἐπισημαίνουμε τίς ἀντίθετες πρός τό θέλημα τοῦ Θεοῦ ψυχικές κινήσεις εἴτε ἐκ τῶν ἔξω προέρχονται εἴτε ἔσωθεν κινοῦνται. Ἡ νήψη εἶναι ἀπαραίτητος ὅρος γιά τήν ἀγωνιζόμενη

ἐπήρεια τοῦ σαρκικοῦ ἁμαρτήματος. Ἀλλά ἐγώ πιστεύω ὅτι ἐάν ὁ μοναχός κυριαρχήσει στήν κοιλιά καί στή γλώσσα καί φυλάξει τήν ξενητεία, ἔχε θάρρος, δέν πεθαίνει».

17. Ἕνας ἄλλος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί νά κάνω πού μέ πολεμάει ὁ πειρασμός τῆς πορνείας καί μέ κυριεύει ὁ θυμός;» Τοῦ λέει ὁ Γέροντας: «Γι' αὐτό ὁ Δαβίδ ἔλεγε: Τό λιοντάρι τό σκότωνα καί τήν ἀρκούδα τήν ἔπνιγα[18]. Καί αὐτό σημαίνει ὅτι τόν θυμό τόν ἔκοβα καί τόν σαρκικό πειρασμό τόν ἔθλιβα μέσα σέ κόπους».

18. Εἶπε ἐπίσης: «Εἶναι ἀδύνατο νά ζήσεις σύμφωνα μέ τό θέλημα τοῦ Θεοῦ, ἐάν εἶσαι φίλος τῆς ἡδονῆς καί τοῦ χρήματος».

19. Εἶπε ὁ ἀββᾶς Ποιμήν γιά τήν πορνεία καί τήν καταλαλιά: «Δέν πρέπει ὁ ἄνθρωπος καθόλου νά συζητάει μέσα του μέ τούς δυό αὐτούς λογισμούς οὔτε νά τούς ἀφήνει κἄν νά σχηματίζονται στήν ψυχή του.

Γιατί ἄν θέλει ὁπωσδήποτε νά τούς ἀναλύει μέσα του, δέν θά ὠφεληθεῖ. Ἀντίθετα· θά ἐξαγριωθεῖ ἀπ' αὐτούς καί δέν θά ἔχει ψυχική ἀνάπαυση».

20. Ρώτησαν τόν ἀββᾶ Ποιμένα γιά τούς μολυσμούς καί ἀπάντησε ὡς ἑξῆς: «Ἐάν ἐκτελοῦμε σταθερά τήν ἄσκησή μας καί φροντίζουμε νά εἴμαστε νηφάλιοι[19], δέν θά ὑπάρχει μέσα μας μολυσμός[20]».

ψυχή πού ἀναζητεῖ τήν κοινωνία μετά τοῦ Θεοῦ. Στή νήψη συμβάλλει τά μέγιστα ἡ μονολόγιστη εὐχή «Κύριε Ἰησοῦ Χριστέ Υἱέ τοῦ Θεοῦ, ἐλέησον ἡμᾶς», ὅταν ἐκφέρεται μέ τή δέουσα εὐλάβεια.

20. Ἤ: δέν θά μᾶς καταλογισθεῖ μολυσμός.

21. Εἶπε πάλιν· Ἄνθρωπος ἔχων παιδίον συνοικοῦν καὶ ἐνεργούμενος εἰς αὐτὸ ἢ εἰς οἷον δ' ἂν πάθος τοῦ παλαιοῦ ἀνθρώπου, καὶ πάλιν κατέχῃ αὐτὸ μεθ' ἑαυτοῦ, ὅμοιός ἐστιν ὁ τοιοῦτος ἀνθρώπῳ ἔχοντι ἀγρὸν ὑπὸ σκωλήκων διβρωσκόμενον.

22. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα διὰ τὴν πορνείαν καὶ λέγει αὐτῷ ὁ Γέρων ὅτι· Πολλή ἐστιν ἡ βοήθεια τοῦ Θεοῦ ἡ περικυκλοῦσα τὸν ἄνθρωπον ἀλλ' οὐ συγχωρούμεθα ἰδεῖν τοῖς ὀφθαλμοῖς ἡμῶν.

23. Ἦν τις ἀδελφὸς εἰς Σκῆτιν μετὰ τοῦ ἀββᾶ Παφνουτίου καὶ ἐπολεμεῖτο εἰς πορνείαν καὶ ἔλεγεν· Ἐάν λάβω δέκα γυναῖκας, οὐ πληρῶ τὴν ἐπιθυμίαν μου. Ὁ δὲ Γέρων παρεκάλει λέγων· Μή, τέκνον, πόλεμός ἐστι τῶν δαιμόνων. Καὶ οὐκ ἐπείσθη ἀλλὰ ἀπῆλθεν εἰς Αἴγυπτον καὶ ἔλαβε γυναῖκα. Μετὰ δὲ χρόνον ἐγένετο ἀναβῆναι τὸν Γέροντα εἰς Αἴγυπτον καὶ ἀπήντησεν αὐτῷ βαστάζοντι σπυρίδα ὀστράκων. Ὁ δὲ Γέρων οὐκ ἐγνώρισεν αὐτόν, ἀλλ' αὐτὸς λέγει αὐτῷ· Ἐγὼ εἰμί, ὁ δεῖνα, ὁ μαθητής σου. Καὶ ἰδὼν αὐτὸν ὁ Γέρων ἐν τῇ ἀτιμίᾳ ἐκείνῃ, ἔκλαυσε καὶ εἶπε· Πῶς ἀφῆκας τὴν τιμὴν ἐκείνην καὶ ἦλθες εἰς τὴν ἀτιμίαν ταύτην; Πλὴν ἔλαβες τὰς δέκα γυναῖκας; Καὶ στενάξας εἶπε· Φύσει μίαν ἔλαβον καὶ ταλαιπωρῶ πῶς αὐτὴν χορτάσω ἄρτον. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Δεῦρο πάλιν μεθ' ἡμῶν. Καὶ εἶπεν· Ἔνι μετάνοια, ἀββᾶ; Καὶ λέγει αὐτῷ· Ἔνι. Καὶ καταλείψας πάντα ἠκολούθησεν αὐτῷ καὶ εἰσελθὼν εἰς Σκῆτιν ἀπὸ τῆς πείρας γέγονε δόκιμος μοναχός.

21. Εἶπε ἀκόμη: «Ἄνθρωπος πού συγκατοικεῖ μέ παιδί καί πού μέσα του κινεῖται τό πάθος πρός αὐτό ἤ ὁποιοδήποτε ἄλλο πάθος τοῦ παλαιοῦ ἀνθρώπου καί ἐξακολουθεῖ νά τό κρατάει μαζί του, αὐτός μοιάζει μέ κάτοχο χωραφιοῦ πού κατατρώγεται ἀπό σκουλήκια.

22. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα σχετικά μέ τήν πορνεία. Καί τοῦ λέει ὁ Γέροντας: «Μεγάλη εἶναι ἡ βοήθεια τοῦ Θεοῦ πού περιστοιχίζει τόν ἄνθρωπο, ἀλλά δέν μᾶς ἔχει δοθεῖ ἡ δυνατότητα νά τή βλέπουμε μέ τά μάτια μας».

23. Ἦταν ἕνας ἀδελφός στή Σκήτη, στή συνοδεία τοῦ ἀββᾶ Παφνουτίου, πού εἶχε πόλεμο σαρκικό καί ἔλεγε: «Καί δέκα γυναῖκες ἄν πάρω, δέν θά ἱκανοποιήσω τήν ἐπιθυμία μου». Καί ὁ Γέροντας προσπαθοῦσε νά τόν συνεφέρει καί τοῦ 'λεγε: «Μή, παιδί μου, εἶναι πειρασμός τῶν δαιμόνων». Ἀλλά δέν πείσθηκε καί πῆγε στήν Αἴγυπτο καί παντρεύτηκε. Μετά ἀπό κάποιο χρονικό διάστημα συνέβη ὁ Γέροντας νά πάει στήν Αἴγυπτο καί τόν συνάντησε, καθώς κουβαλοῦσε καλάθι μέ πήλινα ἀγγεῖα. Ὁ Γέροντας δέν τόν γνώρισε, ἀλλά αὐτός τοῦ λέει: «Ἐγώ εἶμαι ὁ τάδε, ὁ μαθητής σου». Καί βλέποντάς τον ὁ Γέροντας σ' ἐκεῖνο τό κατάντημα ἔκλαψε καί εἶπε: «Πῶς ἄφησες τήν τιμή πού εἶχες καί ἔφθασες σ' αὐτό τό κατάντημα; Ἀλλά πές μου, πῆρες τίς δέκα γυναῖκες;» Στέναξε τότε καί εἶπε: «Ἀλήθεια, μία πῆρα καί παιδεύομαι πῶς νά τήν χορτάσω». Καί ὁ Γέροντας τοῦ λέει: «Ἔλα πάλι μαζί μας». «Ὑπάρχει, —τόν ρωτάει— μετάνοια, ἀββᾶ;» «Ὑπάρχει» τοῦ ἀπαντᾶ. Μετά ἀπ' αὐτό ἐγκατέλειψε τά πάντα καί τόν ἀκολούθησε. Καί ξαναρχίζοντας τή ζωή του στή Σκήτη, λόγω τῆς πείρας πού ἀπόκτησε, ἔγινε ἄξιος μοναχός.

24. Διηγήσαντο περὶ τῆς ἀμμᾶς Σάρρας ὅτι ἔμεινε δεκατρία ἔτη πολεμουμένη κραταιῶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας καὶ οὐδέποτε ηὔξατο ἀποστῆναι τὸν πόλεμον, ἀλλὰ μόνον ἔλεγεν· Ὁ Θεὸς δός μοι ἰσχύν.

25. Εἶπον πάλι περὶ αὐτῆς ὅτι ἐπέθετο αὐτῇ ποτὲ σφοδρότερον τὸ πνεῦμα τῆς πορνείας ὑποβάλλον αὐτῇ τὰ τοῦ κόσμου μάταια. Ἡ δὲ μὴ ἐνδοῦσα τῷ τοῦ Θεοῦ φόβῳ καὶ τῇ ἀσκήσει ἀνῆλθεν ἐν μιᾷ πρὸς τὸ δωμάτιον αὐτῆς προσεύξασθαι. Καὶ ὤφθη αὐτῇ σωματικῶς τὸ πνεῦμα τῆς πορνείας καὶ εἶπεν αὐτῇ· Σύ με ἐνίκησας, Σάρρα. Ἡ δὲ εἶπεν· Οὐκ ἐνίκησά σε ἐγώ, ἀλλ᾽ ὁ Δεσπότης μου Χριστός.

26. Εἶπεν ὁ ἀββᾶς Φωκᾶς ὅτι μετὰ τὸ ἐλθεῖν εἰς Σκῆτιν ὁ ἀββᾶς Ἰάκωβος ἐπολεμήθη κραταιῶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας. Καὶ ἐγγὺς ὢν τοῦ κινδυνεῦσαι ἦλθε πρός με καὶ ἀνέθετο τὰ καθ᾽ ἑαυτὸν καὶ λέγει μοι· Εἰς τόδε τὸ σπήλαιον ἀπέρχομαι ἀπὸ τῆς Δευτέρας. Παρακαλῶ δὲ σὲ διὰ τὸν Κύριον μηδενὶ εἰπεῖν μηδὲ τῷ πατρί μου, ἀλλὰ μέτρησον τεσσαράκοντα ἡμέρας καὶ ὅταν πληρωθῶσι, ποίησον ἀγάπην καὶ δεῦρο πρός με βαστάζων τὴν Ἁγίαν Κοινωνίαν. Καὶ εἰ μὲν εὕρῃς με θανόντα, θάψον με, εἰ δὲ ἔτι ζῶντα, ἵνα μεταλάβω τῆς Ἁγίας Κοινωνίας. Ταῦτα οὖν ἀκούσας ἐγὼ παρ᾽ αὐτοῦ, πληρωθείσης τῆς τεσσαρακοστῆς ἡμέρας λαβὼν τὴν Ἁγίαν Κοινωνίαν καὶ ἄρτον κοινὸν καθαρὸν μετὰ ὀλίγου οἴνου ἀπῆλθον πρὸς αὐτόν. Καὶ ὡς μόνον ἐπλησίασα τῷ σπηλαίῳ, δυσωδίας πολλῆς ὠσφράνθην ἥτις ἐγένετο ἐκ τοῦ στόματος αὐτοῦ· καὶ εἶπον ἐν ἑαυτῷ ὅτι ἀνεπάη ὁ μακάριος. Εἰσελθὼν δὲ πρὸς αὐτὸν εὗρον αὐτὸν ἡμιθανῆ. Καὶ ὡς εἶδέ με κινήσας τὴν δεξιὰν χεῖρα αὐτοῦ ὀλίγον ὅσον ἠδύνατο, ἐσήμανε διὰ τοῦ σχήματος τῆς χειρὸς περὶ τῆς

24. Διηγοῦνταν γιά τήν ἀμμᾶ Σάρρα ὅτι ὑπέμεινε δεκατρία χρόνια σφροδρό πόλεμο ἀπό τόν δαίμονα τῆς πορνείας καί ποτέ δέν προσευχήθηκε γιά νά ἀπομακρυνθεῖ ὁ πόλεμος, ἀλλά μόνο ἔλεγε: «Θεέ μου, δός μου δύναμη».

25. Εἶπαν ἐπίσης γιά τήν ἴδια ὅτι κάποια φορά τό πονηρό πνεῦμα τῆς πορνείας τῆς ἐπετέθη σφοδρότερα θυμίζοντάς την τά μάταια πράγματα τοῦ κόσμου αὐτοῦ. Ἀλλά αὐτή ἀνυποχώρητη χάρις στό φόβο τοῦ Θεοῦ καί τήν ἄσκησή της, εὐθύς ἀνέβηκε στό δωμάτιό της νά προσευχηθεῖ. Τῆς παρουσιάζεται τότε τό πνεῦμα τῆς πορνείας σωματικά καί τῆς λέει: «Ἐσύ μέ νίκησες, Σάρρα». Κι ἐκείνη ἀπαντᾶ: «Δέν σέ νίκησα ἐγώ, ἀλλά ὁ Δεσπότης μου Χριστός».

26. Εἶπε ὁ ἀββᾶς Φωκᾶς γιά τόν ἀββᾶ Ἰάκωβο ὅτι μετά τόν ἐρχομό του στή Σκήτη, πολεμήθηκε πολύ ἔντονα ἀπό τόν δαίμονα τῆς πορνείας. Καί ὅταν κόντεψε νά πέσει, ἦλθε σέ μένα καί μοῦ ἐμπιστεύθηκε αὐτά πού τοῦ συνέβαιναν καί μοῦ λέει: «Πάω νά μείνω ἀπό τή Δευτέρα σ᾽ ἐκεῖνο κεῖ τό σπήλαιο. Σέ παρακαλῶ στ᾽ ὄνομα τοῦ Κυρίου, μήν τό πεῖς σέ κανέναν οὔτε στόν Γέροντά μου. Μέτρησε μόνο σαράντα μέρες καί ὅταν συμπληρωθοῦν, κάνε ἀγάπη καί ἔλα νά μοῦ φέρεις τή Θεία Κοινωνία. Καί ἄν μέ βρεῖς νεκρό, θάψε με· ἄν ὅμως ζῶ ἀκόμα, νά μεταλάβω τή Θεία Κοινωνία».

Αὐτά λοιπόν μοῦ εἶπε καί μόλις συμπληρώθηκε ἡ τεσσαρακοστή ἡμέρα, πῆρα τήν Ἁγία Κοινωνία καί ἄσπρο ψωμί κοινό μέ λίγο κρασί καί ξεκίνησα. Καί μόνο πού πλησίασα στό σπήλαιο, μοῦ χτύπησε τή μύτη φοβερή δυσωδία πού προερχόταν ἀπό τό στόμα του καί εἶπα μέσα μου ὅτι ἀναπαύθηκε ὁ μακαριστός. Ὅταν μπῆκα ὅμως, τόν βρῆκα μισοπεθαμένο. Καί μόλις μέ εἶδε, κούνησε λίγο τό δεξί του χέρι ὅσο μποροῦσε καί μέ τό σχῆμα τοῦ χεριοῦ του ἔδειχνε

Ἁγίας Κοινωνίας. Ἐγὼ δὲ εἶπον· Ἔχω. Ἠθέλησα οὖν ἀνοῖξαι τὸ στόμα αὐτοῦ μικρὸν καὶ ἐνέχεα τοῦ τιμίου Σώματος καὶ Αἵματος, ὅσον ἐνδέχεται καταλεπτύνας αὐτό. Καὶ ἔλαβε δύναμιν ἐκ τῆς μεταλήψεως τῆς Ἁγίας Κοινωνίας. Καὶ μετὰ πολύ, βρέξας ὀλίγα ψιχία ἐκ τοῦ κοινοῦ ἄρτου, προσήνεγκα αὐτῷ καὶ μετ' ὀλίγον πάλιν ἄλλα καθ' ὃ ἠδύνατο λαβεῖν· καὶ οὕτω διὰ τῆς χάριτος τοῦ Θεοῦ μετὰ μίαν ἡμέραν σὺν ἐμοὶ ἦλθεν ὁδεύων ἐπὶ τὸ ἴδιον κελλίον ἀπαλλαγεὶς σὺν Θεῷ τοῦ ὀλεθρίου πάθους τῆς πορνείας.

27. Ἦν τις Γέρων ἔχων μαθητὴν καὶ ἐπολεμεῖτο εἰς πορνείαν. Καὶ παρεκάλει αὐτὸν ὁ Γέρων λέγων· Ὑπόμεινον, τέκνον, ὅτι ὁ πόλεμος τοῦ ἐχθροῦ ἐστιν. Ὁ δὲ λέγει αὐτῷ· Οὐκέτι ὑπομένω, ἀββᾶ, ἐὰν μὴ ποιήσω τὸ πρᾶγμα. Καὶ προσεποιήσατο ὁ Γέρων καὶ λέγει αὐτῷ· Κἀγὼ πολεμοῦμαι, τέκνον, ἀλλ' ἄγωμεν, ὁμοῦ ποιοῦμεν τὸ πρᾶγμα καὶ ἐρχόμεθα εἰς τὸ κελλίον ἡμῶν. Εἶχε δὲ ὁ Γέρων νόμισμα ἓν καὶ ἐβάσταζεν αὐτὸ μεθ' ἑαυτοῦ. Καὶ ὡς ἀπῆλθον ἐπὶ τὸν τόπον, λέγει ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Μεῖνον ἔξω· ἄφες πρῶτον εἰσέλθω ἐγὼ καὶ πάλιν ὕστερον σύ. Καὶ εἰσελθὼν ὁ Γέρων ἔδωκε τῇ πόρνῃ τὸ νόμισμα καὶ παρεκάλεσεν αὐτὴν λέγων· Μὴ μιάνῃς τὸν ἀδελφὸν τοῦτον. Καὶ ἔδωκε λόγον ἡ πόρνη τῷ Γέροντι μὴ μιᾶναι τὸν ἀδελφόν. Ἐξῆλθεν οὖν ὁ Γέρων καὶ λέγει τῷ ἀδελφῷ· Εἴσελθε. Καὶ ἅμα τῷ εἰσελθεῖν αὐτὸν λέγει αὐτῷ ἡ πόρνη· Μεῖνον, ἀδελφέ, ὅτι εἰ καὶ ἁμαρτωλός εἰμι, ἀλλὰ νόμον ἔχομεν καὶ χρὴ αὐτὸν πληρῶσαι ἡμᾶς. Ἐκέλευσεν οὖν αὐτὸν στῆναι παρὰ μέρος καὶ βάλλειν πεντήκοντα μετανοίας καὶ αὐτὴ παρὰ μέρος ὡσαύτως. Μετὰ οὖν τὸ βαλεῖν τὸν ἀδελφὸν εἴκοσι ἢ καὶ τριάκοντα μετανοίας κατενύγη καὶ λέγει ἐν ἑαυτῷ· Πῶς τῷ Θεῷ προσεύ-

ὅτι ρωτοῦσε γιά τή Θεία Κοινωνία. Ἐγώ τοῦ εἶπα: «Ἔχω». Προσπάθησα τότε νά ἀνοίξω λίγο τό στόμα του καί ἔχυσα λίγο-λίγο μέσα τό τίμιο Σῶμα καί Αἷμα, ἀφοῦ τό λέπτυνα ὅσο ἔπαιρνε. Καί πῆρε δύναμη ἀπό τήν θεία Μετάληψη. Μετά ἀπό ἀρκετή ὥρα ἔβρεξα λίγα ψίχουλα ἀπό τό κοινό ψωμί καί τοῦ τό 'δωσα καί σέ λίγο πάλι ἄλλα ψίχουλα, ὅσο μποροῦσε νά πάρει. Καί ἔτσι μέ τή χάρη τοῦ Θεοῦ μετά ἀπό μία μέρα ἐπέστρεψε μαζί μου περπατώντας στό κελί του, ἀπαλλαγμένος μέ τή βοήθεια τοῦ Θεοῦ ἀπό τό ὀλέθριο πάθος τῆς πορνείας.

27. Κάποιος Γέροντας εἶχε ἕναν μαθητή πού πολεμοῦνταν πολύ ἀπό τόν σαρκικό πειρασμό. Τόν παρακαλοῦσε ὁ Γέροντας καί τοῦ 'λεγε: «Κάνε ὑπομονή, παιδί μου, γιατί ὁ πόλεμος ἀπ' τόν ἐχθρό προέρχεται». Αὐτός ὅμως τοῦ εἶπε: «Δέν μπορῶ ἄλλο, ἀββᾶ, νά ὑπομείνω, ἐάν δέν κάνω τήν πράξη». Προσποιήθηκε τότε ὁ Γέροντας καί τοῦ λέει: «Καί ἐγώ, παιδί μου, ἔχω πόλεμο· πᾶμε λοιπόν μαζί νά τό κάνουμε καί γυρνᾶμε πάλι στό κελί μας». Ὁ Γέροντας εἶχε ἕνα νόμισμα καί τό πῆρε μαζί του. Μόλις ἔφθασαν στό μέρος ἐκεῖνο, λέει στόν μαθητή του: «Περίμενε ἔξω. Ἄφησε πρῶτα νά μπῶ ἐγώ καί κατόπιν ἐσύ». Μπαίνει ὁ Γέροντας, δίνει στήν πόρνη τό νόμισμα καί τήν παρακαλεῖ: «Μή μολύνεις αὐτόν τόν ἀδελφό». Καί ἔδωσε τόν λόγο της ἡ πόρνη νά μή μολύνει τόν ἀδελφό.

Βγαίνει λοιπόν ὁ Γέροντας καί λέει στόν ἀδελφό: «Μπές». Μέ τό πού μπῆκε αὐτός, τοῦ λέει ἡ πόρνη: «Περίμενε, ἀδελφέ, γιατί ἄν καί εἶμαι ἁμαρτωλή, ἔχουμε κάποιον κανόνα καί πρέπει νά τόν ἐκπληρώσουμε». Τοῦ εἶπε λοιπόν νά σταθεῖ παράμερα καί νά κάνει πενήντα μετάνοιες καί ἡ ἴδια σέ ἄλλη ἄκρη παρομοίως. Ἀφοῦ ἔκανε ὁ ἀδελφός εἴκοσι ἢ τριάντα μετάνοιες, κατανύχθηκε καί ἀναρω-

χομαι τοῦτο τὸ μῖσος προσδοκῶν ποιῆσαι; Καὶ εὐθέως ἐξῆλθε, μὴ μιανθείς. Καὶ ἰδὼν ὁ Θεὸς τὸν κόπον τοῦ Γέροντος ἦρε τὸν πόλεμον τοῦ ἀδελφοῦ καὶ ὑπέστρεψαν εἰς τὸ κελλίον δοξάζοντες τὸν Θεόν.

28. Ἀδελφὸς ἀπεστάλη ὑπὸ τοῦ ἀββᾶ αὐτοῦ εἰς διακονίαν. Καὶ ἐλθὼν εἰς τόπον τινὰ ἔχοντα ὕδωρ εὗρεν ἐκεῖ γυναῖκα πλύνουσαν ἱμάτια. Πολεμηθεὶς δὲ εἶπεν αὐτῇ, ἵνα κοιμηθῇ μετ᾽ αὐτῆς. Λέγει αὐτῷ ἐκείνη· Τὸ μὲν ἀκοῦσαί σου εὔκολόν ἐστιν, ἀλλ᾽ αἰτία σοι γίνομαι πολλῶν θλίψεων. Λέγει αὐτῇ· Πῶς; Ἀπεκρίθη αὐτῷ ἐκείνη· Μετὰ τὸ ποιῆσαι τὸ πρᾶγμα πλήσσει σε ἡ συνείδησίς σου καὶ ἢ ἀπογινώσκεις σεαυτοῦ ἢ πολλοῦ κόπου σοι χρεία, ἵνα ἔλθῃς εἰς τὴν τάξιν ἣν ἔχεις νῦν. Προτοῦ οὖν δέξασθαί σε τὸ πρᾶγμα, πορεύου ἐν εἰρήνῃ τὴν ὁδόν σου. Ὁ δὲ ἀκούσας κατενύγη καὶ ηὐχαρίστησε τῷ Θεῷ καὶ τῇ φρονήσει αὐτῆς. Καὶ ἐλθὼν πρὸς τὸν ἀββᾶν αὐτοῦ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα καὶ ἐθαύμασεν αὐτήν. Καὶ παρεκάλεσεν αὐτὸν ὁ ἀδελφὸς τοῦ λοιποῦ μὴ ἐξελθεῖν τῆς μονῆς. Καὶ οὕτως ἔμεινεν ἐν τῷ μοναστηρίῳ ἕως θανάτου μὴ ἐξερχόμενος.

29. Ἀδελφὸς ἀπῆλθεν ἀντλῆσαι ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. Εὗρε δὲ ἐκεῖ γυναῖκα πλύνουσαν ἱμάτια καὶ συνέβη αὐτῷ πεσεῖν μετ᾽ αὐτῆς. Μετὰ δὲ τὴν ἁμαρτίαν λαβὼν τὸ ὕδωρ ἀπήρχετο εἰς τὴν κέλλαν αὐτοῦ. Ἐπεμπηδήσαντες δὲ οἱ δαίμονες διὰ τῶν λογισμῶν ἔθλιβον αὐτὸν λέγοντες· Ποῦ ὑπάγεις; Οὐκέτι λοιπὸν ἔστι σοι σωτηρία· ἵνα τί καὶ τὸν κόσμον ζημιοῦσαι; Ἐπιγνοὺς δὲ ὁ ἀδελφὸς ὅτι θέλουσιν αὐτὸν

τήθηκε: «Πῶς προσεύχομαι στόν Θεό περιμένοντας νά κάνω αὐτή τή μισητή πράξη;» Καί εὐθύς βγῆκε χωρίς νά μολυνθεῖ. Βλέποντας ὁ Θεός τόν κόπο τοῦ Γέροντα σήκωσε τόν πόλεμο ἀπό τόν ἀδελφό καί γύρισαν στό κελί δοξάζοντας τόν Θεό.

28. Ἕναν ἀδελφό τόν ἔστειλε ὁ ἀββᾶς του σέ κάποιο διακόνημα. Φθάνοντας σ᾽ ἕναν τόπο πού εἶχε νερά, συνάντησε μιά γυναίκα πού ἔπλενε ροῦχα. Τόν πολέμησε ὁ πειρασμός καί τῆς πρότεινε νά κοιμηθεῖ μαζί της. Κι ἐκείνη τοῦ λέει: «Τό νά ὑπακούσω στήν πρότασή σου εἶναι εὔκολο, ἀλλά θά σοῦ γίνω αἰτία πολλῶν θλίψεων». Τή ρωτάει: «Πῶς;» Καί τοῦ ἀπαντᾶ ἐκείνη: «Ἀφοῦ τό κάνουμε αὐτό, θά σέ τύψει ἡ συνείδηση, μέ ἀποτέλεσμα ἤ νά ἀπελπισθεῖς ἀπό τόν ἑαυτό σου ἤ θά χρειασθεῖ πολύς κόπος γιά νά ἐπανέλθεις στήν τάξη πού ἔχεις τώρα. Προτοῦ λοιπόν τό κάνεις αὐτό, συνέχισε μέ τό καλό τόν δρόμο σου». Ἀκούγοντάς τα ἐκεῖνος κατανύχθηκε καί εὐχαρίστησε τόν Θεό καί τή συνετή γυναίκα. Ὅταν ἐπέστρεψε στόν ἀββᾶ καί τοῦ ἀνέφερε τήν ὑπόθεση, θαύμασε τή γυναίκα ὁ Γέροντας. Καί ὁ ἀδελφός τόν παρακάλεσε στό ἑξῆς νά μή βγεῖ ἔξω ἀπό τή μονή. Καί ἔτσι ἔμεινε μέσα στό μοναστήρι μέχρι τό θάνατό του χωρίς νά ξαναβγεῖ.

29. Ἕνας ἀδελφός πῆγε νά πάρει νερό ἀπό τό ποτάμι. Ἐκεῖ συνάντησε μιά γυναίκα πού ἔπλενε ροῦχα καί συνέβη νά πέσει μαζί της. Μετά τή διάπραξη τῆς ἁμαρτίας, πῆρε τό νερό καί γυρνοῦσε στό κελί του.

Τοῦ ἐπιτέθηκαν ὅμως οἱ δαίμονες μέ τούς λογισμούς καί τόν πίεζαν λέγοντάς του: «Ποῦ πᾶς; Δέν ὑπάρχει ἀπό δῶ καί πέρα σωτηρία γιά σένα. Γιατί νά χάσεις καί τόν κόσμο;» Ὁ ἀδελφός διέκρινε ὅτι θέλουν νά τόν καταστρέ-

παντελῶς ἀπολέσαι, λέγει τοῖς λογισμοῖς· Πόθεν ἐπεισήλθετε καὶ θλίβετέ με ἵνα ἀπελπίσω ἐμαυτόν; Οὐχ ἥμαρτον. Ἀπελθὼν δὲ εἰς τὸ κελλίον αὐτοῦ ἡσύχαζεν ὡς χθὲς καὶ πρώην. Ἀπεκάλυψε δὲ ὁ Κύριος ἑνὶ γείτονι αὐτοῦ Γέροντι ὅτι ὁ ἀδελφὸς ὁ δεῖνα πεσὼν ἐνίκησεν. Ἐλθὼν οὖν πρὸς αὐτὸν ὁ Γέρων λέγει αὐτῷ· Πῶς ἔχεις; Ὁ δὲ λέγει· Καλῶς, ἀββᾶ. Λέγει αὐτῷ ὁ Γέρων· Καὶ οὐδὲν ἐθλίβης τὰς ἡμέρας ταύτας; Λέγει αὐτῷ· Οὐδέν. Λέγει αὐτῷ ὁ Γέρων· Ἀπεκάλυψέ μοι ὁ Θεὸς ὅτι πεσὼν ἐνίκησας. Τότε ὁ ἀδελφὸς διηγήσατο αὐτῷ πάντα τὰ συμβάντα αὐτῷ. Ὁ δὲ Γέρων εἶπεν αὐτῷ· Φύσει, ἀδελφέ, ἡ διάκρισίς σου συνέτριψε τὴν δύναμιν τοῦ ἐχθροῦ.

30. Διηγήσατό τις ὅτι ἀδελφὸς μένων ἐν κοινοβίῳ ἐπέμπετο εἰς ἀποκρίσεις τοῦ κοινοβίου. Ἦν δέ τις εὐλαβὴς κοσμικὸς εἰς κώμην τινὰ καὶ ἐδέχετο αὐτὸν κατὰ πίστιν, ὁσάκις ἤρχετο εἰς τὴν κώμην. Εἶχε δὲ ὁ κοσμικὸς μίαν θυγατέρα προσφάτως χηρεύσασαν, ποιήσασαν μετὰ τοῦ ἀνδρὸς ἐνιαυτοὺς δύο. Εἰσερχόμενος οὖν ὁ ἀδελφὸς καὶ ἐξερχόμενος ἐπολεμήθη εἰς αὐτήν. Ἐκείνη δέ συνετὴ οὖσα ἐννόησε καὶ ἐφύλαττεν ἑαυτὴν μὴ ἐλθεῖν εἰς πρόσωπον αὐτοῦ. Μιᾷ οὖν τῶν ἡμερῶν εἰσῆλθεν ὁ πατὴρ αὐτῆς εἰς τὴν ἐγγὺς πόλιν διά τινα χρείαν ἐάσας αὐτὴν μόνην ἐν τῷ οἴκῳ. Ἐλθὼν οὖν ὁ ἀδελφὸς κατὰ τὸ ἔθος εὑρίσκει αὐτὴν μόνην καὶ λέγει αὐτῇ· Ποῦ ἐστιν ὁ πατήρ σου; Λέγει αὐτῷ· Εἰς τὴν πόλιν εἰσῆλθεν. Ἤρξατο οὖν ταράττεσθαι ὁ ἀδελφὸς ἀπὸ τοῦ πολέμου θέλων ἐπαναστῆναι αὐτῇ. Λέγει αὐτῷ ἐκείνη μετὰ συνέσεως· Μηδὲν ταραχθῇς· ὁ πατήρ μου ἕως ὅτε ἔρχεται

21. Ἡ διάκριση δίνει τό σωστό μέτρο στίς ἐνέργειές μας καί στούς λογισμούς μας Βλ. Ε 9 ὑποσημ. 9 σελ. 118.

ψουν ὁλοκληρωτικά καί λέει στούς λογισμούς: «Ἀπό ποῦ ἤλθατε καί μπήκατε καί μέ πιέζετε γιά νά μέ ἀπελπίσετε; Δέν ἁμάρτησα». Πῆγε λοιπόν στό κελί του καί ἔκανε τήν ἀσκητική του ζωή ὅπως χθές καί πιό πρίν. Καί ἀποκάλυψε ὁ Θεός σ' ἕνα Γέροντα γειτονά του ὅτι ὁ τάδε ἀδελφός ἄν καί ἔπεσε, νίκησε. Πάει λοιπόν σ' αὐτόν ὁ Γέροντας καί τόν ρωτᾶ: «Πῶς εἶσαι;» «Καλά, ἀββᾶ», τοῦ ἀπαντᾶ. Τοῦ λέει ὁ Γέροντας: «Καί δέν πέρασες καμιά στενοχώρια αὐτές τίς μέρες;» «Καμιά» τοῦ ἀπαντᾶ. Τότε τοῦ λέει ὁ Γέροντας: «Μοῦ φανέρωσε ὁ Θεός ὅτι ἄν καί ἔπεσες, νίκησες». Καί ὁ ἀδελφός τοῦ ἀνέφερε ὅλα ὅσα τοῦ συνέβησαν. Κι ὁ Γέροντας τοῦ εἶπε: «Πράγματι, ἀδελφέ, ἡ διάκρισή σου[21] σύντριψε τή δύναμη τοῦ ἐχθροῦ».

30. Διηγοῦνταν γιά κάποιον ἀδελφό πού ἔμενε στό κοινόβιο ὅτι τόν ἔστελναν νά διεκπεραιώνει τίς δουλειές τοῦ κοινοβίου. Ἦταν ἕνας εὐλαβής κοσμικός σέ κάποιο χωριό καί τόν φιλοξενοῦσε στό σπίτι του μέ καλή πίστη, ὅσες φορές ἐρχόταν στό χωριό. Ὁ κοσμικός αὐτός εἶχε μιά κόρη πού πρόσφατα εἶχε χηρέψει, ἀφοῦ ἔζησε δύο χρόνια μόνο μέ τόν ἄνδρα της.

Καθώς λοιπόν ὁ ἀδελφός ἔμπαινε καί ἔβγαινε στό σπίτι του, ξεσηκώθηκε μέσα του πειρασμός γι' αὐτήν. Ἡ κόρη αὐτή ὅμως ἦταν συνετή καί τό κατάλαβε καί φυλαγόταν γιά νά μή συναντιῶνται.

Κάποια μέρα ὅμως πῆγε ὁ πατέρας της στή γειτονική πόλη γιά κάποιο λόγο καί τήν ἄφησε μόνη στό σπίτι. Ἦλθε λοιπόν ὁ ἀδελφός, ὅπως συνήθιζε, τή βρίσκει μόνη καί τῆς λέει: «Ποῦ εἶναι ὁ πατέρας σου;» «Στήν πόλη πῆγε» τοῦ ἀπαντᾶ αὐτή. Ἄρχισε τότε νά ταράζεται ὁ ἀδελφός ἀπό πόλεμο, γιατί ἤθελε νά τῆς ἐπιτεθεῖ.

Τοῦ μιλάει τότε ἐκείνη μέ σύνεση:«Μή ταράζεσαι κα-

ὧδε ἐσμὲν οἱ δύο. Οἶδα δὲ ὅτι ὑμεῖς οἱ μοναχοὶ οὐδὲν ποιεῖτε ἐκτὸς εὐχῆς. Ἔγειραι οὖν καὶ εὖξαι τῷ Θεῷ· καὶ εἴ τι ἐμβάλλει εἰς τὴν καρδίαν σου τοῦτο καὶ ποιοῦμεν. Ὁ δὲ οὐκ ἤθελεν ἀλλ' ἐταράττετο ὑπὸ τοῦ πολέμου. Λέγει αὐτῷ· Ὄντως σὺ ἔγνως ποτὲ γυναῖκα; Λέγει αὐτῇ· Οὔ, ἀλλὰ καὶ διὰ τοῦτο θέλω, ἵνα μάθω τί ἐστι. Λέγει αὐτῷ· Διὰ τοῦτο ταράσσει ἀγνοῶν τὴν δυσωδίαν τῶν ἀθλίων γυναικῶν. Καὶ θέλουσα μειῶσαι τὸ πάθος αὐτοῦ ἔλεγεν ὅτι· Ἐν τοῖς μηναίοις μού εἰμι καὶ οὐδεὶς δύναται προσεγγίσαι μοι οὐδὲ ὀσφρανθῆναί μου ἀπὸ τῆς δυσωδίας. Ἀκούσας δὲ παρ' αὐτῆς ταῦτα καὶ ἄλλα τοιαῦτα καὶ σιανθεὶς καὶ ἐλθὼν εἰς ἑαυτὸν ἐδάκρυσεν.

Ὅτε δὲ εἶδεν αὐτὸν ἐκείνη ὅτι ἦλθεν εἰς ἑαυτόν, λέγει αὐτῷ· Ἰδοὺ εἰ ἐπείσθην σοι, ἤδη ἤμεθα τελέσαντες τὴν ἁμαρτίαν. Ποίᾳ οὖν ὄψει εἶχες λοιπὸν ἀτενίσαι εἰς τὸν πατέρα μου ἢ ἀπελθεῖν εἰς τὸ μοναστήριόν σου καὶ ἀκοῦσαι τοῦ χοροῦ τῶν ἁγίων ἐκείνων ψαλλόντων; Παρακαλῶ οὖν σε νῆψαι τοῦ λοιποῦ καὶ μὴ θελήσῃς διὰ μικρὰν καὶ αἰσχρὰν ἡδονὴν ἀπολέσαι τοιούτους καμάτους οὓς ἔχεις καὶ στερηθῆναι αἰωνίων ἀγαθῶν.

Ταῦτα ἀκούσας τὰ ῥήματα ὁ παθὼν ἀδελφὸς παρ' αὐτῆς ἔλεγε τῷ διηγησαμένῳ ἐμοί, εὐχαριστεῖν τῷ Θεῷ τῷ διὰ τῆς συνέσεως καὶ σωφροσύνης αὐτῆς μὴ ἐάσαντι αὐτὸν τελείως ἐκπεσεῖν.

31. Μοναχός τις ἐπὶ πολὺν χρόνον πολεμούμενος ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, ἐν τῇ συνάξει αἰσθόμενος ἑαυ-

θόλου. Ἕως ὅτου ἐπιστρέψει ὁ πατέρας μου, εἴμαστε ἐδῶ οἱ δυό μας. Γνωρίζω ὅτι ἐσεῖς οἱ μοναχοί τίποτε δέν κάνετε χωρίς προσευχή. Σήκω λοιπόν καί προσευχήσου στόν Θεό· καί ὅποια πληροφορία βάλει στήν καρδιά σου, αὐτό καί θά κάνουμε». Αὐτός ὅμως δέν τό δέχθηκε, γιατί ταραζόταν ἀπό τόν πειρασμό. Τοῦ λέει αὐτή: «Ἀλήθεια, γνώρισες ποτέ γυναίκα;» «Ὄχι —τῆς λέει— καί γι' αὐτό θέλω, γιά νά μάθω τί εἶναι». Καί προσθέτει αὐτή: «Γι' αὐτό ἀκριβῶς ταράζεσαι, ἐπειδή δέν ξέρεις τή δυσωδία τῶν ἄθλιων γυναικῶν». Καί θέλοντας νά περιορίσει τό πάθος του τοῦ εἶπε: «Εἶμαι στά ἔμμηνά μου καί κανείς δέν μπορεῖ νά μέ πλησιάσει οὔτε νά ἀντέξει τή δυσοσμία μου». Ἀφοῦ ἄκουσε αὐτά πού τοῦ εἶπε καί ἄλλα παρόμοια καί ἔνιωσε σιχασιά, συνῆλθε καί δάκρυσε.

Ὅταν τόν εἶδε ἐκείνη ὅτι συνῆλθε, τοῦ λέει: «Νά, ἐάν θά σέ ἄκουα, θά εἴχαμε κάνει κιόλας τήν ἁμαρτία. Μέ τί μοῦτρα θά μποροῦσες στό ἑξῆς ν' ἀντικρύζεις τόν πατέρα μου ἤ νά βρισκόσουν στό μοναστήρι σου καί νά ἄκουες τόν χορό τῶν ἁγίων ἐκείνων νά ψάλλουν; Σέ παρακαλῶ λοιπόν στό ἑξῆς νά εἶσαι νηφάλιος[22] καί μή θελήσεις ἐξαιτίας μιᾶς μικρῆς καί αἰσχρῆς ἡδονῆς νά χάσεις τέτοιους κόπους πού ἔχεις καταβάλει καί νά στερηθεῖς τά αἰώνια ἀγαθά».

Μετά ἀπ' αὐτά πού ἄκουσε ἀπό μέρους της ὁ ἀδελφός πού ὑπέστη τό πάθημα, ἔλεγε σ' αὐτόν πού μοῦ τά διηγήθηκε ὅτι εὐγνωμονεῖ τόν Θεό, πού χάρις στή σύνεση καί τή σωφροσύνη αὐτῆς τῆς γυναίκας δέν τόν ἄφησε τελείως νά ξεπέσει.

31. Κάποιος μοναχός πού πολεμοῦνταν ἀπό τόν πειρασμό τῆς πορνείας γιά πολύ καιρό, τήν ὥρα τῆς σύναξης κα-

22. Βλ. Ε ὑποσημ. 19 σελ. 130.

τὸν πολεμούμενον, λοιπὸν ὀλιγωρήσας ἔμπροσθεν τῶν ἀδελφῶν ἐγύμνωσεν ἑαυτὸν καὶ ἐξῆξε τοῦ Σατανᾶ τὴν ἐνέργειαν εἰπών· Εὔξασθε περὶ ἐμοῦ ὅτι δεκατέσσαρα ἔτη ἔχω οὕτω πολεμούμενος. Καὶ διὰ τὴν αὐτοῦ ταπείνωσιν ἐπαύσατο ὁ πόλεμος.

32. Πρὸς τὸν αὐτὸν λογισμόν, τῆς πορνείας, εἶπε Γέρων· Ταῦτα ἀπὸ ἀμελείας πάσχομεν. Εἰ γὰρ ἐπληροφορούμεθα ὅτι ὁ Θεὸς οἰκεῖ ἐν ἡμῖν, οὐκ ἂν σκεῦος ἀλλότριον εἰς ἑαυτοὺς ἐπεβάλλομεν. Ὁ γὰρ Δεσπότης Χριστὸς οἰκῶν ἐν ἡμῖν καὶ συνὼν ἡμῖν θεωρεῖ ἡμῶν τὴν ζωήν. Ὅθεν καὶ ἡμεῖς φοροῦντες καὶ θεωροῦντες αὐτὸν ἀμελεῖν οὐκ ὀφείλομεν ἀλλὰ ἁγνίζειν ἑαυτοὺς καθὼς κἀκεῖνος ἁγνός ἐστι. Στῶμεν ἐπὶ τὴν πέτραν καὶ ῥασσέσθω ὁ πονηρός· μὴ δειλιάσῃς καὶ οὐ μὴ σὲ βλάψῃ. Ψάλλε ἐν ἰσχύι λέγων· Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ.

33. Εἶπε πάλιν· Λέγει ὁ ἐχθρὸς τῷ πατρί· Πέμπω τὰ ἐμὰ εἰς τὰ σά, ἵνα καταστρέψω τὰ σά. Εἰ καὶ πονηρεύσασθαι οὐ δύναμαι εἰς τοὺς ἐκλεκτούς σου, κἂν φαντάζω αὐτοὺς διὰ τῆς νυκτός. Λέγει πρὸς αὐτὸν ὁ Σωτήρ· Εἰ ἔκτρωμα κληρονομήσει πατέρα αὐτοῦ, καὶ τοῦτο λογισθήσεται εἰς ἁμαρτίαν τοῖς ἐκλεκτοῖς μου.

23. Α΄ Ἰω. 3, 3.

24. Ψαλμ. 124, 1. Ἰερουσαλὴμ σημαίνει τόπος εἰρήνης καί μεταφορικά σημαίνει τήν εἰρήνη πού δίνει ὁ Θεός. Ἄρα δέν θά σαλευθεῖ ποτέ αὐτός πού ζεῖ μέσα στήν εἰρήνη τοῦ Θεοῦ. Βλ. καί *Μ. Γεροντικόν* τ. Α΄ σελ. 121 ὑποσημ. 102.

θώς αἰσθάνθηκε νά πολεμεῖται πάλι, ἀπόκαμε καί μπροστά στούς ἀδελφούς γυμνώνοντας τόν ἑαυτό του φανέρωσε τή σατανική ἐνέργεια καί εἶπε: «Προσευχηθεῖτε γιά μένα, γιατί δεκατέσσερα χρόνια ἔχω τόν πόλεμο αὐτό». Καί χάρις στήν ταπείνωσή του ἔπαυσε ὁ πειρασμός.

32. Γιά τόν ἴδιο λογισμό, δηλαδή τῆς πορνείας, εἶπε ἕνας Γέροντας: «Τά παθαίνουμε ἀπό τήν ἀμέλειά μας. Γιατί ἐάν θά εἴχαμε τή βεβαιότητα ὅτι ὁ Θεός κατοικεῖ ἐντός μας, δέν θά βάζαμε ξένο ἀντικείμενο ἐκεῖ. Γιατί ὁ Δεσπότης μας Χριστός πού κατοικεῖ μέσα μας καί συνυπάρχουμε, βλέπει τή ζωή μας. Γι' αὐτό καί ἐμεῖς καθώς τόν φέρουμε ἐντός μας καί τόν βλέπουμε, δέν πρέπει νά εἴμαστε ἀμελεῖς ἀλλά νά καθαρίζουμε τόν ἑαυτό μας ἀπό τήν ἁμαρτία ὅπως καί ἐκεῖνος εἶναι καθαρός καί ἅγιος[23]. Ἄς σταθοῦμε πάνω στόν βράχο καί ἄς χτυπήσει ὁ πονηρός. Μή δειλιάσεις, δέν πρόκειται νά σέ βλάψει. Ψάλλε μέ δύναμη λέγοντας: Ὅσοι ἔχουν στηρίξει τήν πεποίθησή τους στόν Κύριο μοιάζουν μέ τό μεγαλόπρεπο ὄρος Σιών. Δέν θά σαλευθεῖ ποτέ αὐτός πού κατοικεῖ τήν Ἰερουσαλήμ[24]».

33. Εἶπε ἐπίσης: «Λέει ὁ ἐχθρός στόν Πατέρα· στέλνω τούς δικούς μου στούς δικούς σου γιά νά καταστρέψω τούς δικούς σου. Κι ἄν δέν μπορῶ νά περάσω τήν πονηριά μου στούς ἐκλεκτούς σου, τουλάχιστον τούς δημιουργῶ φαντασίες μέσα στή νύκτα». Καί λέει σ' αὐτόν ὁ Σωτήρας: «Ἐάν ποτέ τό ἔκτρωμα θά κληρονομήσει τόν πατέρα του, ἄλλο τόσο κι αὐτό θά λογαριασθεῖ ὡς ἁμαρτία στούς ἐκλεκτούς μου».



Ἄποψη τῆς Μεσογείου ἀπό ἀκτή τῆς Παλαιστίνης



Ἄποψη τοῦ ἱεροῦ ποταμοῦ Ἰορδάνη

34. Μαθητὴς μεγάλου Γέροντος πολεμηθεὶς εἰς πορνείαν ἀπῆλθεν εἰς τὸν κόσμον καὶ ἐμνηστεύσατο. Ὁ δὲ Γέρων λυπηθεὶς ηὔξατο τῷ Θεῷ λέγων· Κύριε Ἰησοῦ Χριστέ, μὴ συγχωρήσῃς τὸν δοῦλόν σου μιανθῆναι ὑπὸ τῆς αἰσχρᾶς μίξεως. Καὶ ὡς συνεκλείσθη μετὰ τῆς γυναικός, παρέδωκε τὸ πνεῦμα μὴ μιανθείς.

35. Πρὸς τοὺς κακοποιοὺς λογισμοὺς ἀπεκρίνατο Γέρων· Παρακαλῶ, ἀδελφέ, ὡς ἐπαύσαμεν τὰς πράξεις, παύσωμεν καὶ τὰς ἐνθυμήσεις. Τί γάρ ἐσμεν ἀλλ' ἢ χοῦς ἐκ χοός;

36. Ἀδελφός τις ἐπολεμήθη εἰς πορνείαν καὶ ἦν ὁ πόλεμος ὡς πῦρ καιόμενον ἐν τῇ καρδίᾳ αὐτοῦ νυκτὸς καὶ ἡμέρας. Ὁ δὲ ἀδελφὸς ἠγωνίζετο μὴ συγκαταβῆναι τῷ λογισμῷ· καὶ μετὰ πολὺν χρόνον ἔφυγεν ὁ πόλεμος μηδὲν ἰσχύσας διὰ τὴν ὑπομονὴν τοῦ ἀδελφοῦ, καὶ εὐθέως ἦλθεν ἀνάπαυσις εἰς τὴν καρδίαν αὐτοῦ.

37. Ἐπολεμήθη ἄλλος τις ἀδελφὸς εἰς πορνείαν. Καὶ ἀναστὰς νυκτὸς ἦλθε πρός τινα Γέροντα καὶ εἶπεν αὐτῷ τὸν λογισμόν. Καὶ παρεκάλεσεν αὐτὸν ὁ Γέρων. Καὶ ὠφεληθεὶς ἀπῆλθεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ ἰδοὺ πάλιν ὁ πόλεμος ἐπετίθετο αὐτῷ. Ὁ δὲ πάλιν ἀπῆλθεν πρὸς τὸν Γέροντα. Ἐποίησε δὲ τοῦτο πολλάκις. Ὁ δὲ Γέρων οὐκ ἐλύ-

25. Ἡ ἐσωτερική ἀνάπαυση πού συχνά συναντοῦμε στά πατερικά ἀποφθέγματα σημαίνει τή βαθιά ἠρεμία καί γαλήνη πού εἶναι θεϊκό δῶρο. Ἡ

34. Μαθητής κάποιου μεγάλου Γέροντα πού πολεμήθηκε ἀπό τόν σαρκικό πειρασμό, ἔφυγε στόν κόσμο καί ἀρραβωνιάστηκε. Ὁ Γέροντας λυπήθηκε γι' αὐτό καί προσευχήθηκε στόν Θεό: «Κύριε Ἰησοῦ Χριστέ, μήν ἐπιτρέψεις τόν δοῦλο σου νά μολυνθεῖ μέ τήν αἰσχρή μίξη». Καί μόλις ἀπομονώθηκε μέ τή σύζυγο, παρέδωσε τήν ψυχή του χωρίς νά μολυνθεῖ.

35. Γιά τήν ἀντιμετώπιση τῶν βλαβερῶν λογισμῶν ἀποκρίθηκε κάποιος Γέροντας: «Παρακαλῶ, ἀδελφέ, ὅπως σταματήσαμε τίς βλαβερές πράξεις, ἄς σταματήσουμε καί τούς λογισμούς. Γιατί τί εἴμαστε, παρά χῶμα πού προῆλθε ἀπό χῶμα;»

36. Ἕνας ἀδελφός πολεμήθηκε ἀπό τόν σαρκικό πειρασμό καί ἦταν ὁ πόλεμος σάν φωτιά πού ἔκαιε μέσα στήν καρδιά του νύκτα καί μέρα. Καί ὁ ἀδελφός ἀγωνιζόταν νά μή συγκατατεθεῖ στόν λογισμό του· καί μετά ἀπό μεγάλο χρονικό διάστημα ἔφυγε ὁ πόλεμος χωρίς νά κατορθώσει τίποτε, χάρις στήν ὑπομονή τοῦ ἀδελφοῦ· καί εὐθύς ἦλθε στήν καρδιά του ἀνάπαυση[25].

37. Κάποιος ἄλλος ἀδελφός πού πολεμήθηκε ἀπό τόν πειρασμό τῆς πορνείας, σηκώθηκε μέσα στή νύκτα, πῆγε σέ ἕνα Γέροντα καί τοῦ εἶπε τόν λογισμό. Ὁ Γέροντας τόν παρηγόρησε καί ἐπέστρεψε ὠφελημένος στό κελί του.

Ὅμως νά καί πάλι ὁ πειρασμός ἄρχισε νά τοῦ ἐπιτίθεται. Καί αὐτός πάλι πῆγε στόν Γέροντα. Καί τό 'κανε αὐτό πολλές φορές, ἀλλά ὁ Γέροντας δέν τόν λύπησε· τοῦ ἔλεγε

βίωση αὐτή συνοδεύεται καί ἀπό τή βεβαιότητα ὅτι «ὁ Θεὸς μεθ' ἡμῶν πάσας τὰς ἡμέρας...» Ματθ. 28, 20.

πησεν αὐτόν, ἀλλ' ἔλεγεν αὐτῷ τὰ πρὸς ὠφέλειαν καὶ ἔλεγεν αὐτῷ· Μὴ παραχωρήσῃς, ἀλλὰ μᾶλλον ἔρχου καθότι ὀχλεῖ σοι ὁ δαίμων, καὶ ἔλεγχε αὐτόν. Οὕτω γὰρ ἐλεγχόμενος ὑποχωρεῖ. Οὐδὲν γὰρ οὕτως ἀηδίζει τὸν δαίμονα τῆς πορνείας ὡς τὸ ἀποκαλύπτειν τὰ ἔργα αὐτοῦ, καὶ οὐδὲν χαροποιεῖ αὐτὸν ὡς τὸ κρύπτειν τοὺς λογισμούς. Ἦλθεν οὖν ὁ ἀδελφὸς πρὸς τὸν αὐτὸν Γέροντα ἑνδέκατον κατηγορῶν τὸν λογισμὸν ἑαυτοῦ· ὕστερον δὲ λέγει ὁ ἀδελφὸς τῷ Γέροντι· Ποίησον ἀγάπην, ἀββᾶ, καὶ εἰπόν μοι ῥῆμα. Λέγει αὐτῷ ὁ Γέρων· Θάρσει, τέκνον, ἐὰν συγχωρήσῃ ὁ Θεὸς τὸν λογισμόν μου ἐλθεῖν πρὸς σέ, οὐ βαστάζεις αὐτὸν ἀλλ' ὑπάγεις πολὺ κάτω. Καὶ τοῦτο εἰπόντος τοῦ Γέροντος, διὰ τὴν πολλὴν ταπείνωσιν αὐτοῦ, ἐπαύσατο ὁ πόλεμος τοῦ ἀδελφοῦ.

38. Ἐπολεμήθη ἄλλος ἀδελφὸς εἰς πορνείαν καὶ ἠγωνίσατο ἐπιτείνων τὴν ἄσκησιν ἐπὶ δεκατέσσαρα ἔτη καὶ τὸν λογισμὸν τηρῶν τοῦ μὴ συγκαταθέσθαι τῇ ἐπιθυμίᾳ. Ὕστερον δὲ ἐλθὼν εἰς τὴν ἐκκλησίαν ἐνεφάνισε τὸ πρᾶγμα παντὶ τῷ πλήθει καὶ ἐδόθη ἐντολὴ καὶ πάντες ἐπόνησαν περὶ αὐτοῦ ἐπὶ ἑβδομάδα εὐχόμενοι τῷ Θεῷ καὶ ἐπαύσατο ὁ πόλεμος.

39. Πρὸς τὸν λογισμὸν τῆς πορνείας εἶπέ τις Γέρων ἐρημίτης· Κοιμώμενος θέλεις σωθῆναι; Ὕπαγε κάμε, ὕπαγε πόνεσον, ὕπαγε ζήτησον καὶ εὑρήσεις· γρηγόρησον, κροῦσον καὶ ἀνοιγήσεταί σοι. Εἰσὶν ἐν τῷ κόσμῳ παμμαχάριοι·

26. Λουκ. 11, 9-10.

27. Τό παγκράτιον ἦταν ἀρχαῖο ἀθλητικό ἀγώνισμα τῶν Ἑλλήνων πάλης καί πυγμαχίας συγχρόνως.

κάθε φορά αὐτά πού τοῦ ἦταν χρήσιμα καί πρόσθετε: «Μήν ὑποχωρήσεις στόν πειρασμό, ἀλλά νά ἔρχεσαι πιό συχνά, ὅσες φορές σέ ἐνοχλεῖ καί νά τόν ἀποκαλύπτεις. Γιατί μ' αὐτόν τόν τρόπο, ὅταν ἐλέγχεται, ὑποχωρεῖ. Τίποτε δέν προκαλεῖ τόση ἀηδία στόν δαίμονα τῆς πορνείας, ὅσο τό νά ξεσκεπάζεις τά ἔργα του· καί τίποτα δέν τόν χαροποιεῖ, ὅσο τό νά κρύβουμε τούς λογισμούς».

Πῆγε λοιπόν ὁ ἀδελφός στόν ἴδιο Γέροντα γιά ἑνδέκατη φορά κατηγορώντας τόν λογισμό του καί εἶπε κατόπιν ὁ ἀδελφός στόν Γέροντα: «Κάνε ἀγάπη, ἀββᾶ, καί πές μου κάποιον λόγο». Καί τοῦ λέει ὁ Γέροντας: «Ἔχε θάρρος, παιδί μου· ἐάν ἐπιτρέψει ὁ Θεός τόν λογισμό τόν δικό μου νά ρθεῖ σέ σένα, δέν θά μπορέσεις νά τόν σηκώσεις καί θά κατέβεις πολύ χαμηλά».

Μετά ἀπό τόν λόγο αὐτό τοῦ Γέροντα, χάρις στή μεγάλη του ταπείνωση, ἔπαυσε ὁ πόλεμος τοῦ ἀδελφοῦ.

38. Πολεμήθηκε ἄλλος ἀδελφός μέ τόν σαρκικό πειρασμό καί ἀγωνίσθηκε ἐντείνοντας τήν ἄσκησή του δεκατέσσερα χρόνια καί ἀγρυπνώντας στόν λογισμό του γιά νά μή συγκατατεθεῖ στήν ἐπιθυμία. Τελικά πῆγε στήν ἐκκλησία καί φανέρωσε σ' ὅλο τό πλῆθος τό πρόβλημά του καί δόθηκε ἐντολή σέ ὅλους καί γιά μιά ἑβδομάδα κόπιασαν γιά χάρη του προσευχόμενοι στόν Θεό καί ἔπαυσε ὁ πόλεμος.

39. Σχετικά μέ τόν λογισμό τῆς πορνείας εἶπε ἕνας Γέροντας ἐρημίτης: «Θέλεις νά σωθεῖς, ἐνῶ κοιμᾶσαι; Πήγαινε κόπιασε, πήγαινε μόχθησε, πήγαινε γύρεψε καί θά βρεῖς· ἀγρύπνησε, κτύπα καί θά σοῦ ἀνοιχθεῖ[26]. Ὑπάρχουν στόν κόσμο παλαιστές τοῦ παγκρατίου[27]. Ἐπειδή δέχονται πολ-

καὶ ἀπὸ τοῦ πολλὰ τύπτεσθαι καὶ ὑπομένειν καὶ εὐτονεῖν, στεφανοῦνται. Πολλάκις δὲ καὶ εἷς ὑπὸ δύο τυπτόμενος εὐτόνησε ταῖς πληγαῖς καὶ τοὺς τύπτοντας ἐνίκησεν. Εἶδες πόσην εὐτονίαν διὰ τὸν τῆς σαρκὸς πορισμὸν ὑπομένουσιν; Καὶ σὺ οὖν στῆθι καὶ εὐτόνησον καὶ ὁ Θεὸς πολεμεῖ ὑπὲρ σοῦ τὸν ἐχθρόν.

40. Πρὸς τὸν αὐτὸν λογισμὸν εἴρηκεν ἄλλος Γέρων· Γενοῦ ὡς παριὼν ἐν ἀγορᾷ διὰ καπηλείου καὶ ὀσφραινόμενος ἑψήματος ἢ παρόπτου τινός. Ὁ θέλων εἰσῆλθε καὶ ἔφαγεν, ὁ δὲ μὴ θέλων ὠσφράνθη μόνον παριὼν καὶ ἀπῆλθεν. Οὕτω καὶ σύ· τίναξον ἀπὸ σοῦ τὴν δυσωδίαν, ἔγειραι καὶ εὖξαι λέγων· Υἱὲ τοῦ Θεοῦ, βοήθει μοι. Τοῦτο ποίει καὶ ἐπ' ἄλλοις λογισμοῖς. Οὐ γὰρ ἐκριζωταί ἐσμεν τῶν λογισμῶν ἀλλ' ἀνταγωνισταί.

41. Ἀδελφός τις ὀχλούμενος ὑπὸ πορνείας παρέβαλε Γέροντι μεγάλῳ καὶ παρεκάλει αὐτὸν λέγων· Ποίησον ἀγάπην καὶ εὔχου ὑπὲρ ἐμοῦ ὅτι ὀχλοῦμαι ὑπὸ πορνείας. Ὁ δὲ Γέρων ἐδεήθη τοῦ Θεοῦ ὑπὲρ αὐτοῦ. Πάλιν ἐκ δευτέρου ἔρχεται πρὸς τὸν Γέροντα καὶ τὸν αὐτὸν λόγον εἶπεν. Ὁμοίως καὶ ὁ Γέρων οὐκ ἠμέλησε παρακαλῶν τὸν Θεὸν ὑπὲρ αὐτοῦ καὶ λέγων· Κύριε, ἀποκάλυψόν μοι τὸ κάθισμα τοῦ

28. Ἡ λέξη τοῦ ἀρχαίου κειμένου «κάθισμα-καθέζομαι» εἶναι ἀσκητικός ὅρος πού σημαίνει τήν ὅλη πνευματική ἐργασία πού κάνει ὁ μοναχός μέσα στό κελί: Προσευχή, τήρηση τοῦ νοῦ, ψαλμωδία, μελέτη κ. ἄ. ἀλλά κυρίως σημαίνει τήν προσευχή καί τήν ἀδολεσχία μετά τοῦ Θεοῦ.

Ὁ ἅγιος Γρηγόριος ὁ Σιναΐτης στό κεφ. «Περὶ τοῦ πῶς δεῖ καθέζεσθαι τὸν ἡσυχάζοντα» λέει:...Ἐν ὑπομονῇ δὲ ὀφείλει εἶναι τὸ κάθισμά σου, διὰ

λά χτυπήματα καί ὑπομένουν καί δυναμικά ἀντιστέκονται, στεφανώνονται. Πολλές φορές μάλιστα καί ἕνας ἐνῶ δέχεται χτυπήματα ἀπό δυό ἀντιπάλους, ἀντιστέκεται δυναμικά καί τούς νικᾶ.

Βλέπεις πόσο μεγάλη ἔνταση ὑπομένουν γιά τό ὑλικό κέρδος! Καί σύ λοιπόν στήσου ὀρθός, κράτα τή δύναμή σου καί ὁ Θεός θά πολεμήσει τόν ἐχθρό γιά λογαριασμό σου».

40. Γιά τόν ἴδιο λογισμό ἄλλος Γέροντας εἶπε: «Νά γίνεις σάν αὐτόν πού περνώντας στήν ἀγορά μπροστά ἀπό καπηλειό, ὀσφραίνεται κάποιο βραστό ἤ ψητό. Ὅποιος θέλει, μπαίνει καί τρώει. Ἐκεῖνος ὅμως πού δέν θέλει, μυρίζει μόνο, καθώς περνάει, καί φεύγει. Ἔτσι κι ἐσύ. Τίναξε ἀπό πάνω σου τήν δυσοσμία, σήκω καί προσευχήσου λέγοντας: Υἱέ τοῦ Θεοῦ, βοήθα με. Αὐτό κάνε καί γιά ἄλλους λογισμούς. Γιατί δέν εἴμαστε ἐμεῖς πού θά ξεριζώσουμε τούς λογισμούς, ὀφείλουμε ὅμως νά προβάλλουμε ἀντίσταση».

41. Ἕνας ἀδελφός ἐπειδή ἐνοχλοῦνταν ἀπό τόν σαρκικό πειρασμό πῆγε σ' ἕναν μεγάλο Γέροντα καί τόν παρακάλεσε: «Κάνε ἀγάπη —τοῦ εἶπε— καί προσευχήσου γιά μένα, γιατί ἐνοχλοῦμαι ἀπό τόν σαρκικό πειρασμό». Ὁ Γέροντας παρακάλεσε τόν Θεό νά τόν βοηθήσει. Πάλι ἔρχεται γιά δεύτερη φορά στόν Γέροντα καί τοῦ λέει τά ἴδια. Τό ἴδιο καί ὁ Γέροντας δέν ἀμέλησε νά παρακαλέσει τόν Θεό γιά χάρη του λέγοντας καί τό ἑξῆς: «Κύριε, φανέρωσέ μου πῶς κάνει τήν πνευματική του ἐργασία στό κελί[28] ὁ ἀδελ-

τὸν εἰπόντα «τῇ προσευχῇ προσκαρτεροῦντες» (Κολ. 4, 2) καὶ μὴ ταχέως ἀνίστασθαι ὀλιγωροῦντα διὰ τὸ ἐπίπονον ἄλγος...

Καί στό κεφ. «Περὶ τοῦ πῶς δεῖ ψάλλειν» ἀναφέρει χαρακτηριστικά: Ὅτε ἴδῃς ἐν τῷ καθίσματί σου ἐνεργοῦσαν τὴν προσευχὴν καὶ μὴ παυομέ-

ἀδελφοῦ τούτου καὶ πόθεν ἡ ἐνέργεια· ὅτι παρεκάλεσά σε καὶ οὔπω εὗρεν ἀνάπαυσιν. Καὶ ἀπεκάλυψεν αὐτῷ ὁ Θεὸς τὰ κατ᾽ αὐτὸν καὶ εἶδεν αὐτὸν καθεζόμενον καὶ τὸ πνεῦμα τῆς πορνείας ἐγγὺς αὐτοῦ καὶ αὐτὸν ἀδολεσχοῦντα μετ᾽ αὐτοῦ καὶ ἄγγελος παρίστατο πεμφθεὶς ἐπ᾽ αὐτὸν πρὸς βοήθειαν καὶ ὠργίζετο τῷ ἀδελφῷ ὅτι μὴ ἐπέρριπτεν ἑαυτὸν πρὸς τὸν Θεόν, ἀλλ᾽ ἡδόμενος τοῖς λογισμοῖς ὅλον ἑαυτοῦ τὸν νοῦν προεδίδου τῇ ἐνεργείᾳ.

Ἔγνω οὖν ὁ Γέρων ὅτι ἡ αἰτία ἐκ τοῦ ἀδελφοῦ ἐστι καὶ ἐλθόντι ἀνήγγειλεν αὐτῷ ὅτι· Σὺ εἶ ὁ αἴτιος ὁ συγκατατιθέμενος τοῖς λογισμοῖς. Καὶ ἐδίδαξεν αὐτὸν πῶς ἀντιστῇ τοῖς λογισμοῖς. Καὶ ἀνανήψας ὁ ἀδελφὸς διὰ τῆς εὐχῆς καὶ διδαχῆς τοῦ Γέροντος εὗρεν ἀνάπαυσιν.

42. Ἐπολεμήθη ποτὲ μαθητὴς μεγάλου Γέροντος εἰς πορνείαν. Ὁ δὲ Γέρων βλέπων αὐτὸν κοπιῶντα λέγει αὐτῷ· Θέλεις παρακαλέσω τὸν Θεὸν καὶ κουφίζει τὸν πόλεμον ἀπὸ σοῦ; Ὁ δὲ εἶπεν· Οὐχί, ἀββᾶ, ὅτι εἰ γὰρ καὶ κοπιῶ, ἀλλὰ βλέπω ἐκ τοῦ κόπου καρπὸν εἰς ἐμέ. Τοῦτο δὲ μᾶλλον παρακάλεσον τὸν Θεόν, ἵνα μοι δῷ ὑπομονὴν τοῦ ὑπενεγκεῖν. Λέγει αὐτῷ ὁ ἀββᾶς αὐτοῦ· Σήμερον ἔγνων ὅτι ἐν προκοπῇ εἶ καὶ ὑπερέβης ἐμέ.

43. Ἔλεγον περί τινος Γέροντος ὅτι κατέβη εἰς Σκῆτιν

νην κινεῖσθαι ἐν τῇ καρδίᾳ, μήποτε ἀφήσῃς αὐτὴν καὶ ἀνίστασθαι ψάλλειν ἕως καιροῦ, ἐὰν μὴ οἰκονομικῶς καταλείψῃ σε (= γιά κάποιο χρονικό διάστημα, ἐάν αὐτή —ἡ προσευχή δηλ.— κατ᾽ οἰκονομίαν Θεοῦ δέν σέ ἐγκατα-

φός αὐτός καί ἀπό ποῦ προέρχεται ἡ ἐνέργεια αὐτή. Γιατί σέ παρακάλεσα καί δέν βρῆκε ἀκόμη ἀνάπαυση. Καί τοῦ ἀποκάλυψε ὁ Θεός τά σχετικά μέ αὐτόν· τόν εἶδε δηλαδή νά κάθεται γιά πνευματική ἐργασία καί τό πνεῦμα τῆς πορνείας κοντά του καί αὐτόν νά φλυαρεῖ μέ τό πονηρό πνεῦμα. Καί ἕνας ἄγγελος παραστεκόταν σταλμένος εἰδικά γιά νά τόν βοηθήσει καί ὀργιζόταν μέ τόν ἀδελφό, γιατί δέν ἔριχνε τόν ἑαυτό του μπροστά στόν Θεό ἀλλά δοκίμαζε ἡδονή ἀπό τούς λογισμούς καί ἐξέθετε ὅλο του τόν νοῦ στήν πειρασμική ἐνέργεια.

Ἔμαθε λοιπόν ὁ Γέροντας ὅτι ἡ αἰτία προέρχεται ἀπό τόν ἀδελφό καί ὅταν ὁ ἀδελφός πῆγε, τοῦ εἶπε: «Ἐσύ εἶσαι ὁ αἴτιος πού συγκατατίθεσαι στούς λογισμούς». Καί τοῦ δίδαξε πῶς νά ἀντιστέκεται στούς λογισμούς. Ἔτσι συνῆλθε ὁ ἀδελφός μέ τίς προσευχές καί τή νουθεσία τοῦ Γέροντα καί βρῆκε ἀνάπαυση.

42. Πολεμήθηκε κάποτε ἕνας μαθητής μεγάλου Γέροντα ἀπό σαρκικό πειρασμό. Καί ὁ Γέροντας βλέποντας τόν κόπο του τοῦ λέει: «Θέλεις νά παρακαλέσω τόν Θεό νά σοῦ ξαλαφρώσει τόν πόλεμο;» Κι αὐτός εἶπε: «Ὄχι, ἀββᾶ, γιατί ἄν καί κοπιάζω, ἀλλά βλέπω καρπό ἀπό τόν κόπο μου. Καλύτερα παρακάλεσε τόν Θεό νά μοῦ δίνει ὑπομονή νά τόν ἀντέξω». Κι ὁ ἀββᾶς τότε τοῦ εἶπε: «Σήμερα διαπίστωσα ὅτι ἔχεις προκόψει καί μέ ἔχεις ξεπεράσει».

43. Ἔλεγαν γιά κάποιον Γέροντα ὅτι πῆγε στή Σκήτη

λείπει). Τὸν γὰρ Θεὸν καταλιπὼν ἔσωθεν, ἔξωθεν ἵστασαι προσλαβών, ἐκ τῶν ὑψηλῶν εἰς τὰ χαμαιπετῆ παρεκκλίνων... (*Φιλοκαλία τῶν ἱερῶν Νηπτικῶν* ἐκδ. Ἀστήρ, τόμ. 4ος).

καὶ εἶχεν υἱὸν ἔτι θηλάζοντα· καὶ οὐκ ᾔδει τί ἐστι γυνή. Ὡς οὖν γέγονεν ἀνήρ, ἐδείκνυον αὐτῷ νυκτὸς οἱ δαίμονες τὰ σχήματα τῶν γυναικῶν καὶ ἀνήγγειλε τῷ πατρὶ αὐτοῦ κἀκεῖνος ἐθαύμασεν. Ποτὲ οὖν ἀναβὰς μετὰ τοῦ πατρὸς αὐτοῦ εἰς Αἴγυπτον καὶ ἰδὼν τὰς γυναῖκας λέγει τῷ πατρὶ αὐτοῦ· Ἀββᾶ, οὗτοι εἰσὶν οἱ ἐρχόμενοι νυκτὸς πρός με εἰς Σκῆτιν. Καὶ λέγει αὐτῷ ὁ πατὴρ αὐτοῦ· Οὗτοί εἰσιν οἱ μοναχοὶ τῶν κωμῶν, τέκνον. Ἄλλο γὰρ σχῆμα ἔχουσιν οὗτοι καὶ ἄλλο οἱ ἐρημῖται. Καὶ ἐθαύμασεν ὁ Γέρων πῶς καὶ ἐν τῇ ἐρήμῳ ἔδειξαν αὐτῷ οἱ δαίμονες τὰς φαντασίας τῶν γυναικῶν. Καὶ εὐθέως ὑπέστρεψαν εἰς τὴν κέλλαν αὐτῶν.

44. Ἀδελφός τις ἦν ἀγωνιστὴς ἐν Σκήτει καὶ ὑπέβαλλεν αὐτῷ ὁ ἐχθρὸς μνήμην γυναικός τινος εὐμορφοτάτης καὶ ἔθλιβεν αὐτὸν σφόδρα. Κατ᾿ οἰκονομίαν δὲ Θεοῦ ἦλθεν ἄλλος ἀδελφὸς κατελθὼν ἀπὸ Αἰγύπτου εἰς Σκῆτιν. Καὶ λαλούντων αὐτῶν εἶπεν ὅτι ἡ γυνὴ τοῦ δεῖνος ἀπέθανεν. Ἦν δὲ αὕτη εἰς ἣν ἐπολεμεῖτο ὁ ἀγωνιστής. Ὁ δὲ ἀκούσας λαβὼν τὸν λεβήτωνα αὐτοῦ νυκτὸς ἀναστὰς ἐπορεύθη εἰς Αἴγυπτον καὶ ἀνοίξας τὸν τάφον αὐτῆς ἐξέμαξε τοὺς ἰχῶρας αὐτῆς τῷ λεβήτωνι αὐτοῦ καὶ ὑπέστρεψεν ἔχων αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ· καὶ ἐτίθει τὴν δυσωδίαν ἐκείνην ἔμπροσθεν αὐτοῦ καὶ ἐπολέμει τῷ λογισμῷ λέγων· Ἰδοὺ ἡ ἐπιθυμία ἣν ἐζήτεις, ἔχεις αὐτὴν ἔμπροσθέν σου, χορτάσθητι. Καὶ οὕτως ἐν τῇ δυσωδίᾳ ἐβασάνιζεν ἑαυτόν, ἕως οὗ ἐπαύσατο ὁ πόλεμος ἐξ αὐτοῦ.

45. Ἦλθέ τις εἰς Σκῆτιν γενέσθαι μοναχὸς ἔχων καὶ τὸν υἱὸν αὐτοῦ ἀπογαλακτισθέντα μετ᾿ αὐτοῦ. Καὶ ὡς ἐγένετο νεώτερος ἤρξαντο οἱ δαίμονες ἐπιτίθεσθαι αὐτῷ καὶ

μ᾿ ἕνα γιό πού ἀκόμη θήλαζε καί δέν γνώρισε τί εἶναι γυναίκα. Ὅταν ἔφτασε στήν ἀνδρική ἡλικία, τοῦ ἔδειχναν τή νύκτα οἱ δαίμονες μορφές γυναικῶν καί τό ἀνέφερε στόν πατέρα του κι ἐκεῖνος ἐξεπλάγη. Κάποια φορά λοιπόν πού πῆγε μέ τόν πατέρα του στήν Αἴγυπτο καί εἶδε τίς γυναῖκες, λέει στόν πατέρα του: «Ἀββᾶ, αὐτοί εἶναι πού ἔρχονται τή νύκτα σέ μένα στή Σκήτη». Καί ὁ πατέρας τοῦ λέει: «Αὐτοί, παιδί μου, εἶναι οἱ μοναχοί πού μένουν στά χωριά. Ἄλλο σχῆμα ἔχουν αὐτοί καί ἄλλο οἱ ἐρημίτες». Καί ἐξεπλάγη ὁ Γέροντας πῶς καί μέσα στήν ἔρημο τοῦ ἔδειξαν οἱ δαίμονες τίς μορφές τῶν γυναικῶν. Καί ἀμέσως γύρισαν στό κελί τους.

44. Ἕνας ἀδελφός ἦταν ἀγωνιστής στή Σκήτη καί ὁ ἐχθρός τοῦ θύμιζε μιά γυναίκα πολύ ὄμορφη καί τόν ἔθλιβε ὑπερβολικά. Τά οἰκονόμησε ο Θεός καί ἦλθε στή Σκήτη ἀπό τήν Αἴγυπτο ἕνας ἄλλος ἀδελφός. Καθώς λοιπόν συζητοῦσαν εἶπε αὐτός ὅτι ἡ γυναίκα τοῦ τάδε πέθανε. Καί ἦταν αὐτή γιά τήν ὁποία εἶχε πειρασμό ὁ ἀδελφός. Μόλις τό ἄκουσε, πῆρε τό ἐπανωφόρι του καί μέσα στή νύχτα πῆγε στήν Αἴγυπτο, ἄνοιξε τόν τάφο της καί μάζεψε σφογγίζοντας μέ τό ἐπανωφόρι του τά δυσώδη ὑγρά ἀπό τό σῶμα της καί κρατώντας το γύρισε στό κελί του. Τοποθετοῦσε λοιπόν τή δυσοσμία ἐκείνη μπροστά του καί πολεμοῦσε τόν λογισμό του λέγοντας: «Νά, ἡ ἐπιθυμία πού ζητοῦσες νά ἀπολαύσεις. Τήν ἔχεις μπροστά σου· χόρτασε». Ἔτσι βασάνιζε τόν ἑαυτό του μέσα στήν δυσοσμία αὐτή, μέχρις ὅτου σταμάτησε ὁ πειρασμός του.

45. Ἦλθε στή Σκήτη κάποιος γιά νά γίνει μοναχός ἔχοντας μαζί του καί τόν γιό του, ὁ ὁποῖος μόλις εἶχε ἀποκοπεῖ ἀπό τόν θηλασμό. Ὅταν ἔγινε νέος, ἄρχισαν οἱ δαί-

εἶπε τῷ πατρὶ αὐτοῦ· Ὑπάγω εἰς τὸν κόσμον, οὐ γὰρ ἰσχύω τὸν πόλεμον ὑπενεγκεῖν. Ὁ δὲ πατὴρ αὐτοῦ ἐπέμενε παρακαλῶν αὐτόν. Καὶ πάλιν λέγει ὁ νεώτερος· Ἀββᾶ, οὐκέτι ἰσχύω, ἔασόν με ἀπελθεῖν. Λέγει αὐτῷ ὁ πατὴρ αὐτοῦ· Ἄκουσόν μου, τέκνον, ἔτι τὸ ἅπαξ τοῦτο καὶ λάβε σεαυτῷ τεσσαράκοντα ζεύγη ἄρτων καὶ θαλλία ἡμερῶν τεσσαράκοντα καὶ ὕπαγε εἰς τὴν ἐσωτέραν ἔρημον καὶ μεῖνον ἐκεῖ τεσσαράκοντα ἡμέρας καὶ τοῦ Κυρίου τὸ θέλημα γενέσθω. Ὑπήκουσε δὲ τῷ πατρὶ αὐτοῦ καὶ ἀναστὰς εἰσῆλθεν εἰς τὴν ἔρημον. Καὶ ἔμεινε κοπιῶν ἐκεῖ εἴκοσιν ἡμέρας, πλέκων θαλλία ξηρὰ καὶ τὸν ἄρτον ἐσθίων ξηρόν· καὶ ἰδοὺ εἶδε τὴν ἐνέργειαν ἐρχομένην πρὸς αὐτόν. Ἔστη γὰρ ἐνώπιον αὐτοῦ ὡς αἰθιόπισσα δυσωδεστάτη, ὥστε μὴ δύνασθαι αὐτὸν φέρειν τὴν ὀσμὴν αὐτῆς καὶ ἐδίωκεν αὐτήν. Λέγει οὖν αὐτῷ ὁ δαίμων ὅτι· Ἐγὼ ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων γλυκεῖα φαίνομαι· ἀλλὰ διὰ τὴν ὑπακοήν σου καὶ τὸν κόπον σου οὐκ ἀφῆκέ με ὁ Θεὸς ἀπατῆσαί σε ἀλλ' ἐνεφάνισέ σοι τὴν δυσωδίαν μου. Ὁ δὲ ἀναστὰς καὶ εὐχαριστήσας τῷ Θεῷ ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ καὶ λέγει αὐτῷ· Οὐκέτι θέλω ἀπελθεῖν εἰς τὸν κόσμον, ἀββᾶ· ἑώρακα γὰρ τὴν ἐνέργειαν καὶ τήν δυσωδίαν αὐτῆς. Ἦν δὲ καὶ ὁ πατὴρ αὐτοῦ πληροφορηθεὶς περὶ τούτου καὶ λέγει τῷ νεωτέρῳ· Εἰ ἔμεινας τὰς τεσσαράκοντα ἡμέρας καὶ ἐφύλαξας εἰς τέλος τὴν ἐντολήν, εἶχες ἰδεῖν μείζονα θεωρίαν.

46. Ἔλεγον περί τινος τῶν Πατέρων ὅτι ἀπό κόσμου ἦν καὶ ἐπολεμεῖτο εἰς τὴν γυναῖκα αὐτοῦ. Διηγήσατο δὲ

29. Ἐννοεῖ ὅτι δέν ἔβρεχε τούς βλαστούς καί κατέβαλε περισσότερο κόπο.

μονες νά τοῦ ἐπιτίθενται καί εἶπε στόν πατέρα του: «Θά πάω στόν κόσμο, γιατί δέν μπορῶ νά ὑποφέρω τόν πόλεμο». Καί ὁ πατέρας του ἐπέμενε νά τόν παρακαλεῖ νά μή τό κάνει. Καί πάλι τοῦ λέει ὁ νέος: «Ἀββᾶ, δέν ἀντέχω ἄλλο, ἄσε με νά φύγω». Τοῦ λέει τότε ὁ πατέρας του: «Ἄκουσέ με, παιδί μου, μιά φορά ἀκόμη σέ τοῦτο: Πάρε μαζί σου σαράντα ζευγάρια ψωμιά καί φοινικοβλαστούς γιά σαράντα μέρες καί πήγαινε στήν βαθύτερη ἔρημο καί μεῖνε ἐκεῖ σαράντα μέρες· ἔπειτα ἄς γίνει τό θέλημα τοῦ Κυρίου». Ὑπάκουσε πράγματι στόν πατέρα του, σηκώθηκε καί μπῆκε μέσα στήν ἔρημο καί ἔμεινε ἐκεῖ καταβάλλοντας κόπο εἴκοσι μέρες· ἔπλεκε ξερούς[29] φοινικοβλαστούς καί τό ψωμί τό ἔτρωγε ξερό. Καί νά, βλέπει τή δαιμονική ἐνέργεια νά κατευθύνεται πρός αὐτόν. Στάθηκε μπροστά του σάν μιά ἀραπίνα τόσο βρωμερή, ὥστε νά μή μπορεῖ νά ἀντέξει τήν ὀσμή της καί τήν ἔδιωχνε. Τοῦ λέει λοιπόν ὁ δαίμονας: «Ἐγώ στίς καρδιές τῶν ἀνθρώπων φαίνομαι γλυκειά· ἀλλά χάρις στήν ὑπακοή σου καί τόν κόπο σου δέν μέ ἄφησε ὁ Θεός νά σέ ἐξαπατήσω ἀλλά σοῦ φανέρωσε τήν δυσοσμία μου».

Κι ὁ ἀδελφός σηκώθηκε, εὐχαρίστησε τόν Θεό, ἐπέστρεψε στόν πατέρα του καί τοῦ λέει: «Δέν θέλω πιά νά φύγω στόν κόσμο, ἀββᾶ· γιατί εἶδα τή διαβολική ἐνέργεια καί τή δυσωδία της».

Ἀλλά καί ὁ πατέρας του εἶχε λάβει πληροφορία γιά τό γεγονός καί λέει στόν νεαρό: «Ἐάν θά ἔμενες τίς σαράντα μέρες καί θά κρατοῦσες τέλεια τήν ἐντολή, θά ἔβλεπες μεγαλύτερη θεωρία».

46. Ἔλεγαν γιά κάποιον ἀπό τούς Πατέρες ὅτι προερχόταν ἀπό τήν ζωή τοῦ κόσμου καί δοκίμαζε πειρασμό ὡς πρός τήν πρώην γυναίκα του. Τό ἀνέφερε στούς Πατέρες.

τοῦτο τοῖς Πατράσι. Καὶ ἰδόντες ὅτι ἐργάτης ἐστὶ καὶ περισσότερα ποιεῖ ὧν αὐτοὶ λέγουσιν, ἐτίθουν αὐτῷ πολιτείας, ὥστε ἐξασθενῆσαι αὐτοῦ τὸ σῶμα καὶ μηκέτι δύνασθαι ἀναστῆναι. Κατ' οἰκονομίαν δὲ Θεοῦ ἦλθέ τις τῶν πατέρων ξένος παραβαλεῖν εἰς Σκῆτιν· καὶ ἐλθὼν κατὰ τῆς κέλλης αὐτοῦ εἶδεν αὐτὴν ἀνεῳγμένην καὶ παρῆλθε θαυμάζων πῶς οὐδεὶς ἐξῆλθεν εἰς τὴν ἀπάντησιν αὐτοῦ. Ὑποστρέψας οὖν ἔκρουσε λέγων, μήποτε ὁ ἀδελφὸς ἀσθενεῖ. Καὶ κρούσας εἰσῆλθε καὶ εὗρεν αὐτὸν ἐν πολλῇ ἀσθενείᾳ καὶ λέγει αὐτῷ· Τί ἐστιν ὃ ἔχεις, πάτερ; Καὶ διηγήσατο αὐτῷ λέγων· Ἐγὼ ἀπὸ τοῦ κόσμου εἰμὶ καὶ πολεμεῖ με νῦν ὁ ἐχθρὸς εἰς τὴν ἐμὴν γυναῖκα· καὶ διηγησάμην τοῖς Πατράσι καὶ ἐπέθηκάν μοι πολιτείας διαφόρους καὶ ποιῶν αὐτὰς ἐξησθένησα καὶ ὁ πόλεμος αὔξει.

Ἀκούσας δὲ ταῦτα ὁ Γέρων ἐλυπήθη καὶ λέγει αὐτῷ· Οἱ μὲν Πατέρες ὡς δυνατοὶ καλῶς ὑπέθεντό σοι τὰς πολιτείας· ἐὰν δέ μου ἀκούσῃς τῆς ταπεινώσεως, ῥίψον ἀπὸ σοῦ ταύτας καὶ μεταλάμβανε τῆς μικρᾶς τροφῆς εἰς τὸν καιρὸν αὐτῆς καὶ ποιῶν τὴν μικράν σου σύναξιν ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου. Ἐν γὰρ τοῖς σοῖς πόνοις οὐ δυνήσῃ περιγενέσθαι τούτου τοῦ πράγματος. Καὶ γὰρ τὸ σῶμα ἡμῶν ὡς ἱμάτιόν ἐστιν. Ἐὰν ἐπιμεληθῇς αὐτοῦ, ἵσταται, ἐὰν δὲ ἀμελήσῃς αὐτοῦ σήπεται. Ὁ δὲ ἀκούσας αὐτοῦ ἐποίησεν οὕτω καὶ εἴσω ὀλίγων ἡμερῶν ἀπέστη ὁ πόλεμος ἀπ' αὐτοῦ.

47. Ἀναχωρητής τις ἦν ἀρχαῖος ἐν ὄρει καθήμενος καὶ εὐλαβείᾳ προκόπτων ἐν τοῖς μέρεσιν Ἀντινόου. Ἠκούσα-

30. Ἐννοεῖ τόν καταγόμενο ἀπό ἄλλη χώρα. 31. Ψαλμ. 54, 23.

Ἐκεῖνοι βλέποντας ὅτι εἶναι φιλόπονος καί κάνει περισσότερα ἀπ' ὅσα αὐτοί τοῦ λένε, τοῦ ἔθεταν τέτοιες ἀσκήσεις, ὥστε νά ἐξασθενήσει τό σῶμα του καί νά μή μπορεῖ πιά νά σταθεῖ στά πόδια του. Ἀπό οἰκονομία Θεοῦ ἦλθε νά ἐπισκεφθεῖ τή Σκήτη κάποιος ξένος[30] πατήρ. Καί ὅταν ἔφτασε κοντά στό κελί του, τό εἶδε ἀνοικτό καί τό προσπέρασε ἀπορώντας πῶς κανείς δέν βγῆκε νά τόν προϋπαντήσει. Ἔκανε ὅμως τή σκέψη μή τυχόν ὁ ἀδελφός εἶναι ἄρρωστος καί γύρισε πίσω. Κτύπησε καί μπῆκε καί τόν βρῆκε πολύ ἄρρωστο. «Τί σοῦ συμβαίνει, πάτερ;» τόν ρώτησε. Καί τοῦ ἀνέφερε ἐκεῖνος τά ἀκόλουθα: «Ἐγώ προέρχομαι ἀπό τήν ζωή τοῦ κόσμου καί μέ πολεμάει τώρα ὁ ἐχθρός γιά τή γυναίκα μου. Τό εἶπα στούς Πατέρες καί μοῦ ἔβαλαν διάφορες ἀσκήσεις καί κάμνοντάς τες ἐξασθένησα καί ὁ πόλεμος αὐξάνει».

Ὁ Γέροντας λυπήθηκε μ' αὐτά πού ἄκουσε καί τοῦ λέει: «Οἱ Πατέρες βέβαια, καθώς εἶναι δυνατοί, σωστά σοῦ πρότειναν τίς ἀσκήσεις. Ἀλλά ἄν ἀκούσεις τήν ταπεινότητά μου, παράτησέ τα αὐτά καί παῖρνε τή λίγη τροφή στήν ὥρα της καί κάμνοντας τή μικρή σου ἀκολουθία ἀνάθεσε στόν Κύριο τή μέριμνά σου[31]. Γιατί μέ τούς δικούς σου κόπους δέν θά μπορέσεις νά ξεπεράσεις αὐτόν τόν πειρασμό. Καί τό σῶμα μας ἐξάλλου εἶναι σάν ἕνα ροῦχο. Ἐάν τό φροντίζεις, διατηρεῖται, ἐάν τό παραμελήσεις, καταστρέφεται».

Τόν ἄκουσε ὁ ἄρρωστος πατήρ καί ἐνήργησε ἔτσι. Καί μέσα σέ λίγες μέρες ὁ πόλεμος τόν ἐγκατέλειψε.

47. Ὑπῆρχε ἕνας ἀναχωρητής στά μέρη τοῦ Ἀντινόου[32] πρίν πολλά χρόνια, πού πρόκοβε στήν εὐλάβεια. Ἀκούσα-

32. Ἀντίνοον: Πόλη στήν ἀνατολική ὄχθη τοῦ Νείλου ἀπέναντι ἀπό τήν

μεν οὖν παρὰ γνωρίμων μοναχῶν ὅτι πολλοὶ τῷ λόγῳ αὐτοῦ ὠφελοῦντο καὶ τῇ αὐτοῦ πράξει. Τοιούτῳ δὲ ὄντι ἐφθόνησεν ὡς καὶ πᾶσι τοῖς ἐναρέτοις ὁ ἐχθρὸς καὶ ὑποβάλλει λογισμὸν αὐτῷ ὡς δῆθεν εὐλαβείας ὅτι· Οὐκ ὀφείλεις δουλεύεσθαι ἢ διακονεῖσθαι ὑφ' ἑτέρων, ἀλλὰ σὺ μᾶλλον ἑτέροις ὀφείλων διακονῆσαι οὐ διακονεῖς. Ἀλλ' ἄγε κἂν σεαυτῷ δούλευσον· τοιγαροῦν ἀπελθὼν πώλησόν σου τὰ σπυρίδια εἰς τὴν πόλιν καὶ ἀγόρασόν σου τὰς χρείας καὶ ἀνάστρεφε αὖθις ἐπὶ τὴν ἀναχώρησίν σου καὶ μηδενὶ βάρος ἐπιτίθει. Τοῦτο δὲ συνεβούλευσεν ὁ δόλιος φθονῶν αὐτοῦ τῆς ἡσυχίας καὶ τῆς δεούσης σχολῆς τῆς εἰς τὸν Κύριον καὶ τῆς τῶν πολλῶν ὠφελείας. Πανταχόθεν γὰρ ὁ ἐχθρὸς θηρεύειν αὐτὸν ἐσπούδαζε καὶ συλλαβεῖν. Ὁ δὲ ὡς ἐπ' ἀγαθῷ λογισμῷ πεισθεὶς κατέβη ἐκ τοῦ μοναστηρίου αὐτοῦ ὁ ποτὲ θαυμαζόμενος, ἄπειρος ὢν τῆς πολλῆς πανουργίας τοῦ ἐνεδρεύοντος, γνώριμος καὶ περιφανὴς ὑπὸ τῶν ὁρώντων ἀναχωρητής. Διὰ πολλοῦ δὲ χρόνου συντυχὼν γυναικὶ καὶ ἐξ ἀπροσεξίας σκελισθείς, ἐλθὼν εἰς ἔρημον τόπον ἀκολουθοῦντος αὐτῷ τοῦ ἐχθροῦ ἔπεσε παρὰ ποταμόν. Ἐνθυμηθεὶς δὲ ὅτι ἐχάρη ὁ ἐχθρὸς ἐπὶ τῇ πτώσει αὐτοῦ, ἠθέλησεν ἑαυτὸν ἀπελπίσαι· ὅτι περ μάλιστα τὸ τοῦ Θεοῦ Πνεῦμα ἐλύπησε καὶ τοὺς ἀγγέλους καὶ τοὺς ἁγίους Πατέρας, ὧν πολλοὶ καὶ ἐν πόλεσι τὸν ἐχθρὸν νενικήκασι. Οὐδενὶ οὖν τούτων ὁμοιωθεὶς ἐλυπεῖτο σφόδρα. Καὶ μὴ μνησθεὶς ὅτι ὁ Θεὸς χορηγεῖ δύναμιν τοῖς ἐπ' αὐτῷ γνησίως ἐλπίζουσι,

Ἑρμούπολη στά ὅρια τῆς Ἑπτανομίδας καί Θηβαΐδας.

33. Ἀδολεσχία μέ τόν Κύριο: Ἡ στροφή καί ἐμμονή τοῦ νοῦ καί τῆς καρδιᾶς στόν Κύριο καί ἡ ἐντρύφηση στά τοῦ Κυρίου. Βλ. *Μ. Γεροντικόν* τόμ. Α' σελ. 94 ὑποσημ. 82.

με λοιπόν ἀπό γνωρίμους του μοναχούς ὅτι πολλοί ὠφελοῦνταν ἀπό τόν λόγο του καί ἀπό τό παράδειγμά του. Ἕναν τέτοιο μοναχό τόν φθόνησε, ὅπως καί ὅλους τούς ἐνάρετους, ὁ ἐχθρός καί τοῦ βάζει τόν ἑξῆς λογισμό μέ τό πρόσχημα τῆς εὐλάβειας: Δέν πρέπει νά ἐξυπηρετεῖσαι ἤ νά διακονεῖσαι ἀπό ἄλλους, ἀλλά σύ μᾶλλον ὀφείλεις νά διακονεῖς ἄλλους καί δέν τό κάνεις· τουλάχιστον ἐξυπηρέτησε τόν ἑαυτό σου. Πήγαινε λοιπόν, πούλησε τά ζεμπίλια στήν πόλη, κάνε κατόπιν τίς προμήθειες πού σοῦ χρειάζονται καί γύρισε πάλι στό ἀσκηταριό σου, καί μή γίνεσαι βάρος σέ κανέναν.

Φυσικά τόν συμβούλεψε ἔτσι ὁ δολερός, γιατί φθονοῦσε τήν ἡσυχία του καί τήν ἀδολεσχία[33] του μέ τόν Κύριο, ἀλλά καί γιατί πολλοί ἄνθρωποι ὠφελοῦνταν ἀπ' αὐτόν. Ἀπό παντοῦ προσπαθοῦσε ὁ ἐχθρός νά τόν παγιδεύσει καί νά τόν συλλάβει. Κι ἐκεῖνος ἐπειδή πείσθηκε ὅτι ὁ λογισμός αὐτός ἦταν καλός, κατέβηκε ἀπό τό μοναστήρι του μή ἔχοντας πείρα τῆς μεγάλης πανουργίας τοῦ διαβόλου πού στήνει παγίδες, αὐτός πού ἄλλοτε ἦταν τό πρόσωπο πού θαύμαζαν ὅσοι τόν ἔβλεπαν, γνώριμος καί διάσημος ἀναχωρητής. Συναντώντας λοιπόν μετά ἀπό πολύν καιρό μιά γυναίκα ἔπεσε στό ἁμάρτημα ἀπό ἔλλειψη προσοχῆς στόν ἑαυτό του. Πῆγε κατόπιν σέ ἔρημο τόπο, ἐνῶ ὁ ἐχθρός τόν ἀκολουθοῦσε, καί ἔπεσε στήν ὄχθη κάποιου ποταμοῦ. Σκέφθηκε τότε ὅτι χάρηκε ὁ ἐχθρός γιά τήν πτώση του καί πῆγε νά ἀπογοητευθεῖ ἀπό τόν ἑαυτό του, προπαντός γιατί λύπησε τό Πνεῦμα τοῦ Θεοῦ, τούς ἀγγέλους καί τούς ἁγίους Πατέρες, πολλοί ἀπό τούς ὁποίους καί μέσα στή ζωή τῶν πόλεων νίκησαν τόν ἐχθρό. Ἡ λύπη του λοιπόν ἦταν μεγάλη, γιατί δέν ἔμοιασε μέ κανέναν ἀπ' αὐτούς. Δέν σκέφθηκε ὅμως ὅτι ὁ Θεός χορηγεῖ δύναμη σ' αὐτούς πού ἀληθινά ἐλπίζουν σ' Αὐτόν καί καθώς πέτρωσε ἡ καρ-

πωρωθεὶς ἐπὶ τῇ τοῦ πλημμελήματος θεραπείᾳ ἠθέλησεν ἑαυτὸν εἰς τὸ ῥεῦμα τοῦ ποταμοῦ ῥίψαι εἰς θάνατον καὶ τελείαν χαρὰν τοῦ ἐχθροῦ.

Ἀπὸ δὲ τῆς πολλῆς ὀδύνης τῆς ψυχῆς αὐτοῦ τὸ σῶμα ἠσθένησεν, εἰ μὴ ὕστερον ὁ ἐλεήμων Θεὸς ἐβοήθησεν αὐτῷ μὴ ἀποθανεῖν εἰς τελείαν χαρὰν τοῦ διαβόλου. Ὕστερον δὲ εἰς ἑαυτὸν ἐλθὼν ἐλογίσατο πλείονα κόπον ἐν κακοπαθείᾳ ἐνδείξασθαι καὶ ἱκετεῦσαι τὸν Θεὸν ἐν κλαυθμῷ καὶ πένθει. Καὶ ἀνεχώρησεν πάλιν ἐπὶ τὸ ἴδιον μοναστήριον· ἀναφράξας δὲ τὴν θύραν, ὡς δεῖ κλαίειν ἐπὶ νεκρῷ, οὕτως ἔκλαιεν ἱκετεύων τὸν Θεόν· νηστεύων δὲ καὶ ἀγρυπνῶν μετὰ ἀθυμίας, ἐλεπτύνθη τῷ σώματι πληροφορίαν μετανοίας οὔπω σχών.

Τῶν δὲ ἀδελφῶν παραβαλλόντων εἰς αὐτὸν πολλάκις πρὸς ὠφέλειαν ἑαυτῶν καὶ κρουόντων τὴν θύραν, αὐτὸς ἔλεγε μὴ δύνασθαι ἀνοίγειν. Δέδωκα γάρ, φησί, λόγον ἕνα ἐνιαυτὸν γνησίως μετανοῆσαι. Καὶ ἔλεγεν· Εὔξασθε περὶ ἐμοῦ. Ἠπόρει γὰρ τὸ τί ἀπολογήσασθαι διὰ τὸ μὴ σκανδαλισθῆναι τοὺς ἀκούοντας, ὅτι ἦν παρ' αὐτοῖς τίμιος σφόδρα καὶ μέγας μοναχός. Καὶ ἐποίησεν ὅλον τὸν ἐνιαυτὸν ἐκτενῶς νηστεύων καὶ γνησίως μετανοῶν. Περὶ δὲ τὴν ἡμέραν τοῦ Πάσχα, τῇ νυκτὶ τῆς ἁγίας Ἀναστάσεως λαβὼν λύχνον κενὸν καὶ σκευάσας ἔθηκεν ἐν καινῇ χύτρᾳ καὶ πωμάσας αὐτὴν ἀφ' ἑσπέρας εἰς εὐχὴν ἀνέστη λέγων· Ὁ οἰκτίρμων καὶ ἐλεήμων Θεός, ὁ καὶ τοὺς βαρβάρους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, πρὸς σὲ κατέ-

34. Α΄Τιμ. 2, 4.

διά του γιά τή θεραπεία τῆς πτώσης, θέλησε νά ρίξει τόν ἑαυτό του στά νερά τοῦ ποταμοῦ νά πνιγεῖ καί νά ὁλοκληρωθεῖ ἔτσι ἡ χαρά τοῦ ἐχθροῦ.

Καί ἀπό τή μεγάλη ὀδύνη τῆς ψυχῆς του θά ἐξασθενοῦσαν ἐντελῶς οἱ σωματικές του δυνάμεις, ἐάν στή συνέχεια δέν τόν βοηθοῦσε ὁ εὔσπλαχνος Θεός νά μή φτάσει στόν θάνατο, πού θά ἦταν τέλεια χαρά γιά τόν διάβολο. Τελικά ὅταν συνῆλθε, σκέφθηκε νά κοπιάσει μέ μεγαλύτερη κακοπάθεια ἀπ' ὅ,τι πρίν, καί νά ἱκετεύσει τόν Θεό κλαίοντας καί πενθώντας. Καί ξεκίνησε νά ἐπιστρέψει πίσω στό μοναστήρι του. Σάν ἔφτασε, ἔφραξε τοῦ κελιοῦ τήν πόρτα καί ὅπως κλαίει κανείς πάνω σέ νεκρό, ἔτσι ἄρχισε νά κλαίει ἱκετεύοντας τόν Θεό. Ἀπό τή νηστεία καί τήν ἀγρύπνια, πού συνοδεύονταν καί μέ πόνο ψυχῆς, ἀδυνάτησε πολύ στό σῶμα, ἀλλά καμιά πληροφορία δέν εἶχε ἀκόμη γιά τό ἀποτέλεσμα τῆς μετάνοιάς του.

Καί ὅταν πολλές φορές ἔφθαναν ἐκεῖ ἀδελφοί γιά νά ὠφεληθοῦν ἀπ' αὐτόν καί ἔκρουαν τήν θύρα, αὐτός ἔλεγε ὅτι δέν μπορεῖ νά τούς ἀνοίξει «γιατί ἔδωσα —τούς ἐξηγοῦσε— λόγο, ἕνα χρόνο νά μετανοήσω πραγματικά». Καί πρόσθετε: «Νά προσευχηθεῖτε γιά μένα». Βρισκόταν σέ ἀμηχανία, τί νά τούς λέει γιά νά μή σκανδαλιστοῦν αὐτοί πού τόν ἄκουαν, γιατί τόν ἐκτιμοῦσαν πολύ καί τόν θεωροῦσαν μεγάλο μοναχό.

Πέρασε λοιπόν ὁλόκληρο τόν χρόνο μέ μεγάλες νηστεῖες καί ἀληθινή μετάνοια. Καί ὅταν ἦρθε τό Πάσχα, τή νύκτα τῆς ἁγίας Ἀναστάσεως, πῆρε ἕνα ἀδειανό λυχνάρι καί ἀφοῦ τό τακτοποίησε, τό τοποθέτησε μέσα σέ ἕνα πήλινο ἀγγεῖο ἀχρησιμοποίητο, τό καπάκωσε καί ἀποβραδίς στάθηκε σέ προσευχή καί ἔλεγε: «Θεέ μου, οἰκτίρμων καί ἐλεήμων, Ἐσύ πού θέλεις καί οἱ βάρβαροι ἀκόμη νά σωθοῦν καί νά γνωρίσουν τήν ἀλήθεια[34], σέ σένα κατέφυγα

φυγον τὸν Σωτῆρα τῶν ψυχῶν. Ἐλέησόν με τὸν πολλά σε παραπικράναντα εἰς χαρὰν τοῦ ἐχθροῦ. Καὶ ἰδοὺ νεκρός εἰμι ὑπακούσας τῷ ἐχθρῷ. Σὺ οὖν, Δέσποτα, καὶ τοὺς ἀσεβεῖς καὶ τοὺς ἀνελεήμονας ἐλεεῖς καὶ τοὺς πλησίον ἐλεεῖν διδάσκεις· οἴκτιρόν μου τὴν ταπείνωσιν· παρὰ Σοὶ γὰρ ἀδύνατον οὐδέν, ὅτι παρὰ τὸν ᾍδην διεσκορπίσθη ἡ ψυχή μου. Ποίησον ἔλεος ὅτι χρηστὸς εἶ ἐπὶ τὸ ἴδιον πλάσμα ὁ μέλλων καὶ τὰ οὐκ ὄντα σώματα ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως ἐγείρειν. Εἰσάκουσόν μου, Κύριε, ὅτι ἐξέλιπε τὸ πνεῦμά μου καὶ ἡ ταλαίπωρός μου ψυχή. Ἐτάκη δὲ καὶ τὸ σῶμά μου ὅπερ ἐμίανα καὶ οὐκέτι ἰσχύω ζῆν τῷ σῷ πόθῳ συνειλημμένος, ἀνθ' ὧν τεθάρρηκα συγκεχωρῆσθαί μοι τῇ μετανοίᾳ τὸ πλημμέλημα. Διπλῆν ἔχω τὴν ἀνελπιστίαν· ζωοποίησόν με συντριβέντα καὶ τῷ σῷ πυρὶ πρόσταξον τὸν λύχνον τοῦτον ἀναφθῆναι, ὅπως λαβὼν κἀγὼ θάρσος ἐλέους ἐκ τῶν τῆς συγχωρήσεως οἰκτιρμῶν, τὸν ἐπίλοιπον, ὃν ἂν μοι χαρίσῃ βιώσεώς μου χρόνον, τὰς ἐντολάς σου τηρήσω καὶ τοῦ σοῦ φόβου μὴ ἀποστῶ, ἀλλὰ γνησίως δουλεύσω σοι καὶ πλεῖον ἢ πρότερον.

Καὶ ταῦτα εἰπὼν ἐν τῇ νυκτὶ τῆς Ἀναστάσεως μετὰ δακρύων πολλῶν ἀνέστη ἰδεῖν εἰ ἥφθη ὁ λύχνος. Καὶ ἀνακαλύψας καὶ ἰδὼν ὅτι οὐκ ἀνήφθη, πάλιν πεσὼν ἐπὶ πρόσωπον τὸν Κύριον παρεκάλει λέγων· Οἶδα, Κύριε, ὅτι ἀγὼν γέγονε τοῦ στεφανωθῆναί με καὶ οὐ προσέσχον τοῖς ποσί μου, ἑλόμενος μᾶλλον τῇ τῆς σαρκὸς ἡδονῇ τῇ τῶν ἀσεβῶν κολάσει ὑπαχθῆναι. Φεῖσαί μου οὖν, Κύριε, ἰδοὺ γὰρ πάλιν ἐξομολογοῦμαι τῇ σῇ χρηστότητι τὴν ἐμὴν

35. Πρβλ. Ψαλμ. 87, 4.
36. Πρβλ. Ψαλμ. 142, 7.

τόν Σωτήρα τῶν ψυχῶν. Ἐλέησε ἐμένα πού πολλές φορές σέ καταπίκρανα πρός χαράν τοῦ ἐχθροῦ. Καί νά, εἶμαι νεκρός, ἀφοῦ ὑπάκουσα στόν ἐχθρό. Ἐσύ ὅμως, Δέσποτα, ἐλεεῖς καί τούς ἀσεβεῖς καί τούς ἄσπλαχνους καί διδάσκεις νά ἐλεοῦμε τόν πλησίον· σπλαχνίσου με στό κατάντημά μου. Γιά σένα τίποτε τό ἀδύνατο δέν ὑπάρχει. Δές πού ἡ ψυχή μου κινδυνεύει νά διασκορπισθεῖ καί νά χαθεῖ στόν Ἅδη[35].

Ἐλέησέ με, γιατί εἶσαι ἀγαθός γιά τά πλάσματά σου, Ἐσύ πού θά ἀναστήσεις τήν ἡμέρα τῆς ἀνάστάσεως καί τά σώματα ἀκόμη πού δέν ὑπάρχουν πιά. Εἰσάκουσέ με, Κύριε, γιατί κοντεύει νά μέ ἐγκαταλείψει τό πνεῦμα μου[36] καί ἡ ταλαίπωρη ζωή μου. Ἔλιωσε καί τό σῶμα μου πού τό μόλυνα καί οὔτε μπορῶ πιά νά ζῶ συνεπαρμένος ἀπό τόν πόθο σου μέ τήν ἐνθάρρυνση ὅτι μοῦ ἔχει συγχωρεθεῖ ἡ ἁμαρτία γιά τήν ὁποία μετανόησα. Εἶμαι διπλά ἀπελπισμένος. Ζωοποίησέ με τόν κατατσακισμένο καί πρόσταξε ν' ἀνάψει τό λυχνάρι αὐτό μέ τή δική σου φωτιά, ὥστε νά ἐνθαρρυνθῶ κι ἐγώ γιά τό ἔλεός σου ὅτι ἡ εὐσπλαχνία σου μέ συγχώρησε καί ὅσο χρόνο ζωῆς θά μοῦ χαρίσεις ἀπ' ἐδῶ καί πέρα νά φυλάξω τίς ἐντολές σου καί ἀπό τόν φόβο σου νά μήν ἀπομακρυνθῶ ἀλλά ἀληθινά νά σέ ὑπηρετήσω καί περισσότερο ἀπό πρίν».

Μετά ἀπ' αὐτή τήν προσευχή του κατά τήν νύκτα τῆς Ἀναστάσεως, σηκώθηκε πλημμυρισμένος στά δάκρυα νά δεῖ ἄν ἄναψε τό λυχνάρι. Ἀλλά ὅταν τό ξεσκέπασε καί εἶδε ὅτι δέν ἄναψε, ξανάπεσε μέ τό πρόσωπο στή γῆ καί ἄρχισε νά παρακαλεῖ τόν Κύριο μέ τοῦτα τά λόγια: «Γνωρίζω, Κύριε, ὅτι μοῦ δόθηκε ἡ εὐκαιρία γιά νά ἀγωνισθῶ καί νά στεφανωθῶ καί δέν πρόσεξα τά βήματά μου· προτίμησα μᾶλλον χάριν τῆς σαρκικῆς ἡδονῆς νά πάω στήν κόλαση πού εἶναι γιά τούς ἀσεβεῖς. Λυπήσου με, Κύριε· νά, πάλι ἐξομολογοῦμαι στήν ἀγαθοσύνη σου τήν δική μου ἀσχη-

ἀσχημοσύνην ἐνώπιον τῶν σῶν ἀγγέλων καὶ δικαίων πάντων, καὶ εἰ μὴ ὅτι σκάνδαλον ἦν, καὶ τοῖς ἀνθρώποις ἂν ἐξομολογησάμην. Ὅθεν οἴκτειρόν με, ἵνα καὶ ἄλλους παιδεύσω. Ναί, Κύριε, ζωοποίησόν με.

Καὶ οὕτως ἐπὶ τρεῖς εὐξάμενος εἰσηκούσθη. Καὶ ἀναστὰς εὗρε τὸν λύχνον λαμπρῶς καιόμενον· καὶ ἀγαλλιασάμενος τῇ ἐλπίδι ἴσχυσε τῇ τῆς καρδίας χαρᾷ καὶ ἔχαιρεν ἡδέως θαυμάζων τὴν χάριν ὅτι αὐτὸν ἐπληροφόρησε ἐν τούτῳ ὁ Θεός. Καὶ ἔλεγεν ὅτι· Ἀνάξιον ὄντα με, Κύριε, καὶ τῆς τοῦ κόσμου ζωῆς ἠλέησας τῷ μεγάλῳ τούτῳ καὶ καινοτέρῳ σημείῳ. Φείδῃ γάρ, Φιλάνθρωπε, τῶν σῶν ψυχῶν. Οὕτω δὲ διαμείναντος αὐτοῦ τῇ ἐξομολογήσει καὶ τῇ πρὸς Κύριον εὐχαριστίᾳ διέφαυσεν ἡ ἁγία ἡμέρα· καὶ ἦν εὐφραινόμενος ἐν Κυρίῳ σωματικῆς τροφῆς ἐπιλαθόμενος. Τοῦ δὲ λύχνου τὸ πῦρ ὅλας τὰς ἡμέρας αὐτοῦ διεφύλαξεν ἔλαιον ἐπιχέων καὶ σκευάζων αὐτὸ ἄνωθεν ὅπως μὴ σβεσθῇ. Καὶ οὕτω πάλιν τὸ θεῖον Πνεῦμα ἐνῴκησεν ἐν αὐτῷ καὶ ἐγένετο πᾶσιν ἐπίσημος ταπεινοφρονῶν καὶ τῇ ἐξομολογήσει τῇ πρὸς Κύριον καὶ εὐχαριστίᾳ εὐφραντικός. Ὅτε δὲ ἔμελλε καὶ τὴν ψυχὴν παραδιδόναι, εἶδε πρὸ ἡμερῶν ἀποκάλυψιν.

48. Γέρων τις ἐκάθητο εἰς μακρὰν ἔρημον. Εἶχεν οὗτος δὲ συγγένισσαν καὶ διὰ πολλῶν ἐτῶν ἐπεθύμησεν αὐτὸν ἰδεῖν. Περιηργάσατο οὖν ποῦ κάθηται καὶ ἀνῆλθεν εἰς τὴν ὁδὸν τῆς ἐρήμου καὶ εὑροῦσα συνοδίαν καμηλαρίους εἰσῆλθεν εἰς τὴν ἔρημον μετ᾽ αὐτῶν. Ἦν δὲ ἑλκομένη ὑπὸ τοῦ διαβόλου. Καὶ ἐλθοῦσα εἰς τὴν θύραν τοῦ Γέροντος, ἤρξατο ἀπὸ σημείων συνιστάνειν ἑαυτὴν λέγουσα ὅτι· Συγγενής

μοσύνη ἐνώπιον τῶν ἀγγέλων σου καί ὅλων τῶν δικαίων. Καί ἄν δέν ὑπῆρχε φόβος ὁποιουδήποτε σκανδαλισμοῦ, καί στούς ἀνθρώπους θά τό φανέρωνα. Σπλαχνίσου με γιά νά καθοδηγήσω καί ἄλλους. Ναί, Κύριε, ζωοποίησέ με».

Καί ἀφοῦ προσευχήθηκε ἔτσι τρεῖς φορές, εἰσακούσθηκε. Καί μόλις σηκώθηκε, βρῆκε τό λυχνάρι νά καίει μέ δυνατό φῶς. Γεμάτος ἀγαλλίαση γιά τήν ἐλπίδα τῆς συγχωρήσεως, δυνάμωσε ἀπό τή χαρά πού ἔνιωσε ἡ καρδιά του καί εὐφραινόταν ἔκπληκτος γιά τή χάρη πού τοῦ ᾿κανε ὁ Θεός καί τόν πληροφόρησε καί σ᾽ αὐτό. Καί ἔλεγε: «Ἄν καί εἶμαι ἀνάξιος, Κύριε, καί αὐτῆς τῆς πρόσκαιρης ζωῆς, μέ ἐλέησες μ᾽ αὐτό τό μεγάλο καί παράδοξο θαῦμα. Εἶσαι φιλάνθρωπος καί πονᾶς τίς ψυχές πού σοῦ ἀνήκουν». Ἔτσι συνεχίζοντας τήν ἐξομολόγηση καί τήν εὐχαριστία, ξημέρωσε ἡ ἁγία ἡμέρα. Καί ζοῦσε μέσα στήν εὐφροσύνη τοῦ Κυρίου, λησμονώντας τή σωματική τροφή.

Καί τή φλόγα τοῦ λυχναριοῦ τήν διατήρησε ὅλες τίς μέρες τῆς ζωῆς του προσθέτοντας λάδι καί τακτοποιώντας το ἀπό πάνω γιά νά μή σβήσει. Ἔτσι λοιπόν ἦρθε πάλι καί κατοίκησε μέσα του τό ἅγιο Πνεῦμα καί ἔγινε ξακουστός σέ ὅλους μέ τήν ταπεινοφροσύνη του καί ὑμνώντας καί εὐχαριστώντας τόν Κύριο μετέδιδε τή χαρά του. Κι ὅταν ἐπρόκειτο νά παραδώσει τήν ψυχή του, τοῦ ἀποκάλυψε ὁ Θεός τόν θάνατό του πρίν ἀπό μέρες.

48. Κάποιος Γέροντας ἔμενε σέ ἀπομακρυσμένη ἔρημο. Εἶχε αὐτός μιά συγγενή, ἡ ὁποία μετά ἀπό πολλά χρόνια πού εἶχαν περάσει, ἐπεθύμησε νά τόν δεῖ. Ἐρεύνησε λοιπόν ποῦ μένει καί πῆρε τόν δρόμο γιά τήν ἔρημο. Βρῆκε μιά συνοδεία ἀπό καμηλιέρηδες καί μπῆκε μαζί τους στήν ἔρημο. Συρόταν βέβαια ἀπό τόν διάβολο. Ἔφθασε στήν πόρτα τοῦ Γέροντα καί ἄρχισε μέ γνώριμα στοιχεῖα νά συ-

σου εἰμὶ καὶ ἔμεινε πρὸς αὐτόν. Πολεμηθεὶς δὲ ὁ Γέρων ἔπεσεν εἰς αὐτήν.

Ἦν δέ τις ἄλλος ἀναχωρητὴς καθήμενος εἰς τὰ κάτω μέρη. Καὶ ἐν τῷ γεμίζειν τὸ βαυκάλιον αὐτοῦ ὕδατος ἐν τῇ ὥρᾳ τοῦ φαγεῖν ἐστρέφετο· καὶ κατ' οἰκονομίαν Θεοῦ εἶπεν ἐν ἑαυτῷ· Εἰσέρχομαι εἰς τὴν ἔρημον καὶ ἀναγγέλλω τῷ Γέροντι. Καὶ ἀναστὰς ἐπορεύθη. Ὀψίας δὲ γενομένης ἐκοιμήθη εἰς ἱερὸν εἰδώλων κατὰ τὴν ὁδόν. Καὶ ἤκουσεν ἐν τῇ νυκτὶ τῶν δαιμόνων λεγόντων ὅτι· Τῇ νυκτὶ ταύτῃ ἐρρίψαμεν τόνδε τὸν ἀναχωρητὴν εἰς πορνείαν. Καὶ ἀκούσας ἐλυπήθη. Καὶ ἐλθὼν ἐγγὺς τοῦ Γέροντος εὗρεν αὐτὸν στυγνὸν καὶ λέγει αὐτῷ· Τί ποιήσω, ἀββᾶ, ὅτι γεμίζω τὸ βαυκάλιόν μου ὕδατος εἰς τὴν ὥραν τοῦ φαγεῖν καὶ στρέφεται; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἦλθες ἐρωτῆσαί με ὅτι τὸ βαυκάλιον στρέφεται; Ἐγὼ δὲ τί ποιήσω ὅτι τὴν νύκτα ταύτην πέπτωκα εἰς πορνείαν; Ὁ δὲ εἶπεν· Κἀγὼ ἔμαθον. Καὶ λέγει αὐτῷ· Πῶς οἶδας; Καὶ εἶπεν αὐτῷ· Κοιμώμενος ἤμην ἐν τῷ ἱερῷ καὶ ἤκουσα τῶν δαιμόνων λαλούντων περὶ σοῦ. Καὶ εἶπεν ὁ Γέρων· Ἰδοὺ κἀγὼ ἐξέρχομαι εἰς τὸν κόσμον. Ὁ δὲ παρεκάλει αὐτὸν λέγων· Μή, πάτερ, ἀλλὰ παράμεινον ἐν τῷ τόπῳ σου, τὴν δὲ γυναῖκα ἀπόστειλον ἔνθεν· τοῦτο γὰρ συνάντημά ἐστι τοῦ ἐχθροῦ. Ὁ δὲ ἀκούσας αὐτοῦ ὑπέμεινεν ἐπιτείνων τὴν πολιτείαν αὐτοῦ μετὰ δακρύων, ἕως οὗ ἦλθεν εἰς τὴν ἀρχαίαν αὐτοῦ τάξιν.

49. Ἀδελφὸς ἠρώτησε Γέροντά τινα λέγων· Ἐὰν συμβῇ ἄνθρωπον εἰς πειρασμὸν ἐμπεσεῖν κατά τινα ἐνέργειαν τί γίνεται διὰ τοὺς σκανδαλισθέντας; Καὶ διηγήσατο λέ-

στήνει τόν ἑαυτό της λέγοντας: «Συγγενής σου εἶμαι» καί ἔμεινε κοντά του. Πολεμήθηκε ὅμως ὁ Γέροντας ἀπό τόν πειρασμό κι ἔκανε τήν ἁμαρτία μαζί της.

Ὑπῆρχε κι ἕνας ἄλλος ἀναχωρητής πού ἔμενε στά χαμηλότερα μέρη. Καί καθώς γέμιζε τή στάμνα του νερό τήν ὥρα τοῦ φαγητοῦ, ἀναποδογύριζε ἡ στάμνα. Καί ἀπό οἰκονομία Θεοῦ συλλογίσθηκε: «Θά πάω στήν ἔρημο νά τό ἀναφέρω στόν Γέροντα». Σηκώθηκε λοιπόν καί πῆρε τόν δρόμο. Ὅταν βράδιασε, κοιμήθηκε σ' ἕνα ἱερό τῶν εἰδώλων πού ἦταν πάνω στόν δρόμο. Τή νύκτα ἄκουσε τούς δαίμονες νά λένε: «Ἀπόψε ρίξαμε τόν τάδε ἀναχωρητή σέ πορνεία». Λυπήθηκε, σάν τ' ἄκουσε. Ὅταν ἔφτασε κοντά στόν Γέροντα, τόν βρῆκε σκυθρωπό καί τοῦ λέει: «Τί νά κάνω, ἀββᾶ, πού πάω νά γεμίσω νερό τή στάμνα τήν ὥρα τοῦ φαγητοῦ καί ἀναποδογυρίζει;» Καί τοῦ λέει ὁ Γέροντας: «Ἐσύ ἦρθες νά μέ ρωτήσεις γιατί ἀναποδογυρίζει ἡ στάμνα; Ἐγώ ὅμως τί θά κάνω πού τή νύκτα αὐτή ἔπεσα σέ πορνεία;» «Τό ἔμαθα κι ἐγώ» τοῦ ἀπαντάει. «Καί πῶς τό ξέρεις;» τόν ρωτάει ὁ Γέροντας. «Τήν ὥρα πού κοιμόμουν μέσα στό ἱερό —τοῦ ἐξηγεῖ— ἄκουσα τούς δαίμονες νά μιλοῦν γιά σένα». «Ἐ τότε —λέει ὁ Γέροντας— θά γυρίσω κι ἐγώ στόν κόσμο». Καί ἄρχισε ὁ ἀδελφός νά τόν παρακαλεῖ: «Μήν τό κάνεις αὐτό, πάτερ. Μεῖνε στόν τόπο σου καί διῶξε ἀπό 'δῶ τήν γυναίκα. Γιατί αὐτό ἦταν συναπάντημα μέ τόν ἐχθρό». Κι ἐκεῖνος πράγματι τόν ἄκουσε καί παρέμεινε ἐντείνοντας τήν ἄσκησή του μέ δάκρυα, μέχρις ὅτου ἐπανῆλθε στήν παλιά μοναχική του τάξη.

49. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Ἐάν συμβεῖ νά πέσει ἕνας ἄνθρωπος σέ πειρασμό ἀπό κάποια διαβολική ἐνέργεια, τί γίνεται μ' αὐτούς πού σκανδαλίσθηκαν;» Κι ὁ Γέροντας τοῦ διηγήθηκε τό ἑξῆς: «Ὑπῆρχε ἕνας

γων ὅτι· Διάκονός τις ἦν ὀνομαστὸς ἐν κοινοβίῳ τῆς Αἰγύπτου. Διωκόμενος δέ τις πολιτευόμενος ὑπὸ τοῦ ἄρχοντος ἦλθε μετὰ παντὸς τοῦ οἴκου αὐτοῦ εἰς τὸ κοινόβιον. Καὶ ἐξ ἐνεργείας τοῦ πονηροῦ ἔπεσε μετὰ γυναικὸς ὁ διάκονος καὶ γέγονε πᾶσιν αἰσχύνη. Καὶ ἀπῆλθε πρός τινα ἀγαπητὸν αὐτοῦ Γέροντα καὶ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα. Εἶχε δὲ ὁ Γέρων κρυπτηρίαν ἐσωτέραν τῆς κέλλης αὐτοῦ καὶ παρεκάλεσεν αὐτὸν ὁ διάκονος λέγων· Θάψον με ὧδε ζῶντα καὶ μὴ ἀναγγείλῃς τινί. Καὶ εἰσελθὼν εἰς τὴν σκοτίαν ἐκείνην μετενόησεν ἐξ ἀληθείας. Καὶ μετὰ χρόνον τινὰ οὐκ ἀνέβη τὸ ὕδωρ τοῦ ποταμοῦ. Καὶ πάντων λιτανευόντων ἀπεκαλύφθη ἑνὶ τῶν ἁγίων ὅτι, ἐὰν μὴ ἐξέλθῃ καὶ εὔξηται ὁ διάκονος ὁ κεκρυμμένος παρὰ τῷ δεῖνι τῷ Γέροντι, οὐκ ἀνέρχεται τὸ ὕδωρ. Καὶ ἀκούσαντες ἐθαύμασαν καὶ ἐλθόντες ἐξήνεγκαν αὐτὸν ἐκ τοῦ τόπου οὗ ἦν καὶ ηὔξατο καὶ ἀνέβη τὸ ὕδωρ. Καὶ οἱ σκανδαλισθέντες ποτὲ πολλῷ μᾶλλον ὠφελήθησαν ἐπὶ τῇ μετανοίᾳ αὐτοῦ καὶ ἐδόξασαν τὸν Θεόν.

50. Ἀδελφοὶ δύο ἀπῆλθον εἰς τὴν ἀγορὰν πωλῆσαι τὰ σκεύη αὐτῶν. Καὶ ὡς ἀπῆλθεν ὁ εἷς ἀπὸ τοῦ ἑνός, ἔπεσεν εἰς πορνείαν. Ἐλθὼν δὲ ὁ ἀδελφὸς αὐτοῦ εἶπεν αὐτῷ· Ἄγωμεν εἰς τὸ κελλίον ἡμῶν, ἀδελφέ. Ὁ δὲ ἀπεκρίθη αὐτῷ λέγων· Οὐκ ἔρχομαι. Καὶ παρεκάλει αὐτὸν λέγων· Διατί, ἀδελφέ μου; Ὁ δὲ εἶπεν ὅτι· Ἀπελθόντος σου ἀπ' ἐμοῦ ἔπεσον εἰς πορνείαν. Καὶ θέλων κερδῆσαι αὐτὸν ὁ ἀδελφὸς

37. Πιθανότα θά ἐννοεῖ τόν Νεῖλο ποταμό μέ τά νερά τοῦ ὁποίου ἀρδευ-

διάκονος ξακουστός σέ κοινόβιο τῆς Αἰγύπτου. Καί κάποιο πολιτικό πρόσωπο πού διωκόταν ἀπό τόν ἄρχοντα, κατέφυγε μαζί μ' ὅλη του τήν οἰκογένεια στό κοινόβιο. Συνέβη λοιπόν ἀπό ἐνέργεια διαβολική νά ἁμαρτήσει ὁ διάκονος μέ κάποια ἀπό τίς γυναῖκες καί καταντροπιάστηκε. Ἔφυγε καί πῆγε σέ κάποιον ἀγαπητό του Γέροντα καί τοῦ ἀνέφερε τό γεγονός. Ὁ Γέροντας αὐτός εἶχε μιά κρύπτη στό βάθος τοῦ κελιοῦ του καί τοῦ εἶπε ὁ διάκονος παρακαλώντας τον: «Θάψε με ἐδῶ ζωντανό καί μήν τό ἀναφέρεις σέ κανέναν». Μπῆκε λοιπόν στό σκοτάδι ἐκεῖνο καί μετανόησε εἰλικρινά.

Μετά ἀπό κάποιο χρονικό διάστημα συνέβη νά μήν ἀνεβεῖ ἡ στάθμη τοῦ νεροῦ στό ποτάμι[37]. Καθώς ἔκαναν γενική λιτανεία, ἀποκαλύφθηκε σέ κάποιον ἀπό τούς Πατέρες ὅτι, ἐάν δέν βγεῖ καί δέν προσευχηθεῖ ὁ διάκονος πού εἶναι κρυμμένος κοντά στόν τάδε Γέροντα, δέν θά ἀνεβεῖ τό νερό. Τό ἄκουσαν μέ ἔκπληξη, καί πῆγαν καί τόν ἔβγαλαν ἀπό τόν τόπο ὅπου βρισκόταν. Πράγματι, προσευχήθηκε καί τότε ἀνέβηκε τό νερό. Καί ὅσοι κάποτε εἶχαν σκανδαλισθεῖ, ὠφελήθηκαν πολύ περισσότερο ἀπό τή μετάνοιά του καί δόξασαν τόν Θεό.

50. Δύο ἀδελφοί πῆγαν στήν ἀγορά νά πουλήσουν τά ἐργόχειρά τους. Καί ὅταν ἀπομακρύνθηκε ὁ ἕνας ἀπό τούς δύο, ἔπεσε σέ πορνεία. Ἐπιστρέφοντας ὁ ἀδελφός του τοῦ λέει: «Πᾶμε στό κελί μας, ἀδελφέ». «Δέν ἔρχομαι» τοῦ ἀποκρίθηκε ὁ ἄλλος. Ἄρχισε ἐκεῖνος νά τόν παρακαλεῖ: «Γιατί, ἀδελφέ μου;» «Ὅταν ἔφυγες ἀπό κοντά μου —τοῦ εἶπε— ἔπεσα σέ πορνεία». Καί ὁ ἀδελφός του θέλοντας νά τόν

όταν ὅλη ἡ γύρω περιοχή. Ἡ λειψυδρία τοῦ ποταμοῦ δημιουργοῦσε σοβαρότατο πρόβλημα.

αὐτοῦ ἤρξατο λέγειν αὐτῷ· Κἀγὼ ὡς ἀπῆλθον ἀπὸ σοῦ, οὕτω μοι γέγονεν· ἀλλ' ἄγωμεν, μετανοήσωμεν ἐμπόνως καὶ ὁ Θεὸς συγχωρεῖ ἡμῖν. Καὶ ἐλθόντες ἀνήγγειλαν τοῖς Γέρουσι τὸ συμβὰν αὐτοῖς. Καὶ ἔδωκαν αὐτοῖς ἐντολὰς τοῦ μετανοῆσαι. Καὶ ὁ εἷς ὑπὲρ τοῦ ἄλλου μετενόει ὡς καὶ αὐτὸς ἁμαρτήσας. Ἰδὼν δὲ ὁ Θεὸς τὸν κόπον τῆς ἀγάπης αὐτοῦ εἴσω ὀλίγων ἡμερῶν ἐφανέρωσεν ἑνὶ τῶν Γερόντων ὅτι διὰ τὴν πολλὴν ἀγάπην τοῦ μὴ ἁμαρτήσαντος ἀδελφοῦ συνεχωρήθη τῷ ἁμαρτήσαντι. Ἰδοὺ τοῦτό ἐστι τὸ τιθέναι τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ ἀδελφοῦ αὐτοῦ.

51. Ἦλθέ ποτε ἀδελφὸς πρός τινα Γέροντα καὶ λέγει αὐτῷ· Ὁ ἀδελφός μου παραλύει με ὧδε κἀκεῖσε ἀπερχόμενος καὶ θλίβομαι. Καὶ παρεκάλει αὐτὸν ὁ Γέρων λέγων· Βάστασον αὐτόν, ἀδελφέ, καὶ ὁ Θεὸς βλέπων τὸν κόπον τῆς ὑπομονῆς σου φέρει αὐτόν. Οὐ γὰρ μετὰ σκληρότητος εὐχερὲς φέρειν τινά, οὐδὲ δαίμων δαίμονα ἐκβάλλει· ἀλλὰ μᾶλλον τῇ χρηστότητι φέρεις αὐτόν· καὶ γὰρ ὁ Θεὸς ἡμῶν τῇ παρακλήσει φέρει τοὺς ἀνθρώπους. Καὶ διηγήσατο αὐτῷ λέγων ὅτι· Ἦσαν ἐν Θηβαΐδι δύο ἀδελφοὶ καὶ ὁ εἷς πολεμηθεὶς εἰς πορνείαν ἔλεγε τῷ ἄλλῳ· Ὑπάγω εἰς τὸν κόσμον. Ὁ δὲ ἄλλος ἔκλαιε λέγων· Οὐκ ἀφῶ σε, ἀδελφέ μου, ὑπάγειν καὶ ἀπολέσαι τὸν κόπον σου καὶ τὴν παρθενίαν σου. Ὁ δὲ οὐκ ἐπείθετο λέγων· Οὐ κάθημαι, εἰ μὴ ἀπέλθω· ἢ ἐλθὲ μετ' ἐμοῦ καὶ πάλιν ὑποστρέφω μετὰ σοῦ ἢ ἀπόλυσόν με καὶ μένω εἰς τὸν κόσμον. Ἀπελθὼν δὲ ὁ ἀδελφὸς

38. Πρβλ. Ἰω. 15, 13. 39. Ματθ. 12, 26· Μαρκ. 3, 23.

κερδίσει, ἄρχισε νά τοῦ λέει: «Καί μέ μένα, ὅταν χωρίσαμε, τό ἴδιο συνέβη. Ἀλλά ἔλα ἄς μετανοήσουμε καταβάλλοντας περισσότερο κόπο καί ὁ Θεός θά μᾶς συγχωρήσει». Πῆγαν κατόπιν καί ἀνέφεραν στούς Γέροντες τό γεγονός καί αὐτοί τούς ἔδωσαν ἐντολές γιά τή μετάνοιά τους. Καί μετανοοῦσε ὁ ἀναίτιος ἀδελφός χάριν τοῦ ἄλλου σάν νά ἁμάρτησε ὁ ἴδιος. Βλέποντας ὁ Θεός τόν κόπο τῆς ἀγάπης τοῦ ἀδελφοῦ, μέσα σέ λίγες μέρες φανέρωσε σέ κάποιον ἀπό τούς Γέροντες ὅτι ἕνεκα τῆς πολλῆς ἀγάπης τοῦ ἀδελφοῦ πού δέν ἁμάρτησε, συγχωρέθηκε αὐτός πού διέπραξε τήν ἁμαρτία.

Νά, αὐτό εἶναι τό νά θυσιάζεις τή ζωή σου χάριν τοῦ ἀδελφοῦ σου[38].

51. Πῆγε κάποτε ἕνας ἀδελφός σέ κάποιον Γέροντα καί τοῦ λέει: «Ὁ ἀδελφός μου μέ βγάζει ἀπό τή σειρά μου πηγαίνοντας ἐδῶ κι ἐκεῖ καί στενοχωριέμαι». Κι ὁ Γέροντας τόν παρηγόρησε συμβουλεύοντάς τον: «Νά τόν ὑπομείνεις, ἀδελφέ, καί ὁ Θεός βλέποντας τόν κόπο τῆς ὑπομονῆς σου, θά τόν ἐπαναφέρει. Γιατί μέ τρόπο σκληρό δέν εἶναι εὔκολο νά μεταστρέψεις κάποιον. Οὔτε ἕνας δαίμονας διώχνει ἄλλον δαίμονα[39]. Ἀλλά μᾶλλον μέ τήν καλοσύνη σου θά τόν ἐπαναφέρεις. Γιατί καί ὁ Θεός μας ἑλκύει τούς ἀνθρώπους προσφέροντάς τους τήν παρηγορία».

Καί τοῦ διηγήθηκε τό ἑξῆς: Ἦταν δύο ἀδελφοί στή Θηβαΐδα καί ὁ ἕνας πολεμήθηκε ἀπό τόν πειρασμό τῆς πορνείας καί εἶπε στόν ἄλλο: «Θά γυρίσω στόν κόσμο». Ὁ ἄλλος ὅμως μέ κλάματα τοῦ ἔλεγε: «Δέν σ' ἀφήνω, ἀδελφέ μου, νά φύγεις καί νά χάσεις τόν κόπο σου καί τήν παρθενία σου». Ἀλλ' αὐτός δέν πειθόταν καί ἔλεγε: «Δέν μπορῶ νά μείνω ἄλλο, θά φύγω. Ἤ ἔλα μαζί μου καί ἐπιστρέφω πάλι μαζί σου ἤ ἄφησέ με καί θά μείνω στόν κόσμο».

ἀνήγγειλέ τινι Γέροντι μεγάλῳ ταῦτα. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Ὕπαγε μετ' αὐτοῦ καὶ ὁ Θεὸς διὰ τὸν κόπον σου οὐκ ἀφίει αὐτὸν πεσεῖν. Καὶ ἀναστάντες ἦλθον εἰς τὴν οἰκουμένην. Καὶ ὡς ἔφθασαν εἰς τὴν κώμην, ἰδὼν ὁ Θεὸς τὸν κόπον τῆς ἀγάπης αὐτοῦ ἦρε τὸν πόλεμον ἐκ τοῦ ἀδελφοῦ αὐτοῦ. Καὶ λέγει αὐτῷ· Ἄγωμεν πάλιν εἰς τὴν ἔρημον, ἀδελφέ· ἰδοὺ νόμισον ὅτι ἡμάρτηκα, τί ἐκέρδησα ἐκ τούτου; Καὶ ὑπέστρεψαν ἀβλαβεῖς εἰς τὸ κελλίον αὐτῶν.

52. Ἀδελφὸς ὑπὸ δαίμονος πολεμηθεὶς ἀπῆλθε πρός τινα Γέροντα λέγων αὐτῷ ὅτι· Οἱ δύο ἀδελφοὶ ἐκεῖνοι μετ' ἀλλήλων εἰσίν. Ἔμαθε δὲ ὁ Γέρων ὅτι ὑπὸ δαιμόνων χλευάζεται καὶ πέμψας ἐφώνησεν αὐτούς. Καὶ ὅτε ὀψὲ ἐγένετο, ἔθηκε ψίαθον τοῖς δύο ἀδελφοῖς καὶ ἐσκέπασεν αὐτοὺς εἰς ἓν στρῶμα λέγων ὅτι· Τά τέκνα τοῦ Θεοῦ ἅγιά εἰσιν. Εἶπε δὲ τῷ μαθητῇ αὐτοῦ· Τὸν ἀδελφὸν τοῦτον ἀπόκλεισον εἰς τὸ κελλίον παρὰ μέρος, αὐτὸς γὰρ τὸ πάθος ἔχει ἐν ἑαυτῷ.

53. Ἀδελφὸς εἶπέ τινι Γέροντι· Τί ποιήσω, πάτερ, ὅτι ἀποκτείνει με ὁ ῥυπαρὸς λογισμός; Λέγει αὐτῷ ὁ Γέρων ὅτι· Ὅταν θέλει ἡ μήτηρ ἀπογαλακτίσαι τὸ παιδίον αὐτῆς σκίλλαν βάλλει εἰς τὸν μασθὸν αὐτῆς καὶ ἔρχεται τὸ παιδίον τῷ ἔθει θηλάσαι καὶ ἀπὸ τῆς πικρίας αὐτοῦ φεύγει· βάλε οὖν καὶ σὺ σκίλλαν. Λέγει αὐτῷ ὁ ἀδελφός· Τί ἐστιν ἡ σκίλλα ἣν ὀφείλω βαλεῖν; Καὶ εἶπεν ὁ Γέρων· Τὴν μνήμην τοῦ θανάτου καὶ τῶν κολαστηρίων τοῦ μέλλοντος αἰῶνος.

54. Ὁ αὐτὸς ἠρώτησεν ἄλλον Γέροντα περὶ τοῦ αὐτοῦ

Πῆγε λοιπόν ὁ (ἄλλος) ἀδελφός καί τό ἀνέφερε σέ κάποιον μεγάλο Γέροντα. Καί ὁ Γέροντας τοῦ εἶπε: «Πήγαινε μαζί του· καί ὁ Θεός γιά τόν κόπο σου δέν θά τόν ἀφήσει νά πέσει». Σηκώθηκαν λοιπόν καί κατέβηκαν στόν κόσμο. Μόλις ὅμως ἔφτασαν στό χωριό, ὁ Θεός βλέποντας τόν κόπο τῆς ἀγάπης του, πῆρε τόν πόλεμο ἀπό τόν ἀδελφό. Καί τοῦ λέει ὁ ἀδελφός: «Ἂς γυρίσουμε πίσω στήν ἔρημο, ἀδελφέ. Νά, πές ὅτι ἁμάρτησα, καί τί κέρδισα;» Καί γύρισαν στό κελί τους χωρίς νά πάθουν ζημιά.

52. Ἕνας ἀδελφός δέχθηκε πειρασμό ἀπό τόν δαίμονα καί πῆγε σέ κάποιον Γέροντα καί τοῦ λέει: «Ἐκεῖνοι οἱ δύο ἀδελφοί ἔχουν σχέσεις μεταξύ τους». Ὁ Γέροντας διέκρινε ὅτι ἐμπαίζεται ἀπό τούς δαίμονες καί κάλεσε τούς δύο ἀδελφούς ἐκεῖ. Ὅταν βράδιασε, ἔστρωσε ἕνα ψαθί γιά τούς δύο ἀδελφούς καί τούς σκέπασε στό ἴδιο στρωσίδι λέγοντας: «Τά τέκνα τοῦ Θεοῦ εἶναι ἅγια». Εἶπε κατόπιν στόν μαθητή του· «Τόν ἀδελφό αὐτόν περιόρισέ τον σ' ἕνα παράμερο κελί, γιατί αὐτός ἔχει τό πάθος μέσα του».

53. Ἕνας ἀδελφός εἶπε σέ κάποιον Γέροντα: «Τί νά κάνω, πάτερ, ὁ ρυπαρός λογισμός μέ σκοτώνει». Κι ὁ Γέροντας τοῦ λέει: «Ἡ μητέρα ὅταν θέλει νά ξεκόψει τό παιδάκι της ἀπό τόν θηλασμό, βάζει στόν μαστό της σκίλλα[40]. Ἔρχεται τό παιδάκι κατά τήν συνήθειά του νά θηλάσει καί ἀπό τήν πίκρα πού ἔχει ὁ μαστός ἀπομακρύνεται. Καί σύ λοιπόν βάλε σκίλλα». Τόν ρωτάει ὁ ἀδελφός: «Καί ποιά εἶναι ἡ σκίλλα πού πρέπει νά βάλω;» «Τή μνήμη τοῦ θανάτου καί τῶν βασάνων στόν ἄλλον κόσμο» ἀπαντᾶ ὁ Γέροντας.

54. Ὁ ἴδιος ρώτησε ἕναν ἄλλο Γέροντα σχετικά μέ τόν

40. Σκίλλα: Πρόκειται γιά φυτό τοῦ ὁποίου ὁ βολβός ἔχει γεύση πικρή.

λογισμοῦ καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐγὼ οὐδέποτε ἐπολεμήθην εἰς πρᾶγμα τοιοῦτον. Καὶ ἐσκανδαλίσθη ὁ ἀδελφὸς καὶ ἀπῆλθε πρὸς ἄλλον Γέροντα λέγων· Ἰδοὺ τοῦτό μοι εἶπεν ὁ δεῖνα ὁ Γέρων καὶ ἐσκανδαλίσθην ὅτι ὑπὲρ τὴν φύσιν ἐλάλησε. Λέγει αὐτῷ ὁ Γέρων· Οὐχ ἁπλῶς εἶπέ σοι τοῦτο ὁ ἄνθρωπος τοῦ Θεοῦ, ἀλλ' ἄπελθε μετανόησον αὐτῷ, ἵνα εἴπῃ σοι τὴν δύναμιν τοῦ λόγου. Ἀναστὰς οὖν ὁ ἀδελφὸς ἦλθε πρὸς τὸν Γέροντα καὶ ἔβαλεν αὐτῷ μετάνοιαν λέγων· Συγχώρησόν μοι, ἀββᾶ, ὅτι ἀφρόνως ἐποίησα ἀσυντάκτως ἐξελθών. Παρακαλῶ σε, ἑρμήνευσόν μοι πῶς οὐδέποτε ἐπολεμήθης εἰς πορνείαν. Λέγει αὐτῷ ὁ Γέρων· Ἀφ' οὗ γέγονα μοναχὸς οὐκ ἐχορτάσθην ἄρτου, οὐδὲ ὕδατος, οὐδὲ ὕπνου· καὶ ἡ μέριμνα τούτων ὀχλοῦσά με πάνυ οὐκ ἀφῆκέ με αἰσθανθῆναι τοῦ πολέμου οὗ εἴρηκας. Καὶ ἐξῆλθεν ὠφεληθεὶς ὁ ἀδελφός.

55. Ἀδελφὸς ἠρώτησέ τινα τῶν Πατέρων λέγων· Τί ποιήσω ὅτι πάντοτε ὁ λογισμός μου εἰς τὴν πορνείαν ἐστὶ καὶ οὐκ ἀφίει με ἀναπαῆναι μίαν ὥραν καὶ θλίβεταί μου ἡ ψυχή; Ὁ δὲ εἶπεν αὐτῷ· Ὅταν οἱ δαίμονες σπείρωσι τοὺς λογισμούς, μὴ συνάλλασσε αὐτοῖς. Αὐτῶν γάρ ἐστὶ τὸ ὑποβάλλειν πάντοτε· οὐ γὰρ ἀμελοῦσιν, οὐ μέντοι γε βιάζονται. Ἐν σοὶ δέ ἐστι δέξασθαι ἢ μὴ δέξασθαι. Εἶδες τί ἐποίησαν οἱ Μαδιναῖοι; Ἐκαλλώπισαν τὰς θυγατέρας αὐτῶν καὶ ἔστησαν· τινὰ δὲ ἐξ αὐτῶν οὐκ ἐβιάσαντο· ἀλλ' οἱ θέλοντες ἔπεσον μετ' αὐτῶν, ἄλλοι δὲ ἀγανακτήσαντες μετὰ ἀπειλῆς φόνῳ ἐχρήσαντο. Οὕτως ἐστὶ καὶ ἐπὶ τῶν λογι-

41. Ἀρ. 25, 1-3.

ἴδιο λογισμό καί τοῦ λέει ὁ Γέροντας: «Ἐγώ ποτέ δέν εἶχα τέτοιου εἴδους πειρασμό». Σκανδαλίσθηκε ἀπό τήν ἀπάντηση ὁ ἀδελφός καί πῆγε σ' ἄλλον Γέροντα καί τοῦ λέει: «Τό καί τό μοῦ εἶπε ὁ τάδε Γέροντας καί σκανδαλίσθηκα, γιατί ξεπερνᾶ τήν ἀνθρώπινη φύση αὐτό πού εἶπε». Καί ὁ Γέροντας τοῦ ἀποκρίνεται: «Δέν ἐννοοῦσε αὐτό ὁ ἄνθρωπος τοῦ Θεοῦ. Πήγαινε πίσω, βάλε του μετάνοια γιά νά σοῦ πεῖ τό νόημα πού κρύβει ὁ λόγος του». Σηκώθηκε πράγματι ὁ ἀδελφός, πῆγε στόν Γέροντα καί τοῦ 'βαλε μετάνοια λέγοντας: «Συγχώρα με, ἀββᾶ, γιατί φέρθηκα ἄμυαλα πού ἔφυγα χωρίς νά τακτοποιήσω τόν λογισμό μου. Σέ παρακαλῶ, ἐξήγησέ μου πῶς δέν πολεμήθηκες ποτέ ἀπό σαρκικό πειρασμό;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἀπ' τή μέρα πού ἔγινα μοναχός δέν χόρτασα ψωμί οὔτε νερό οὔτε ὕπνο. Καί ἡ ἔγνοια αὐτή μέ ἐνοχλοῦσε τόσο πού δέν μέ ἄφησε νά αἰσθανθῶ τόν πόλεμο γιά τόν ὁποῖο ἐσύ μίλησες». Ἔτσι ἔφυγε ὁ ἀδελφός ὠφελημένος.

55. Ἕνας ἀδελφός ρώτησε κάποιον ἀπό τούς Πατέρες: «Τί νά κάνω πού ὁ λογισμός μου βρίσκεται πάντοτε γύρω ἀπ' τό σαρκικό ἁμάρτημα καί δέν μ' ἀφήνει οὔτε μιά ὥρα νά ἀναπαυθῶ καί πιέζεται ἡ ψυχή μου;» Κι ἐκεῖνος τοῦ εἶπε: «Ὅταν οἱ δαίμονες σπέρνουν τούς λογισμούς, μήν ἀνοίγεις συζήτηση μαζί τους. Ἡ δουλειά τους εἶναι νά ὑποβάλλουν αὐτοί πάντοτε λογισμούς· δέν τό παραλείπουν αὐτό, ἀλλά καί δέν ἐξαναγκάζουν. Στό χέρι σου εἶναι νά τούς δεχθεῖς ἤ νά μή τούς δεχθεῖς. Εἶδες τί ἔκαναν οἱ Μαδιανίτες; Στόλισαν τίς θυγατέρες τους καί τίς παρουσίασαν στούς Ἰσραηλίτες· κανέναν ὅμως ἀπ' αὐτούς δέν ἐξανάγκασαν. Ἐκεῖνοι πού ἤθελαν ἦρθαν σέ σχέση μέ αὐτές, ἐνῶ ἄλλοι ἀγανάκτησαν, τούς ἀπείλησαν καί ἔφθασαν καί στόν φόνο[41]. Ἔτσι συμβαίνει καί μέ τούς λογισμούς».

σμῶν. Ἀποκριθεὶς δὲ ὁ ἀδελφὸς εἶπε τῷ Γέροντι· Τί οὖν ποιήσω ὅτι ἀσθενής εἰμι καὶ τὸ πάθος νικᾷ με; Ὁ δὲ εἶπεν αὐτῷ· Κατανόησον αὐτοὺς καὶ ὅταν ἀρχὴν βάλωσι λαλεῖν, μὴ ἀποκριθῇς αὐτοῖς, ἀλλὰ ἀναστὰς εὖξαι καὶ βάλε μετάνοιαν λέγων· Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με. Εἶπεν οὖν αὐτῷ ὁ ἀδελφός· Ἰδοὺ μελετῶ, ἀββᾶ, καὶ οὐκ ἔστι κατάνυξις ἐν τῇ καρδίᾳ μου, ὅτι οὐκ οἶδα τὴν δύναμιν τοῦ λόγου. Ὁ δὲ εἶπεν αὐτῷ· Σὺ μόνον μελέτησον· ἤκουσα γὰρ ὅτι εἶπεν ὁ ἀββᾶς Ποιμὴν καὶ πολλοὶ τῶν πατέρων τὸν λόγον τοῦτον ὅτι· Ὁ ἐπαοιδὸς οὐκ οἶδε τῶν ῥημάτων ὧν λέγει τὴν δύναμιν, ἀλλὰ τὸ θηρίον ἀκούει καὶ οἶδε τὴν δύναμιν τοῦ λόγου καὶ ὑποτάσσεται. Οὕτω καὶ ἡμεῖς. Κἂν οὐκ οἴδαμεν τῶν ῥημάτων τὴν δύναμιν ὧν λαλοῦμεν, ἀλλ' οἱ δαίμονες ἀκούοντες φόβῳ ἀναχωροῦσιν.

56. Ἔλεγον οἱ Γέροντες ὅτι ὁ λογισμὸς τῆς πορνείας βιβλίον ἐστίν· ἐὰν οὖν σπαρῇ εἰς ἡμᾶς καὶ μὴ πειθόμενοι αὐτῷ ἀπορρίψωμεν αὐτὸ ἀφ' ἡμῶν, μετὰ ἀναπαύσεως κόπτεται· ἐὰν δὲ σπαρέντος αὐτοῦ ἐγγλυκανθῶμεν αὐτῷ ὡς πειθόμενοι, ἀντιστραφεὶς γίνεται σίδηρος καὶ δυσκόλως κόπτεται. Χρεία δέ ἐστιν διακρίσεως ἐν τῷ λογισμῷ τούτῳ, ὡς τοῖς μὲν πειθομένοις αὐτῷ οὐκ ἔστιν ἐλπὶς σωτηρίας, τοῖς δὲ μὴ πειθομένοις αὐτῷ ὁ στέφανος ἀπόκειται.

57. Ἀδελφοὶ δύο πολεμηθέντες ὑπὸ πορνείας ἀπῆλθον

42. Εἶναι ἕνα ἀπό τά πρώιμα δείγματα χρήσεως τῆς μονολόγιστης εὐχῆς.
43. Πρβλ. Ψαλμ. 57, 5-6.
44. Ἡ ὀρθότερη γραφή θά ἦταν βύβλος, ὄνομα τοῦ αἰγυπτιακοῦ παπύρου. Ἀπό τόν ἐσωτερικό φλοιό τοῦ παπύρου πού λεγόταν βίβλος (μέ ι) κα-

Καί ὁ ἀδελφός τοῦ εἶπε: «Τί νά κάνω ὅμως πού εἶμαι ἀδύναμος καί μέ νικάει τό πάθος;» Κι ἐκεῖνος τοῦ εἶπε: «Νά τούς παρακολουθεῖς καί μόλις ἀρχίζουν νά σοῦ λένε κάτι, μήν τούς ἀπαντᾶς, ἀλλά σήκω, προσευχήσου, βάλε μετάνοια καί λέγε: Υἱέ τοῦ Θεοῦ, ἐλέησέ με[42]». Ἀλλά ὁ ἀδελφός ἐπανέλαβε: «Νά, ἀββᾶ μου, μελετῶ, καί δέν ἔχω κατάνυξη στήν καρδιά μου, γιατί δέν καταλαβαίνω τό νόημα πού κρύβουν τά λόγια». Κι ὁ Γέροντας τοῦ εἶπε: «Ἐσύ μήν παραλείπεις νά διαβάζεις. Ἄκουσα ὅτι εἶπε ὁ ἀββᾶς Ποιμήν καί πολλοί ἀπό τούς Πατέρες τό ἑξῆς: Ὁ γητευτής δέν ξέρει τό νόημα τῶν λόγων πού λέει, ἀλλά τό φίδι ἀκούει καί καταλαβαίνει τί σημαίνουν καί ὑποτάσσεται[43]. Ἔτσι καί ἐμεῖς. Κι ἄν ἀκόμη δέν γνωρίζουμε τό νόημα αὐτῶν πού λέμε μέ τή γλώσσα, οἱ δαίμονες ὅμως ἀκοῦν καί ἀπό τό φόβο τους φεύγουν».

56. Ἔλεγαν οἱ Γέροντες ὅτι ὁ λογισμός τῆς πορνείας μοιάζει μέ τό φυτό πάπυρο[44]. Ἄν δηλαδή πέσει ὁ λογισμός σάν σπόρος μέσα μας καί δέν τόν πιστέψουμε ἀλλά τόν ἀπορρίψουμε, τόν κόβουμε χωρίς κόπο. Ἄν ὅμως αἰσθανθοῦμε εὐχαρίστηση ἀπό τήν παρουσία του καί σάν νά συμφωνοῦμε μαζί του, μεταβάλλεται καί γίνεται σίδερο καί δύσκολα κόβεται. Χρειάζεται νά γνωρίζουμε γιά τόν λογισμό αὐτό, ὅτι γιά ἐκείνους πού ὑπακοῦνε σ' αὐτόν δέν ὑπάρχει ἐλπίδα σωτηρίας, ἐνῶ γιά ὅσους δέν τόν ἀποδέχονται τούς περιμένει στεφάνι.

57. Δύο ἀδελφοί πού πολεμήθηκαν ἀπό τόν πειρασμό

τασκεύαζαν χαρτί γιά γραφική ὕλη. Βιβλίον εἶναι τό ὑποκοριστικόν τῆς λ. βίβλος καί σημαίνει βιβλίο μικρό ἀπό πάπυρο. Στό ἀπόφθ. 56 ἀπό τή συνάφεια τῶν λεγομένων γίνεται σαφές ὅτι ἐννοεῖ τό φυτό πάπυρος (= βύβλος).

καὶ ἔλαβον γυναῖκας. Ὕστερον δὲ εἶπον πρὸς ἀλλήλους· Τί ἐκερδήσαμεν ἀφέντες τὴν ἀγγελικὴν τάξιν καὶ ἐλθόντες εἰς τὴν ἀκαθαρσίαν ταύτην; Καὶ μετὰ ταῦτα εἰς πῦρ καὶ εἰς κόλασιν μέλλομεν ὑπάγειν. Ἐξέλθωμεν πάλιν εἰς τὴν ἔρημον. Καὶ ἐξελθόντες παρεκάλεσαν τοὺς Πατέρας δοῦναι αὐτοῖς μετάνοιαν ἐξομολογησάμενοι ἅπερ ἔπραξαν. Καὶ ἀπέκλεισαν αὐτοὺς οἱ Γέροντες ἐπὶ ἐνιαυτόν, καὶ τοῖς δύο ἐπὶ ἴσης ἐδίδοτο ἄρτος καὶ ὕδωρ. Ἦσαν δὲ καὶ τῇ ἰδέᾳ ὅμοιοι.

Καὶ ὅτε ἐπληρώθη ὁ καιρὸς τῆς μετανοίας, ἐξῆλθον καὶ εἶδον οἱ Πατέρες τὸν ἕνα χλωρὸν καὶ στυγνὸν πάνυ, τὸν δὲ ἄλλον εὐθαλῆ καὶ φαιδρόν· καὶ ἐθαύμασαν ὅτι τὴν τροφὴν ἐπὶ ἴσης ἐλάμβανον. Ἠρώτησαν οὖν τὸν στυγνὸν λέγοντες· Τί ἠδολέσχεις μετὰ τῶν λογισμῶν εἰς τὸ κελλίον σου; Ὁ δὲ ἔφη· Τὰ κακὰ ἃ ἐποίησα καὶ τὴν κόλασιν εἰς ἣν ἔμελλον ἀπελθεῖν ἐλογιζόμην καὶ ἀπὸ τοῦ φόβου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Ἠρώτησαν δὲ καὶ τὸν ἄλλον· Καὶ σὺ τί ἐλογίζου ἐν τῷ κελλίῳ σου; Ὁ δὲ λέγει· Τῷ Θεῷ ηὐχαρίστουν ὅτι ἐξείλετό με ἀπὸ τῆς ἀκαθαρσίας τοῦ κόσμου καὶ τῆς μελλούσης κολάσεως καὶ ἤγαγέ με εἰς τὴν ἀγγελικὴν ταύτην πολιτείαν· καὶ μνημονεύων τοῦ Θεοῦ ηὐφραινόμην. Καὶ εἶπον οἱ Γέροντες ὅτι· Ἐφίσης ἡ μετάνοιά ἐστι τῶν δύο πρὸς τὸν Θεόν.

58. Γέρων τις ἦν ἐν Σκήτει καὶ ἐμπεσὼν εἰς ἀσθένειαν μεγάλην ὑπηρετεῖτο παρὰ τῶν ἀδελφῶν. Καὶ βλέπων ὁ Γέρων ὅτι κάμνουσιν ἔλεγεν ὅτι· Ὑπάγω εἰς Αἴγυπτον, ἵνα μὴ

45. Ψαλμ. 101, 6. 46. Ψαλμ. 76, 4.

τῆς πορνείας ἐπέστρεψαν στόν κόσμο καί παντρεύτηκαν. Ἀργότερα εἶπαν ὁ ἕνας στόν ἄλλο: «Τί κερδίσαμε πού ἀφήσαμε τήν ἀγγελική τάξη καί ἤλθαμε στήν ἀκαθαρσία αὐτή; Καί μετά ἀπ᾽ αὐτά μᾶς περιμένει φωτιά καί κόλαση αἰώνια. Ἄς πᾶμε πάλι στή ἔρημο». Γύρισαν πράγματι, ἐξομολογήθηκαν ὅσα ἔκαναν καί παρεκάλεσαν τούς Πατέρες νά τούς ὁρίσουν ἐπιτίμιο γιά τή μετάνοιά τους. Οἱ Γέροντες τούς ἀπομόνωσαν γιά ἕνα χρόνο καί ἔδιναν καί στούς δύο ἴση ποσότητα ψωμιοῦ καί νεροῦ, γιατί καί στίς διαστάσεις τοῦ σώματος ἦσαν ὅμοιοι.

Ὅταν συμπληρώθηκε ὁ χρόνος τῆς μετανοίας, βγῆκαν ἀπό τήν ἀπομόνωση καί βλέπουν οἱ Πατέρες τόν ἕνα πολύ χλωμό καί σκυθρωπό, ἐνῶ τόν ἄλλο καλοστεκούμενο καί χαρούμενο. Ἀπόρησαν, ἐπειδή ἔπαιρναν τήν ἴδια τροφή. Ρώτησαν λοιπόν τόν σκυθρωπό: «Γύρω ἀπό τί στρέφονταν οἱ λογισμοί πού ἔκανες μέσα στό κελί σου;» Κι ἐκεῖνος εἶπε: «Συλλογιζόμουν τά κακά πού ἔκανα καί τήν κόλαση πού μέ περιμένει καί ἀπό τόν φόβο μου κόλλησαν τά κόκκαλά μου στό πετσί μου[45]».

Ρώτησαν καί τόν ἄλλο: «Καί σύ τί συλλογιζόσουν μέσα στό κελί;» Κι αὐτός εἶπε: «Εὐχαριστοῦσα τόν Θεό πού μέ γλύτωσε ἀπό τή βρωμιά τοῦ κόσμου αὐτοῦ καί ἀπό τήν αἰώνια κόλαση καί μέ ξανάφερε στόν ἀγγελικό αὐτό τρόπο ζωῆς. Καί γέμιζα εὐφροσύνη, καθώς σκεπτόμουν τόν Θεό[46]». Καί ἀποφάνθηκαν οἱ Γέροντες ὅτι καί τῶν δύο ἡ μετάνοια ἔχει τήν ἴδια ἀξία γιά τόν Θεό.

58. Κάποιος Γέροντας πού ἀσκήτευε στή Σκήτη, ἀρρώστησε βαριά καί τόν ὑπηρετοῦσαν οἱ ἀδελφοί. Βλέποντας ὅμως ὁ Γέροντας ὅτι κουράζονται εἶπε: «Θά πάω στήν Αἴγυπτο γιά νά μήν ἐξαντλῶ τούς ἀδελφούς». Καί τοῦ λέει ὁ

παραλύω τοὺς ἀδελφούς μου. Καὶ ἔλεγεν αὐτῷ ὁ ἀββᾶς Μωυσῆς· Μὴ ἀπέλθῃς, ἐπεὶ εἰς πορνείαν ἔχεις ἐμπεσεῖν. Ὁ δὲ λυπηθεὶς ἔλεγεν ὅτι· Ἀπέθανε τό σῶμά μου καὶ ταῦτά μοι λέγεις; Ἀπῆλθεν οὖν εἰς Αἴγυπτον. Καὶ ἀκούσαντες οἱ ἄνθρωποι πολλὰ προσέφερον αὐτῷ. Καὶ μία τις παρθενεύουσα κατὰ πίστιν ἦλθεν ὑπηρετεῖν τῷ Γέροντι. Μετὰ δὲ χρόνον μικρὸν ὑγιάνας ἔπεσε μετ' αὐτῆς· καὶ ἐν γαστρὶ ἔλαβε καὶ ἔτεκεν υἱόν. Οἱ δὲ ἄνθρωποι εἶπον αὐτῇ· Πόθεν τοῦτο; Καὶ εἶπεν· Ἀπὸ τοῦ Γέροντος. Καὶ οὐκ ἐπίστευσαν αὐτῇ. Ὁ δὲ Γέρων ἔλεγεν· Ἐγὼ ἐποίησα· ἀλλὰ φυλάξατε τὸ παιδίον τὸ γεννώμενον. Καὶ ὅτε ἀπεγαλακτίσθη, ἡμέρας ἑορτῆς γενομένης ἐν Σκήτει κατῆλθεν ὁ Γέρων βαστάζων τὸ παιδίον ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν καὶ λέγει τοῖς ἀδελφοῖς· Βλέπετε τὸ παιδίον τοῦτο· υἱὸς τῆς παρακοῆς ἐστιν. Ἀσφαλίζεσθε οὖν ἑαυτούς, ἀδελφοί, ὅτι εἰς τὸ γῆράς μου τοῦτο ἐποίησα· ἀλλὰ εὔξασθε ὑπὲρ ἐμοῦ. Καὶ ἰδόντες ἅπαντες ἔκλαυσαν. Ὁ δὲ ἀπελθὼν εἰς τὸ κελλίον αὐτοῦ ἔβαλεν ἀρχὴν τῆς πρώτης αὐτοῦ ἐργασίας.

59. Ἀδελφός τις ἐπειράσθη ὑπὸ τοῦ δαίμονος τῆς πορνείας δεινῶς. Τέσσαρες γὰρ δαίμονες ἐν εἴδει γυναικῶν εὐμορφοτάτων μετασχηματισθέντες ἐπὶ εἴκοσιν ἡμέρας ἔμειναν παλαίοντες μετ' αὐτοῦ ἑλκύσαι εἰς αἰσχρὰν μίξιν. Ἐκείνου δὲ ἀνδρείως ἀγωνισαμένου καὶ μὴ ἡττηθέντος, ὁ Θεὸς βλέπων αὐτοῦ τὸν καλὸν ἀγῶνα ἐχαρίσατο αὐτῷ μηκέτι πύρωσιν ἔχειν σαρκικήν.

60. Ἀναχωρητής τις ἦν ἐν τοῖς κάτω μέρεσι τῆς Αἰγύπτου καὶ ἦν ὀνομαστὸς ὅτι εἰς μονοκέλλιον ἐκάθητο ἐν ἐρήμῳ τόπῳ. Καὶ ἰδοὺ κατ' ἐνέργειαν τοῦ Σατανᾶ γυνή τις ἄσεμνος ἀκούσασα περὶ αὐτοῦ ἔλεγε τοῖς νεωτέροις· Τί θέ-

ἀββᾶς Μωυσῆς: «Μή πηγαίνεις, γιατί θά πέσεις σέ πορνεία». Ἐκεῖνος λυπήθηκε καί εἶπε: «Νεκρώθηκε τό σῶμα μου καί τέτοια μοῦ λές;» Καί πῆγε στήν Αἴγυπτο. Οἱ ἄνθρωποι ὅταν τό πληροφορήθηκαν, τοῦ πρόσφεραν πολλά. Καί μιά παρθένος πῆγε ἀπό εὐλάβεια νά ὑπηρετήσει τόν Γέροντα. Μετά ἀπό κάποιο χρονικό διάστημα, ὅταν ἀνάρρωσε λίγο, διέπραξε τό σαρκικό ἁμάρτημα μαζί της. Κυοφόρησε αὐτή καί γέννησε γιό. Καί οἱ ἄνθρωποι τή ρώτησαν: «Ἀπό ποῦ προῆλθε αὐτό;» «Ἀπό τόν Γέροντα» ἀπάντησε. Ἀλλά δέν τήν πίστεψαν. Καί ὁ Γέροντας ἔλεγε: «Ἐγώ τό ἔκανα, ἀλλά φυλάξτε τό παιδάκι πού γεννήθηκε».

Καί ὅταν ἀπογαλακτίσθηκε, κάποια μέρα πού εἶχε γιορτή στή Σκήτη, πῆγε κρατώντας τό παιδί στόν ὦμο του, μπῆκε στήν ἐκκλησία καί εἶπε στούς ἀδελφούς: «Βλέπετε τό παιδάκι αὐτό; Εἶναι γιός τῆς παρακοῆς. Ἀσφαλίζετε τόν ἑαυτό σας, ἀδελφοί, γιατί στά γηρατειά μου τό ἔκανα αὐτό. Παρακαλῶ προσευχηθεῖτε γιά μένα». Τόν εἶδαν ὅλοι καί ἔκλαψαν. Κι αὐτός πῆγε στό κελί του καί ἔβαλε ἀρχή στήν ἄσκηση πού εἶχε τόν προηγούμενο καιρό.

59. Ἕνας ἀδελφός πειράσθηκε ἀπό τόν δαίμονα τῆς πορνείας φοβερά. Τέσσερις δαίμονες μέ μορφή πάρα πολύ ὡραίων γυναικῶν ἐπί εἴκοσι μέρες πάλευαν ἐπίμονα μαζί του νά τόν παρασύρουν σέ αἰσχρή πράξη. Ἀλλά ἐκεῖνος ἀγωνίσθηκε μέ ἀνδρεία καί δέν νικήθηκε· βλέποντας ὁ Θεός τόν καλό του ἀγώνα τοῦ ἔδωσε τή χάρη νά μήν ἔχει στό ἑξῆς σαρκική πύρωση.

60. Ὑπῆρχε κάποιος ἀναχωρητής στίς πεδινές περιοχές τῆς Αἰγύπτου καί ἦταν ὀνομαστός· ἀσκήτευε σέ απομονωμένο κελί σέ ἔρημο τόπο. Καί νά πού ὁδηγημένη ἀπό τόν Σατανᾶ μιά γυναίκα ἄσεμνη, ὅταν πληροφορήθηκε γι'

λετέ μοι δοῦναι κἀγὼ καταβάλλω τὸν ἀναχωρητὴν ὑμῶν. Οἱ δὲ συνέθεντο δοῦναι αὐτῇ τι φανερόν. Καὶ ἐξελθοῦσα ἑσπέρας ἦλθεν ἐπὶ τὴν κέλλαν αὐτοῦ ὡς δῆθεν πλανωμένη. Καὶ κρουσάσης αὐτῆς ἐξῆλθε καὶ ἰδὼν αὐτὴν ἐταράχθη λέγων· Πῶς ὧδε παραγέγονας; Ἡ δὲ φησὶ κλαίουσα· Πλανωμένη ἦλθον ὧδε. Καὶ σπλαχνισθεὶς εἰσήγαγεν αὐτὴν εἰς τὸ αὐλίδριον καὶ εἰσελθὼν εἰς τὴν κέλλαν αὐτοῦ ἔκλεισε τὴν θύραν. Καὶ ἰδοὺ ἡ ἀθλία ἔκραζε λέγουσα· Ἀββᾶ, τὰ θηρία με κατατρώγουσιν. Ὁ δὲ πάλιν ταραχθεὶς καὶ τὸ κρίμα τοῦ Θεοῦ φοβηθεὶς ἔλεγε· Πόθεν μοι ἦλθεν ἡ ὀργὴ αὕτη; Καὶ ἀνοίξας τὴν θύραν εἰσήνεγκεν αὐτὴν ἔσω.

Ἤρξατο δὲ ὁ διάβολος κατατοξεύειν αὐτὸν εἰς αὐτήν. Ὁ δὲ νοήσας τὸν πόλεμον τοῦ ἐχθροῦ ἔλεγεν καθ᾽ ἑαυτόν· Αἱ μεθοδεῖαι τοῦ ἐχθροῦ σκότος εἰσίν, ὁ δὲ Υἱὸς τοῦ Θεοῦ φῶς ἐστιν. Στὰς οὖν ἀνῆψε τὸν λύχνον. Ἐκκαιόμενος δὲ τῇ ἐπιθυμίᾳ ἔλεγεν ὅτι· Οἱ τὰ τοιαῦτα πράσσοντες εἰς κόλασιν ὑπάγουσι. Δοκίμασον οὖν ἐντεῦθεν εἰ δύνασαι ὑπενεγκεῖν τὸ πῦρ τὸ αἰώνιον. Καὶ βαλὼν τὸν δάκτυλον αὐτοῦ ἐπὶ τὸν λύχνον ἔκαυσεν αὐτὸν καὶ οὐκ ᾐσθάνετο καιόμενος διὰ τὴν ὑπερβολὴν τῆς πυρώσεως τῆς σαρκός. Καὶ οὕτω ποιῶν ἕως πρωὶ ἔκαυσεν ὅλους τοὺς δακτύλους αὐτοῦ. Ἐκείνη δὲ ἡ ἀθλία ὁρῶσα ἃ ἐποίει ἐκ τοῦ φόβου ἀπελιθώθη. Ἐλθόντες δὲ τὸ πρωὶ οἱ νεώτεροι πρὸς τὸν ἀναχωρητὴν ἔλεγον· Ἦλθεν ὧδε γυνὴ ὀψέ; Ὁ δὲ εἶπεν· Ναί, ἰδοὺ ἔσω κοιμᾶται. Καὶ εἰσελθόντες εὗρον αὐτὴν νεκρὰν καὶ λέγουσιν αὐτῷ· Ἀββᾶ, τέθνηκε. Τότε ἀνακαλύψας τὰς χεῖρας αὐτοῦ ἔδειξεν αὐτοῖς λέγων· Ἰδοὺ τί ἐποίησέ μοι ἡ θυγάτηρ τοῦ δια-

αὐτόν, εἶπε σέ κάποιους νέους: «Τί θέλετε νά μοῦ δώσετε καί ἐγώ θά κάνω τόν ἀναχωρητή σας νά πέσει». Κι αὐτοί συμφώνησαν νά τῆς δώσουν ἕνα ὁρισμένο ποσό. Πῆρε λοιπόν τόν δρόμο καί κατά τό βράδυ ἔφθασε στό κελί του μέ τό πρόσχημα ὅτι εἶχε χάσει τάχα τόν δρόμο. Κτύπησε τήν πόρτα καί βγῆκε ὁ Γέροντας· ἀλλ᾽ ὅταν τήν εἶδε ταράχθηκε καί τή ρώτησε: «Πῶς ἔφτασες ἐδῶ;» Κι ἐκείνη κλαίγοντας εἶπε: «Ἔχασα τόν δρόμο καί βρέθηκα ἐδῶ». Τήν συμπόνεσε καί τήν ἔβαλε στόν αὐλόγυρο. Μπῆκε κατόπιν στό κελί του καί ἔκλεισε τήν πόρτα. Ἀλλά νά πού ἡ ἄθλια ἄρχισε νά φωνάζει καί νά λέει: «Ἀββᾶ, θά μέ σπαράξουν τά θηρία». Αὐτός ταράχθηκε ἀλλά φοβήθηκε καί τήν κρίση τοῦ Θεοῦ καί ἔλεγε: «Ἀπό ποῦ μοῦ ἦρθε ἡ ὀργή αὐτή;» Ἄνοιξε λοιπόν τήν πόρτα καί τήν ἔβαλε μέσα.

Καί ἄρχισε ὁ διάβολος νά τοῦ ρίχνει τά βέλη του γι᾽ αὐτήν. Μόλις ἀντιλήφθηκε ὁ Γέροντας τόν πόλεμο τοῦ ἐχθροῦ, ἄρχισε νά λέει μέσα του: «Τά τεχνάσματα τοῦ ἐχθροῦ εἶναι σκοτάδι, ἐνῶ ὁ Υἱός τοῦ Θεοῦ εἶναι φῶς». Σηκώνεται λοιπόν καί ἀνάβει τό λυχνάρι. Καί φλογισμένος ἀπό τήν ἐπιθυμία εἶπε: «Αὐτοί πού τά κάνουν αὐτά πᾶνε στήν κόλαση. Δοκίμασε τόν ἑαυτό σου ἀπ᾽ ἐδῶ, ἐάν θά μπορεῖς νά ἀντέξεις τή φωτιά τήν αἰώνια». Καί ἔβαλε τό δάκτυλό του πάνω στό λυχνάρι καί τό ἔκαψε· ἀλλά δέν τό αἰσθανόταν ἀπό τήν ὑπερβολική σαρκική πύρωση πού εἶχε. Κάνοντας ἔτσι ὥς τό πρωί, ἔκαψε ὅλα τά δάκτυλά του. Καί ἡ ἄθλια γυναίκα βλέποντας τί ἔκανε, μαρμάρωσε ἀπό τόν φόβο της.

Ἀγάπησε κάθε κακοπάθεια καί θά ταπεινώνονται ἔτσι τά πάθη σου. Φρόντιζε νά μή μετρᾶς τόν ἑαυτό σου[69] σέ ὁποιαδήποτε περίπτωση καί νά διαθέτεις χρόνο γιά νά πενθεῖς τίς ἁμαρτίες σου. Φυλάξου ἀπό τό ψέμα, γιατί αὐτό διώχνει τόν φόβο τοῦ Θεοῦ ἀπ' τήν ψυχή σου.

Πάνω ἀπ' ὅλα νά φανερώνεις τούς λογισμούς σου στούς Πατέρες σου γιά νά σέ σκεπάζει ἡ προστασία τοῦ Θεοῦ. Νά βιάζεις τόν ἑαυτό σου γιά τό ἐργόχειρό σου. Ἔτσι ὁ φόβος τοῦ Θεοῦ θά κατοικήσει μέσα σου».

69. Ὁ παλαιός ἄνθρωπος προβάλλει εὐκαίρως ἀκαίρως τίς ἐγωπαθεῖς καί φίλαυτες διαθέσεις του καί ἀνακόπτει καταστρεπτικά τήν πνευματική πορεία τῆς ψυχῆς. Γι' αὐτό καί συνιστοῦν οἱ ἀββάδες νά παρατρέχουμε τίς παρορμήσεις αὐτές τοῦ παλαιοῦ ἀνθρώπου (μὴ μετρεῖν ἑαυτὸν ἔν τινι πράγματι) καί νά κωφεύουμε στίς ὀχλήσεις του.

89. Πάχων τις ὀνόματι περὶ τὰ ἑβδομήκοντα ἐλάσας ἔτη ἐκαθέζετο ἐν τῇ Σκήτει. Συνέβη δέ με ὀχληθέντα ὑπὸ τοῦ δαίμονος τῆς πορνείας <καὶ> συνεχόμενον ἐπιθυμίᾳ γυναικείᾳ δυσφορεῖν καὶ πρὸς τοὺς λογισμοὺς καὶ πρὸς τὰς φαντασίας τὰς νυκτερινάς. Καὶ ἐγγὺς γενόμενος ὑπὸ τούτου τοῦ πειρασμοῦ ἐξελθεῖν τῆς ἐρήμου, ἐλαύνοντός με σφοδροτάτως τοῦ πάθους, τοῖς μὲν γείτοσι τῶν Πατέρων οὐκ ἀνεθέμην τὸ πρᾶγμα ἀλλ' οὐδὲ τῷ διδασκάλῳ μου, λεληθότως δὲ παρέβαλον εἰς τὴν πανέρημον ἐπὶ ἡμέρας δεκαπέντε καὶ συνετύγχανον τοῖς κατὰ τὴν Σκῆτιν Πατράσι γηράσασι ἐν τῇ ἐρήμῳ. Ἐν οἷς δὴ περιέτυχον καὶ Πάχωνι. Εὗρον οὖν αὐτὸν ἀκεραιότερον καὶ ἀσκητικώτερον. Θαρρήσας οὖν αὐτῷ ἀνεθέμην μου τὰ τῆς διανοίας. Καὶ λέγει μοι οὗτος ὁ ἅγιος· Τοῦτο μὴ ξενιζέτω σε τὸ πρᾶγμα· οὐ γὰρ πάσχεις αὐτὸ ἀπὸ σῆς ῥαθυμίας. Μαρτυρεῖ γάρ σοι καὶ ὁ τόπος καὶ ἡ σπάνη τῶν χρειῶν καὶ τὸ μὴ εἶναι συντυχίας θηλειῶν ἐνθάδε· μᾶλλον δὲ ἀπὸ σπουδῆς συμμένει σοι τῆς κατ' ἀρετὴν τοῦτο παρὰ τοῦ ἐναντίου.

Τριπλοῦς γάρ ἐστιν ὁ πόλεμος πορνικὸς τοῖς ἐν τῇ ἐρήμῳ διάγουσι· ποτὲ γὰρ ἡμῖν ἡ σὰρξ ἐπιτίθεται εὐπαθοῦσα, ποτὲ δὲ τὰ πάθη διὰ τῶν λογισμῶν, ποτὲ δε καὶ αὐτὸς ὁ δαίμων ἡμᾶς τυραννεῖ διὰ τῆς βασκανίας. Ἐγὼ γὰρ πολλὰ παρατηρήσας ηὕρηκα τοῦτο. Ἰδοὺ γὰρ ὡς ὁρᾷς με γέροντα ἄνθρωπον, τεσσαρακοστὸν ἔτος ἔχω ἐν τῇ κέλλῃ ταύτῃ φροντίζων τῆς ἐμαυτοῦ σωτηρίας καὶ ταύτην

70. Στόν Πάχωνα ἀναφέρεται τό 23ο κεφ. τῆς *Λαυσαϊκῆς ἱστορίας*, ὅπου καί προσδιορίζεται ὅτι δάσκαλος τοῦ Πάχωνα ἦταν ὁ Εὐάγριος.

71. Ἡ γραφή πανέρημος τῆς *Λαυσαϊκῆς Ἱστορίας* ἀποδίδει πληρέστερα τό νόημα στό σημεῖο αὐτό, ἀντί τῆς γραφῆς ἔρημος.

72. Ἀκέραιος: καθαρός, ἀνόθευτος, ἄδολος.

89. Κάποιος μέ τό ὄνομα Πάχων, πού εἶχε φθάσει στά ἑβδομήντα του χρόνια περίπου, κατοικοῦσε στή Σκήτη. Συνέβη τότε σέ μένα νά ἐνοχληθῶ ἀπό τόν πειρασμό τῆς πορνείας καί νά ὑποφέρω πολύ καί ἀπό τούς λογισμούς καί ἀπό τίς νυκτερινές φαντασίες, γιατί μέ πίεζε ἐπιθυμία γυναικός. Καί ὅταν κόντεψα νά θέλω νά ἐγκαταλείψω τήν ἔρημο ἐξαιτίας αὐτοῦ τοῦ πειρασμοῦ, γιατί εἶχα πολύ δυνατό πόλεμο ἀπό τό πάθος, στούς γειτονικούς Πατέρες δέν ἐμπιστεύτηκα τό πρόβλημά μου, ἀλλά οὔτε καί στόν δάσκαλό μου[70]. Κρυφά πῆγα στήν βαθιά ἔρημο[71] γιά δεκαπέντε μέρες καί συναναστρεφόμουν ἐκεῖ μέ Πατέρες πού γέρασαν στήν ἔρημο τῆς Σκήτης. Μεταξύ αὐτῶν συνάντησα καί τόν Πάχωνα. Αὐτόν λοιπόν τόν βρῆκα πιό ἀκέραιο[72] καί πιό ἀσκητικό. Ἔτσι πῆρα κουράγιο καί τοῦ ἐμπιστεύθηκα τούς λογισμούς μου. Καί μοῦ λέει αὐτός ὁ ἅγιος: «Μή σέ παραξενεύει αὐτό τό πράγμα· δέν ὀφείλεται τό πάθος σέ δική σου ραθυμία. Αὐτό τό μαρτυρεῖ γιά τήν περίπτωσή σου καί ὁ τόπος[73] καί τό ὅτι τά μέσα τῆς ζωῆς εἶναι ἐλάχιστα καί δέν συναντάει κανείς ἐδῶ γυναῖκες. Ἀλλά ἡ ἐπιμονή τῆς δοκιμασίας εἶναι μᾶλλον ἐνέργεια τοῦ ἐχθροῦ, ἐξαιτίας τοῦ ζήλου σου γιά προκοπή στόν βίο τῆς ἀρετῆς.

Ὁ πόλεμος τῆς πορνείας γι' αὐτούς πού ζοῦν στήν ἔρημο εἶναι τριπλός[74]: Κάποτε μᾶς ἐπιτίθεται ἡ σάρκα, ὅταν καλοπερνάει· ἄλλη φορά ξεσηκώνονται τά πάθη μέ τούς λογισμούς καί ἄλλοτε ὁ ἴδιος ὁ δαίμονας μᾶς βασανίζει ἀπό φθόνο. Ἐγώ μετά ἀπό πολλές παρατηρήσεις ἔφθασα σ' αὐτή τή διαπίστωση. Νά, γέρος ἄνθρωπος, ὅπως βλέπεις, σαράντα χρόνια ἔχω σ' αὐτό τό κελί πού φροντίζω γιά τή σωτηρία μου καί, ἐνῶ βρίσκομαι σ' αὐτή τήν ἡλικία, μέ-

73. Τό ἀπαράκλητον δηλ. τῆς ἐρήμου.

74. Πρβλ. Ε 1.

ἄγων τὴν ἡλικίαν μέχρι τῆς ἄρτι πειράζομαι. Καὶ διώμνυτο λέγων ὅτι· Δώδεκα ἔτη μετὰ τὸ πεντηκοστόν με ἔτος ἄγειν, οὐ νύκτα μοι οὐχ ἡμέραν συνεχώρησεν ἐπιτιθέμενός μοι. Ὑπονοήσας οὖν ὅτι ἀπέστη μου ὁ Θεός, διὸ καὶ καταδυναστεύομαι, ᾑρετισάμην μᾶλλον ἀποθανεῖν ἀλόγως ἢ πάθει σώματος ἀσχημονῆσαι αἰσχρῶς.

Καὶ ἐξελθών μου τῆς κέλλης καὶ παριὼν τὴν ἔρημον, σπήλαιον εὗρον ὑαίνης, εἰς ὃ σπήλαιον ἔθηκα ἐμαυτὸν ἐν ἡμέρᾳ γυμνόν, ἵνα ἐξελθόντα φάγῃ με τὰ θηρία. Ὡς οὖν ἐγένετο ἑσπέρα, κατὰ τὸ γεγραμμένον· Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ, σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς, ἐξελθόντες οὖν οἱ θῆρες ἐκείνῃ τῇ ὥρᾳ, ὅ τε ἄρσην καὶ <ἡ> θήλεια, ὠσφράνθησάν μου ἀπὸ ποδῶν ἕως κεφαλῆς περιλείξαντές με. Καὶ ὡς ἐδόκουν βρωθῆναί με, ἀνεχώρησαν ἀπ᾽ ἐμοῦ. Πεσὼν οὖν ἐκεῖ διὰ πάσης τῆς νυκτὸς οὐκ ἐβρώθην. Λογισάμενος ὅτι πάντως ἐφείσατό μου ὁ Θεός, αὖθις οὖν ὑπέστρεψα εἰς τὴν κέλλαν μου.

Καρτερήσας οὖν ὁ δαίμων ὀλίγας ἡμέρας, πάλιν μοι ἐπέθετο τοῦ προτέρου σφροδρότερον ὡς παρὰ μικρόν με βλασφημῆσαι. Μετασχηματισθεὶς εἰς αἰθιόπισσαν κόρην ἣν ἑώρακά ποτε ἐν τῇ νεότητί μου ἐν τῷ θέρει καλαμωμένην, ταύτην ἔδοξα ἐπικαθεσθῆναί μου τοῖς γόνασι καὶ ἐπὶ τοσοῦτόν με ἐκίνησεν ὥστε νομίσαι με συγγενέσθαι μετ᾽ αὐτῆς. Ἀπὸ μανίας οὖν ἐγὼ δέδωκα αὐτῇ κόσσον, καὶ οὕτω γέγονεν ἄφαντος. Καὶ πίστευέ μοι λέγοντι ὅτι τῆς δυσωδίας

---

75. Ψαλμ. 103, 19-21.

χρι αὐτή τή μέρα ἀκόμη ἐνοχλοῦμαι ἀπό τόν πειρασμό». Καί μέ ὅρκο διαβεβαίωνε τά λόγια του: «Δώδεκα χρόνια, μετά τά πενήντα μου, οὔτε νύκτα οὔτε μέρα δέν ἔπαυσε νά μέ πειράζει. Ὑπέθεσα τότε ὅτι, ἐπειδή καταδυναστεύομαι ἀπό τόν πειρασμό, μέ ἐγκατέλειψε ὁ Θεός, καί προτίμησα νά πεθάνω μέσα στήν παραφροσύνη μου, παρά ἐξαιτίας τοῦ σωματικοῦ πάθους νά κάνω τήν αἰσχρή πράξη.

Βγῆκα λοιπόν ἀπό τό κελί μου καί βαδίζοντας μέσα στήν ἔρημο βρῆκα μιά σπηλιά ὕαινας, ὅπου καί ἐξέθεσα γυμνό τόν ἑαυτό μου στή διάρκεια τῆς μέρας, γιά νά μέ φᾶνε τά θηρία βγαίνοντας. Σάν ἄρχισε νά νυχτώνει, σύμφωνα μ᾽ αὐτό πού λέει ἡ Ἁγία Γραφή: Ὁ ἥλιος γνωρίζει τό σημεῖο ἀπ᾽ ὅπου θά δύσει· ὅρισες νά ἔρχεται σκοτάδι καί ἔτσι γίνεται ἡ νύκτα· καί μέσα στή νύκτα θά περιφέρονται ὅλα τά θηρία τοῦ δάσους· τά μικρά λεονταράκια βρυχῶνται καί ὁ βρυχηθμός τους εἶναι δέηση πρός τόν Θεό γιά νά πάρουν τήν τροφή τους[75], βγῆκαν τήν ὥρα αὐτή ἀκριβῶς τά θηρία· τόσο τό ἀρσενικό ὅσο καί τό θηλυκό μέ ὀσφράνθηκαν ἀπό τά πόδια ὥς τό κεφάλι γλείφοντάς με. Καί ἐνῶ περίμενα νά μέ φᾶνε, μ᾽ ἄφησαν κι ἔφυγαν. Ξάπλωσα ἐκεῖ λοιπόν ὅλη τή νύκτα ἀλλά δέν μέ ἔφαγαν. Συλλογίστηκα τότε ὅτι ὁπωσδήποτε μέ λυπήθηκε ὁ Θεός, καί γύρισα πάλι στό κελί μου.

Ἔκανε ὑπομονή ὁ δαίμονας λίγες μέρες καί μοῦ ἐπιτέθηκε ὕστερα σφοδρότερα ἀπό πρίν, ὥστε παραλίγο νά βλασφημήσω. Μεταμορφωμένος σέ μιά αἰθιόπισσα κόρη, πού κάποτε τήν εἶχα δεῖ στά νιάτα μου νά μαζεύει παραπεταμένα στάχυα στόν θέρο, μοῦ φάνηκε ὅτι αὐτή κάθησε στά γόνατά μου καί μοῦ ἐρέθισε σέ τέτοιο σημεῖο τό πάθος, ὥστε νά νομίσω ὅτι ἦρθα σέ ἐπαφή μαζί της. Ἔξαλλος ἐγώ τότε τῆς δίνω ἕνα χαστούκι καί ἔτσι ἐξαφανίσθηκε. Καί πίστεψέ με σ᾽ αὐτό πού θά σοῦ πῶ, τή δυσωδία τοῦ χεριοῦ

τῆς χειρός μου ἐπὶ διετίαν ἀνέχεσθαι οὐκ ἠδυνάμην. Μικροψυχήσας οὖν καὶ ἐπὶ τοῦτο μειζόνως καὶ ἀπευδοκήσας ἑαυτοῦ εἰς τέλος ἐξῆλθον εἰς τὴν πανέρημον ἀλώμενος· καὶ εὗρον ἀσπίδα μικρὰν καὶ λαβὼν αὐτὴν προσφέρω τοῖς γεννητικοῖς μου μορίοις ὡς αἰτίοις μοι τοῦ πειρασμοῦ γεγενημένοις, ἵνα κἂν οὕτω δηχθεὶς ἀποθάνω. Ὡς οὖν οὐδὲ οὕτως ἐδήχθην προνοίᾳ τῆς χάριτος τοῦ Θεοῦ, μετὰ ταῦτα ἤκουσα φωνῆς λεγούσης ἐν τῇ διανοίᾳ μου ὅτι· Ἄπελθε, Πάχων, ἀγωνίζου· διὰ γὰρ τοῦτο ἀφῆκά σε τοσοῦτον καταδυναστευθῆναι, ἵνα μὴ μέγα φρονήσῃς ὡς αὐτὸς δυνάμενος τοῦ δαίμονος τούτου περιγενέσθαι, ἀλλ' ἵνα ἀεὶ προσδράμῃς τῇ τοῦ Θεοῦ βοηθείᾳ.

Οὕτω πληροφορηθεὶς ἀνέκαμψα εἰς τὸ κελλίον μου καὶ μετὰ θάρσους καθίσας καὶ μηκέτι φροντίσας τοῦ κατὰ τὴν γυναικομανίαν πολέμου, εἰρήνευσα ἐκ τῆς μάχης ἐκείνης τὰς ὑπολοίπους ἡμέρας. Ὁ δὲ δαίμων ἰδών μου τὴν εἰς αὐτὸν καταφρόνησιν λοιπὸν αἰσχυνθεὶς οὐκέτι μου ἤγγικε. Τούτοις τοῖς λογισμοῖς τοῖς πρὸς τὸν Σατανᾶν πολεμοῦσιν ὁ ἅγιος Πάχων στηρίξας με καὶ γενναιότερον πρὸς τοὺς πόνους ἀλείψας με φέρειν, ῥᾳδίως τὸν πόλεμον τοῦ τῆς πορνείας δαίμονος ἐκδιώξας, ἀπέπεμψέ με ἐν πᾶσιν ἀνδρίζεσθαί με παρακελευσάμενος. Ἐγὼ δὲ ἀπελθὼν ἐκάθισα φροντίζων τῆς ἐμαυτοῦ σωτηρίας, εὐχαριστῶν δὲ τῷ Θεῷ καὶ τῷ ἁγίῳ. Ἀμήν.

90. Ἔλεγέ τις ὅτι ἐδήχθη ποτὲ ὑπὸ ὄφεως μοναχός τις

76. Φαρμακερό φίδι πού ἀνήκει στό γένος τῆς ἐχιᾶς.

μου γιά δύο χρόνια δέν μποροῦσα νά τήν ἀνεχθῶ. Λιποψύχησα λοιπόν ἀπ' αὐτό τό γεγονός ἀκόμη περισσότερο καί ἀπογοητευμένος ἀπό τόν ἑαυτό μου ἐντελῶς, βγῆκα καί περιπλανιόμουν στή βαθιά ἔρημο. Κάποια στιγμή βρῆκα μιά ἀσπίδα[76] μικρή, τήν πῆρα καί τήν πλησίασα στά γεννητικά μου ὄργανα γιά νά μέ δαγκάσει σάν νά ἦταν αὐτά ἡ αἰτία τοῦ πειρασμοῦ μου, καί μέ τόν τρόπο ἔστω αὐτόν νά πεθάνω. Ὅταν ὅμως κατά τήν ἀγαθή πρόνοια τοῦ Θεοῦ οὔτε ἔτσι πέτυχα νά μέ δαγκάσει τό φίδι, ἄκουσα κατόπιν μιά φωνή μέσα μου νά λέει: Πήγαινε, Πάχων, καί ἀγωνίζου. Ὁ λόγος γιά τόν ὁποῖο σέ ἄφησα νά πιεστεῖς τόσο, ἦταν γιά νά μήν ἔχεις μεγάλη ἰδέα γιά τόν ἑαυτό σου ὅτι μπορεῖς μόνος σου νά παραβγεῖς μέ τόν δαίμονα αὐτόν, ἀλλά νά καταφεύγεις πάντοτε στή βοήθεια τοῦ Θεοῦ.

Μετά τήν πληροφορία αὐτή ἐπανῆλθα στό κελί μου, συνέχισα τήν ἄσκησή μου μέ κουράγιο καί δέν νοιάστηκα καθόλου γιά τόν πειρασμό τῆς γυναικομανίας. Ἀπαλλάχθηκα ἔτσι ἀπό τόν πόλεμο ἐκεῖνο καί ἔζησα μέ εἰρήνη τίς ὑπόλοιπες μέρες μου. Καί ὁ δαίμονας βλέποντας ὅτι τόν καταφρονοῦσα, ντροπιάσθηκε καί δέν μέ πλησίασε πιά».

Μέ αὐτούς τούς λογισμούς, πού καταπολεμοῦν τόν Σατανᾶ, ὁ ἅγιος Πάχων μέ στήριξε καί μέ ἐκγύμνασε νά ὑπομένω τούς κόπους μέ μεγαλύτερη γενναιότητα· ἀπομάκρυνε μέ εὐκολία τόν πόλεμο τοῦ δαίμονα τῆς πορνείας καί μέ ξεπροβόδισε μέ τήν ἐντολή νά εἶμαι ἀνδρεῖος σ' ὅλα. Φεύγοντας κι ἐγώ ἀπό κεῖ ἄρχισα πάλι τήν ἀσκητική μου ζωή φροντίζοντας για τή σωτηρία μου καί εὐχαριστώντας τόν Θεό καί τόν ἅγιό του[77]. Ἀμήν.

90. Διηγοῦνταν κάποιος ὅτι κάποτε ἕναν μοναχό τόν

77. Δηλ. τόν Πάχωνα.

καὶ εἰσῆλθεν εἰς πόλιν τινὰ περιοδευθῆναι. Ὑπεδέξατο δὲ αὐτὸν γυνὴ εὐλαβὴς καὶ φοβουμένη τὸν Κύριον καὶ ἐθεράπευσεν αὐτόν. Ὅτε οὖν ἔσχε μικρὰν ἄνεσιν, ἤρξατο ὁ διάβολος σπείρειν αὐτῷ λογισμοὺς εἰς αὐτὴν καὶ ἥψατο τῆς χειρὸς αὐτῆς. Ἡ δὲ ἔλεγεν αὐτῷ· Μὴ οὕτω, πάτερ· Χριστὸν ἔχεις. Μνήσθητι τῆς λύπης καὶ τῆς μετανοίας ἧς μέλλεις μετανοεῖν καθήμενος ἐν τῷ κελλίῳ σου· μνήσθητι τῶν στεναγμῶν καὶ τῶν δακρύων ὧν ἔχεις δακρύειν. Ἀκούσας δὲ ταῦτα παρ' αὐτῆς καὶ ἕτερα τοιαῦτα ἔφυγεν ὁ πόλεμος ἀπ' αὐτοῦ καὶ διατραπεὶς ἤθελε λοιπὸν φυγεῖν μὴ δυνάμενος ἀτενίσαι εἰς τὸ πρόσωπον αὐτῆς. Ἡ δὲ πάλιν ἐν σπλάγχνοις χρηστοῖς ἔλεγεν αὐτῷ· Μηδὲν διατραπεῖς, χρείαν ἔχεις ἀκμὴν περιοδευθῆναι· οὐκ ἦν τῆς καθαρᾶς σου ψυχῆς λογίσασθαι ἐκεῖνα, ἀλλὰ τοῦ φθονεροῦ διαβόλου ἦν ἡ ὑποβολή. Καὶ οὕτως ἀσκανδαλίστως θεραπεύσασα αὐτὸν ἀπέλυσε μετὰ ἐφοδίων ἐν εἰρήνῃ.

91. Εἶχέ τις Γέρων μαθητὰς δώδεκα. Συνέβη δὲ ἀπὸ πειρασμοῦ τοῦ διαβόλου ἕνα ἐξ αὐτῶν ἀπελθεῖν εἰς τὴν κώμην καὶ εὑρεθῆναι μετὰ γυναικὸς εἰς πορνείαν. Ἀεὶ οὖν ἀπήρχετο λάθρα μετὰ τὰ ὀρθρινὰ εἰς τὴν κώμην καὶ ἤρχετο πρωῒ σκοτίας ἔτι οὔσης. Ἔγνωσαν οὖν οἱ ἀδελφοί, ἔμαθε δὲ καὶ ὁ ἀββᾶς τὸ πρᾶγμα καὶ διὰ τὸ σκεπάσαι τὸν ἀδελφὸν οὐκ ἤλεγχεν αὐτόν. Πολλάκις οὖν κατακραξάντων τῶν ἀδελφῶν τῷ ἡγουμένῳ αὐτῶν ἀπέρχεται ἰδίᾳ ὁ ἀββᾶς πρὸς αὐτὸν ὀρθριώτερον. Ὡς οὖν ἦλθε καὶ ἐκεῖνος ἐκ τοῦ κτήματος διὰ τὸ σπουδάζειν αὐτὸν ἄλλο ἀντ' ἄλλου τουτέστι τὸ ὠμοφόριον τῆς γυναικὸς περιεβάλετο. Ὡς οὖν ἐθεάσατο εἰσελθὼν ὁ ἀββᾶς εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ τὸ μαφόριον τῆς γυναικός, τὸ τέως ἐσιώπησε καὶ λέγει αὐτῷ· Ποῦ

δάγκασε φίδι καί πῆγε στήν πόλη νά θεραπευθεῖ. Τόν φιλοξένησε μιά γυναίκα εὐλαβής μέ φόβο Θεοῦ καί τόν θεράπευσε. Ὅταν λοιπόν συνῆλθε λίγο, ἄρχισε ὁ διάβολος νά τοῦ σπέρνει λογισμούς γι' αὐτήν καί κάποια στιγμή ἔπιασε τό χέρι της. Καί αὐτή τοῦ εἶπε: «Μή κάνεις ἔτσι, πάτερ, ἔχεις Χριστό μέσα σου. Συλλογίσου πόσο θά πονέσεις καί πόσο θά μετανοήσεις ὕστερα στό κελί σου· σκέψου τούς στεναγμούς καί τά δάκρυα πού ἔχεις νά χύσεις». Ὅταν ἄκουσε τά λόγια αὐτά ἀπ' αὐτήν καί ἄλλα παρόμοια, ὁ πειρασμός τοῦ ἔφυγε, ἄλλαξε ἐντελῶς ἡ πρόθεσή του καί ἤθελε νά φύγει μή μπορώντας πιά νά τή δεῖ στά μάτια.

Αὐτή πάλι μέ τή σπλαχνική καρδιά της τοῦ εἶπε: «Μή συγχύζεσαι καθόλου· ἔχεις ἀκόμη ἀνάγκη ἀπό θεραπεία. Οἱ λογισμοί ἐκεῖνοι δέν προέρχονταν ἀπό τήν καθαρή σου ψυχή, ἀλλά ἦταν ὑποβολή τοῦ φθονεροῦ διαβόλου». Καί ἔτσι χωρίς νά σκανδαλισθεῖ τόν θεράπευσε καί τόν ἔστειλε στό καλό δίνοντάς του καί ἐφόδια.

91. Κάποιος Γέροντας εἶχε δώδεκα μαθητές. Καί συνέβη ἀπό διαβολικό πειρασμό ἕνας ἀπ' αὐτούς νά πάει στό χωριό καί νά ἁμαρτήσει μέ μιά γυναίκα. Ἔφευγε λοιπόν πάντα κρυφά, μετά τή νυκτερινή ἀκολουθία στό χωριό, καί ἐπέστρεφε τό πρωί, ἐνῶ ἦταν ἀκόμη σκοτάδι. Τό ἀντιλήφθηκαν οἱ ἀδελφοί, ἔμαθε καί ὁ ἀββᾶς τήν ὑπόθεση καί γιά νά καλύψει τόν ἀδελφό δέν τοῦ 'καμνε παρατήρηση. Ἐπειδή ὅμως πολλές φορές ἔφθασε ἡ κατακραυγή τῶν ἀδελφῶν στόν ἡγούμενό τους, πάει κατ' ἰδίαν ὁ ἀββᾶς στό κελί τοῦ ἀδελφοῦ ἕνα πρωί νωρίτερα ἀπ' αὐτόν. Σέ λίγο ἦλθε καί ἐκεῖνος ἀπό τό κτῆμα ἀλλά ἐπειδή βιαζόταν, εἶχε ρίξει ἐπάνω του ἄλλο ἀντί ἄλλου, δηλαδή τήν μπέρτα τῆς γυναίκας. Ὅταν μπῆκε ὁ ἀββᾶς μέσα στό κελί καί εἶδε τό γυναικεῖο κάλυμμα, προσωρινά τό ἀποσιώπησε καί τοῦ

ἧς, ἀδελφέ; Ὁ δὲ ἐπλάσατο λέγων· Ἕως τῶν ὧδε ἀπῆλθον δι' ἀπόκρισιν. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς· Οὐκ ἀπῆλθες οὖν εἰς τὴν κώμην; Λέγει αὐτῷ· Οὔ, δέσποτα. Τότε λέγει αὐτῷ ὁ ἀββᾶς· Καὶ τίνος τὸ μαφόριον τοῦτο τὸ κρεμάμενον;

Ὡς δὲ τοῦτο ἔγνω ὁ ἀδελφὸς ὅτι τῆς γυναικός ἐστι, ῥίπτει ἑαυτὸν χαμαὶ εἰς τοὺς πόδας τοῦ ἀββᾶ λέγων· Συγχώρησόν μοι καὶ οὐκέτι αὐτὸ ποιῶ. Ὁ δὲ συνεχώρησε καὶ παρεκάλεσεν αὐτὸν λέγων· Πρόσεχε σεαυτῷ, τέκνον, τοῦ λοιποῦ. Τί γὰρ κερδαίνεις ἀπὸ τῆς ἀκαθαρσίας ἐκείνης εἰ μὴ ἐνταῦθα μὲν παρὰ τῶν ἀνθρώπων αἰσχύνην καὶ ὄνειδος, ἐν δὲ τῷ μέλλοντι αἰῶνι πῦρ ἄσβεστον καὶ σκώληκα ἀκοίμητον καὶ ἀτελεύτητον; Μὴ παρακαλῶ, τέκνον, μηκέτι τῇ ἐβδελυγμένῃ ἐγκυλισθῇς πράξει. Καὶ διὰ τῆς φιλανθρωπίας τοῦ Θεοῦ καὶ τῆς μακροθυμίας τοῦ ἁγίου Γέροντος ἐπαύσατο ὁ ἀδελφὸς καὶ γέγονεν ὄντως δόκιμος μοναχός.

Καὶ πάντες οἱ τοῦ κοινοβίου ηὐχαρίστησαν τῷ Θεῷ ἐπὶ τῇ διορθώσει τοῦ ἀδελφοῦ καὶ ἔλεγον τῷ ἀββᾶ· Ποίησον ἀγάπην, τίνος χάριν ἐπὶ τοσοῦτον ἐμακροθύμησας τῷ ἀδελφῷ; Ὁ δὲ εἶπεν αὐτοῖς· Ἔβλεπον τὸν διάβολον ἕλκοντα τὴν χεῖρα αὐτοῦ τὴν μίαν καὶ σύροντα εἰς τὸν κόσμον καὶ διὰ τῆς μακροθυμίας ἐκράτησα αὐτοῦ τὴν ἄλλην χεῖρα, ἵνα μὴ ἐλεγχθεὶς ἀπέλθῃ εἰς τὸν κόσμον. Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς σῶσαι τὸ ἴδιον πλάσμα, ἰδοὺ ἔχομεν καὶ τὴν ἄλλην αὐτοῦ χεῖρα καὶ ὅλον αὐτὸν σῳζόμενον.

Καλὴ οὖν ἡ μακροθυμία μετὰ εὐχῆς, ὅταν ἀδελφῷ ἡμῶν συμβῇ πειρασμός, εἴ πως ὁ Θεὸς παρακληθῇ καὶ οἰκτείρας διασώσηται τὸν σφαλέντα. Ἡ γὰρ ἀποτομία καὶ ὁ ἔλεγχος παρὰ καιρὸν γενόμενος οὐδὲν ἀγαθὸν φέρει.

78. Μαρκ. 9, 44·46·48. 79. Ἡ ἀπολυτοσύνη.

λέει: «Ποῦ ἤσουν, ἀδελφέ;» Ἐκεῖνος τά ταίριαξε καί εἶπε: «Πῆγα ἐδῶ κοντά γιά μιά δουλειά». «Δέν πῆγες λοιπόν — τόν ρωτάει ὁ ἀββᾶς— στό χωριό;» «Ὄχι, δέσποτα,» ἀπαντᾶ. Τότε τοῦ λέει ὁ ἀββᾶς: «Καί τίνος εἶναι τό πανωφόρι αὐτό πού κρέμεται;»

Μόλις τό ἀντιλήφθηκε ὁ ἀδελφός ὅτι αὐτό ἦταν τῆς γυναίκας, ἔριξε τόν ἑαυτό του καταγῆς στά πόδια τοῦ ἀββᾶ λέγοντας: «Συγχώρεσέ με καί δέν θά τό ξανακάνω πιά». Κι ὁ ἀββᾶς τόν συγχώρεσε καί τόν συμβούλεψε λέγοντάς του: «Πρόσεχε, παιδί μου, τόν ἑαυτό σου στό ἑξῆς. Τί κερδίζεις ἀπό τή βρωμιά ἐκείνη, παρά ντροπή καί περιφρόνηση ἀπό τούς ἀνθρώπους στόν κόσμο αὐτό καί στή μέλλουσα ζωή φωτιά πού δέ σβήνει καί σκουλήκι πού δέν κοιμᾶται καί δέν πεθαίνει[78]; Μή, παιδί μου, σέ παρακαλῶ, μήν κυλιστεῖς πιά στή σιχαμερή πράξη». Ἔτσι χάρις στή φιλανθρωπία τοῦ Θεοῦ καί στή μακροθυμία τοῦ ἁγίου Γέροντα ἔπαυσε νά πηγαίνει ὁ ἀδελφός καί ἔγινε πράγματι δόκιμος μοναχός.

Καί ὅλοι στό κοινόβιο εὐχαρίστησαν τόν Θεό γιά τή διόρθωση τοῦ ἀδελφοῦ καί εἶπαν στόν ἀββᾶ: «Κάνε ἀγάπη καί πές μας γιά ποιόν λόγο τόσο καιρό ἀνέχθηκες τόν ἀδελφό;» Κι ἐκεῖνος εἶπε: «Ἔβλεπα τόν διάβολο νά τραβάει τό ἕνα του χέρι καί νά τόν σέρνει πρός τόν κόσμο κάι μέ τή μακροθυμία τοῦ κράτησα τό ἄλλο χέρι γιά νά μή νιώσει ντροπιασμένος ἀπό τόν ἔλεγχο καί τραβήξει γιά τόν κόσμο. Καί ὅταν ὁ Θεός εὐδόκησε νά σώσει τό πλάσμα του, νά, πού ἔχουμε καί τό ἄλλο χέρι του καί τόν ἴδιο σωσμένο».

Ὠφέλιμη λοιπόν εἶναι ἡ μακροθυμία πού συνοδεύεται μέ τήν προσευχή, ὅταν συμβεῖ σέ κάποιον ἀδελφό μας πειρασμός, γιατί μπορεῖ ὁ Θεός νά δεχθεῖ τήν δέησή μας, νά σπλαχνισθεῖ τόν ἀδελφό πού ἔσφαλε καί νά τόν σώσει. Ἐνῶ ἡ αὐστηρότητα[79] καί ὁ ἔλεγχος πού γίνεται παράκαιρα, κανένα καλό δέν φέρνει.

92. Ἦν τις ἐπίσκοπος εἴς τινα πόλιν καὶ ἐγένετο αὐτὸν περιπεσεῖν ἀρρωστίᾳ, ὥστε πάντας ἀπογνῶναι αὐτόν. Ἦν δὲ ἐκεῖ μοναστήριον γυναικεῖον καὶ μαθοῦσα ἡ ἡγουμένη ὅτι ἀπεγνώσθη ὁ ἐπίσκοπος λαβοῦσα μεθ' ἑαυτῆς δύο ἀδελφὰς ἀπῆλθε τοῦ ἐπισκέψασθαι αὐτόν. Καὶ ὡς ἐλάλει μετ' αὐτῆς ὁ ἐπίσκοπος, μία τῶν μαθητριῶν αὐτῆς ἱσταμένη ἥψατο τοῦ ποδὸς αὐτοῦ θέλουσα μαθεῖν πῶς ἔχει. Ὁ δὲ ἀπὸ τῆς ἁφῆς πολεμηθεὶς παρεκάλεσε τὴν ἡγουμένην λέγων ὅτι· Οὐκ ἔχω ὑπηρεσίαν ἀπὸ τῶν ἔγγιστά μου. Θέλησον καταλεῖψαί μοι τὴν ἀδελφὴν ταύτην, ἵνα με ὑπηρετῇ. Ἡ δὲ μηδὲν πονηρὸν ὑπολαβοῦσα ἀφῆκεν αὐτήν. Ἐνδυναμωθεὶς οὖν ὑπὸ τοῦ διαβόλου λέγει αὐτῇ· Ποίησόν μοι ἑψητόν, ἵνα γεύσωμαι. Καὶ ἐποίησε. Καὶ μετὰ τὸ γεύσασθαι λέγει αὐτῇ· Κοιμήθητι μετ' ἐμοῦ, καὶ ἐτέλεσε τὴν ἁμαρτίαν.

Λαβοῦσα οὖν κατὰ γαστρὸς ἐκράτησεν αὐτὴν ὁ κλῆρος λέγοντες· Εἰπὲ ἡμῖν τίς σε ἐποίησεν ἔγκυον; Ἡ δὲ οὐκ ἤθελεν ὁμολογῆσαι. Τότε ὁ ἐπίσκοπος λέγει· Ἄφετε αὐτήν, ἐγὼ γὰρ ἐποίησα τὴν ἁμαρτίαν ταύτην. Καὶ ἐγερθεὶς ἐκ τῆς ἀρρωστίας εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν καὶ ἀπέθετο τὸ ὠμοφόριον αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον. Καὶ ἐξελθὼν ἔλαβε ῥάβδον ἐν τῇ χειρὶ αὐτοῦ καὶ ὥρμησεν εἰς μοναστήριον ὅπου οὐκ ἐγνωρίζετο. Ὁ δὲ ἀββᾶς τοῦ κοινοβίου διορατικὸς ὢν ἔγνω ὅτι ἐπίσκοπος ἔχει ἐλθεῖν εἰς τὴν μονὴν καὶ παρήγγειλε τῷ ἀδελφῷ λέγων· Βλέπε, ἀδελφέ, ὅτι ἐπίσκοπος ἔχει παραγενέσθαι. Προσδοκῶν οὖν ὁ θυρωρὸς ὅτι μετὰ λεκτικίου ἔρχεται ἢ μετά τινος φαντασίας ὁ ἐπίσκοπος, οὐκ

80. Βλ. Ε ὑποσημ. 56 σελ. 202.

81. Ἡ ἀρχαία λέξη λεκτίκιον προέρχεται ἀπό τή λατινική λέξη lectica πού σημαίνει τή φορητή κλίνη ἤ τό φορεῖο. Τό λεκτίκιον εἶναι ἀρχαιοτάτης ἀνατολικῆς ἐπινοήσεως καί ἦταν θρόνος πάνω στόν ὁποῖο καθόταν ἤ ξάπλωνε τό ἀριστοκρατικό πρόσωπο καί μεταφερόταν ἀπό τούς δούλους πάνω


92. Σέ κάποια πόλη ἦταν ἕνας ἐπίσκοπος καί συνέβη νά ἀρρωστήσει βαριά, ὥστε ὅλοι νά τόν ξεγράψουν. Ἐκεῖ κοντά ὑπῆρχε ἕνα μοναστήρι γυναικεῖο. Ἡ ἡγουμένη ὅταν πληροφορήθηκε ὅτι ὁ ἐπίσκοπος δέν ἔχει μέρες ζωῆς, πῆρε μαζί της δύο ἀδελφές καί πῆγε νά τόν ἐπισκεφθεῖ. Καί καθώς μιλοῦσε μαζί της ὁ ἐπίσκοπος, μιά ἀπό τίς ὑποτακτικές της πού στεκόταν ἐκεῖ, ἔπιασε τό πόδι του θέλοντας νά δεῖ πῶς εἶναι ἡ κατάστασή του. Αὐτός ὅμως ἀπό τήν ἁφή ἔνιωσε πειρασμό μεγάλο μέσα του καί παρακάλεσε τήν ἡγουμένη λέγοντάς της: «Δέν ἐξυπηρετοῦμαι ἀπό τούς γύρω μου ἀνθρώπους. Κάνε μου τή χάρη νά μοῦ ἀφήσεις ἐδῶ τήν ἀδελφή αὐτή γιά νά μέ ὑπηρετεῖ». Ἡ ἡγουμένη χωρίς νά βάλει τίποτε τό πονηρό στό μυαλό της, τήν ἄφησε. Ἐνισχυμένος λοιπόν ὁ ἐπίσκοπος ἀπό τόν διάβολο τῆς λέει κάποια στιγμή: «Μαγείρεψέ μου λίγο φαγητό νά φάω». Ἐκείνη τοῦ μαγείρεψε. Καί ἀφοῦ ἔφαγε, τῆς λέει: «Κοιμήσου μαζί μου» καί ἔκανε τήν ἁμαρτία.

Ὅταν λοιπόν ἔγινε γνωστό ὅτι κυοφορεῖ, τήν ἔπιασαν οἱ κληρικοί καί τῆς εἶπαν: «Πές μας ποιός σέ κατέστησε ἔγκυο». Αὐτή ὅμως δέν ἤθελε νά τό ὁμολογήσει. Τότε ὁ ἐπίσκοπος εἶπε: «Ἀφῆστε την, γιατί ἐγώ εἶμαι πού ἔκανα τήν ἁμαρτία αὐτή». Καί μόλις σηκώθηκε ἀπό τήν ἀρρώστια, μπῆκε στήν ἐκκλησία καί κατέθεσε τό ὠμοφόριό του πάνω στό θυσιαστήριο. Βγῆκε κατόπιν, πῆρε ἕνα ραβδί στό χέρι καί ξεκίνησε γιά κάποιο μοναστήρι στό ὁποῖο δέν ἦταν γνωστός. Ὅμως ὁ ἀββᾶς τοῦ κοινοβίου ἐπειδή ἦταν διορατικός[80], γνώριζε ὅτι πρόκειται νά ἔρθει ἐπίσκοπος στή μονή καί παρήγγειλε στόν ἀδελφό: «Ἔχε τό νοῦ σου, ἀδελφέ, γιατί πρόκειται νά καταφθάσει ἕνας ἐπίσκοπος». Περιμένοντας ὅμως ὁ θυρωρός ὅτι θά ἔρθει πάνω σέ θρόνο[81] καί

στούς ὤμους τους.

ἐνόησε τὸ πρᾶγμα. Ἐξελθὼν οὖν ὁ ἀββᾶς εἰς ἐπίσκεψιν αὐτοῦ ἠσπάσατο αὐτὸν λέγων· Καλῶς ἦλθες, κύρι, ὁ ἐπίσκοπος. Ὁ δὲ ἐνεὸς γενόμενος ὡς ἐγνώσθη, ἠθέλησε φυγεῖν εἰς ἕτερον μοναστήριον. Λέγει οὖν αὐτῷ ὁ ἀββᾶς ὅτι· Ὅπου ἐὰν ἀπέλθῃς, μετὰ σοῦ ἔρχομαι. Καὶ παρακαλέσας αὐτὸν πολλὰ εἰσήνεγκεν αὐτὸν εἰς τὴν μονήν. Μετανοήσας οὖν ἐν ἀληθείᾳ καὶ πολλῇ καρδίας ζέσει ἐτελεύτησε καὶ ἀπεδήμησε πρὸς Θεὸν ἐν εἰρήνῃ, ὥστε πολλὰ σημεῖα γενέσθαι ἐν τῇ ἐξόδῳ τῆς ψυχῆς αὐτοῦ.

Τέλος τῆς περὶ πορνείας πραγματείας.




Ποταμός Κισών - Κοιλάδα καλαμιῶν

μέ κάποια πομπή ὁ ἐπίσκοπος, δέν τόν κατάλαβε ὅταν ἦρθε. Βγῆκε λοιπόν ὁ ἀββᾶς νά τόν ὑποδεχθεῖ καί τόν ἀσπάσθηκε λέγοντας: «Καλῶς ἦλθες, ἀφέντη ἐπίσκοπε». Ἐκεῖνος ἔχασε τή λαλιά του, σάν εἶδε ὅτι ἔγινε γνωστός καί θέλησε νά φύγει γιά ἄλλο μοναστήρι. Ἀλλά ὁ ἀββᾶς τοῦ εἶπε: «Ὅπου κι ἄν πᾶς, θά ἔρθω μαζί σου». Καί παρακαλώντας τον πολύ, τόν ἔφερε μέσα στό μοναστήρι.

Ἀφοῦ λοιπόν μετανόησε ἀληθινά καί μέ πολλή ζέση ψυχῆς, πέθανε καί ἀπεδήμησε πρός τόν Θεό εἰρηνικά, καί κατά τήν ἔξοδο τῆς ψυχῆς του ἔγιναν πολλά θαυμαστά σημεῖα.

Τέλος τῆς πραγματείας περί πορνείας.





Ἀπόσπασμα ἀπό τόν χειρόγραφο κώδικα Coislin 108 (11ος αἰ.)

ΚΕΦΑΛΑΙΟ ΣΤ΄

«Θησαυρός ἐστι μοναχοῦ ἡ ἑκούσιος ἀκτημοσύνη. Θησαύρισον, ἀδελφέ, ἐν οὐρανῷ· ἀπέραντοι γὰρ τῆς ἀναπαύσεως οἱ αἰῶνες».

(Ἀββᾶς Ὑπερέχιος)

Περὶ ἀκτημοσύνης, ἐν ᾧ δεῖ καὶ τὴν πλεονεξίαν φυλάττεσθαι

Ἀδελφὸς ἀποταξάμενος τῷ κόσμῳ καὶ διαδοὺς τὰ ὑπάρχοντα αὐτοῦ πτωχοῖς, παρακατασχὼν δὲ ὀλίγα εἰς λόγον ἑαυτοῦ, παραβάλλει τῷ ἀββᾷ Ἀντωνίῳ· καὶ τοῦτο μαθὼν λέγει αὐτῷ ὁ Γέρων· Εἰ θέλεις μοναχὸς γενέσθαι, ἄπελθε εἰς τήνδε τὴν κώμην καὶ ἀγόρασον κρέας καὶ περίθες τῷ σώματί σου γυμνῷ καὶ οὕτως ἐλθὲ ἐνταῦθα. Καὶ ποιήσαντος οὕτω τοῦ ἀδελφοῦ, οἱ κύνες καὶ τὰ ὄρνεα τὸ σῶμα αὐτοῦ κατέτεμνον. Ἀπαντήσαντος δὲ αὐτοῦ πρὸς τὸν Γέροντα ἐπύθετο εἰ γέγονεν ὡς συνεβούλευσεν. Ἐκείνου δὲ ἐπιδεικνυμένου τὸ σῶμα ἐσπαραγμένον, λέγει ὁ ἅγιος Ἀντώνιος· Οἱ ἀποταξάμενοι τῷ κόσμῳ καὶ θέλοντες ἔχειν χρήματα, οὕτως ὑπὸ τῶν δαιμόνων κατακόπτονται πολεμούμενοι.

2. Ἠσθένησέ ποτε ὁ ἀββᾶς Ἀρσένιος ἐν Σκήτει καὶ ἔχρῃζεν εἰς πρᾶγμα ἕως ἑνὸς λινοῦ καὶ μὴ ἔχων ὅθεν ἀγοράσῃ ἔλαβε παρά τινος ἀγάπην καὶ εἶπεν· Εὐχαριστῶ σοι, Κύριε, ὅτι ἠξίωσάς με λαβεῖν ἀγάπην διὰ τὸ ὄνομά σου.

3. Ἠρώτησεν ὁ ἀββᾶς Μᾶρκος τὸν ἀββᾶν Ἀρσένιον

Περί ἀκτημοσύνης. Παράλληλα πρέπει νά φυλαγόμαστε καί ἀπό τήν πλεονεξία

Κάποιος ἀδελφός πού ἀπαρνήθηκε τόν κόσμο, μοίρασε τά ὑπάρχοντά του στούς φτωχούς, κράτησε ὅμως λίγα γιά τόν ἑαυτό του καί πῆγε στόν ἀββᾶ Ἀντώνιο*. Ὅταν τό 'μαθε αὐτό ὁ Γέροντας τοῦ λέει: «Ἐάν θέλεις νά γίνεις μοναχός, πήγαινε στό τάδε χωριό, ἀγόρασε κρέας, τύλιξέ το στό σῶμα σου γυμνό καί ἔλα κατόπιν ἐδῶ».

Ἔκανε ὁ ἀδελφός ὅπως τοῦ ὑπέδειξε, ἀλλά τά σκυλιά καί τά πουλιά ξέσχιζαν τό σῶμα του. Ὅταν γύρισε στόν Γέροντα, τόν ρώτησε νά μάθει ἐάν ἔγιναν τά πράγματα ὅπως τόν συμβούλεψε. Καί καθώς ἐκεῖνος τοῦ ἔδειχνε τό καταξεσχισμένο σῶμα του, τοῦ λέει ὁ ἅγιος Ἀντώνιος: «Ἐκεῖνοι πού ἀπαρνοῦνται τόν κόσμο καί θέλουν νά ἔχουν χρήματα, ἔτσι κατακόπτονται ἀπό τούς δαίμονες πού τούς πολεμοῦν».

2. Ἀρρώστησε κάποτε ὁ ἀββᾶς Ἀρσένιος* στή Σκήτη καί τοῦ χρειαζόταν κάτι πού ἦταν μικρῆς ἀξίας ἀλλά, ἐπειδή δέν εἶχε τρόπο νά τό ἀγοράσει, δέχθηκε ἀπό κάποιον ἐλεημοσύνη καί εἶπε: «Σ' εὐχαριστῶ, Κύριε, γιατί μέ ἔκανες ἄξιο νά δεχθῶ ἐλεημοσύνη γιά τό ὄνομά σου».

3. Ρώτησε ὁ ἀββᾶς Μάρκος τόν ἀββᾶ Ἀρσένιο: «Εἶναι

λέγων· Καλὸν τὸ μὴ ἔχειν τινὰ ἐν τῷ κελλίῳ αὐτοῦ παράκλησιν; Εἶδον γὰρ ἀδελφόν τινα ἔχοντα μικρὰ λάχανα καὶ ἐκριζοῦντα αὐτά. Καὶ εἶπεν ὁ ἀββᾶς Ἀρσένιος· Καλὸν μέν ἐστιν ἀλλὰ πρὸς τὴν ἕξιν τοῦ ἀνθρώπου· ἐὰν γὰρ μὴ ἔχῃ ἰσχὺν ἐν τῷ τοιούτῳ τρόπῳ, πάλιν φυτεύει ἄλλα.

4. Διηγήσατο ὁ ἀββᾶς Δανιὴλ περὶ τοῦ ἀββᾶ Ἀρσενίου ὅτι ἦλθε ποτὲ μαγιστριανὸς φέρων αὐτῷ διαθήκην τινὸς συγκλητικοῦ συγγενοῦς αὐτοῦ ὃς κατέλιπεν αὐτῷ κληρονομίαν πολλὴν σφόδρα. Καὶ λαβὼν αὐτὴν ἤθελε σχίσαι. Ἔπεσε δὲ ὁ μαγιστριανὸς εἰς τοὺς πόδας αὐτοῦ λέγων· Δέομαί σου μὴ σχίσῃς αὐτήν, ἐπεὶ αἴρεταί μου ἡ κεφαλή. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ἀρσένιος· Ἐγὼ πρὸ ἐκείνου ἀπέθανον, αὐτὸς δὲ ἄρτι ἀπέθανε. Καὶ ἀπεπέμψατο αὐτὴν μηδὲν δεξάμενος.

5. Διηγήσαντο περὶ τοῦ ἀββᾶ Ἀγάθωνος ὅτι ἔμεινε χρόνον ἱκανὸν οἰκοδομῶν κελλίον μετὰ τῶν μαθητῶν αὐτοῦ. Καὶ τελειωσάντων αὐτῶν τὸ κελλίον ἦλθον λοιπὸν τοῦ καθίσαι. Εἶδε δὲ εἰς τὴν πρώτην ἑβδομάδα πρᾶγμα μὴ ὠφελοῦν αὐτοὺς καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. Ἐταράχθησαν δὲ σφόδρα λέγοντες· Εἰ ὅλως λογισμὸν εἶχες τοῦ μεταβῆναι, τί τοσοῦτον κόπον ὑπεμείναμεν οἰκοδομοῦντες τὸ κελλίον καὶ μέλλουσι πάλιν

1. "Παράκληση" (= παρηγοριά) χαρακτηρίζεται συχνά στά ἀσκητικά κείμενα τό φαγητό, γενικά τά τρόφιμα· γιατί μέσα στήν ἔνταση τοῦ ἀνελέητου πολλές φορές προσωπικοῦ ἀγώνα καί στόν ἐστερημένο ὑλικά βίο τῆς πτωχείας καί ἐγκρατείας, τό ἀγαθό αὐτό τοῦ Θεοῦ πρός τόν πεπτωκότα φυσικό ἄνθρωπο ὁ ἀσκητής τό βιώνει ἴσως σάν ξετέντωμα τοῦ «τόξου» τῆς ψυχῆς, σάν μιά παρηγοριά, παρά τό γεγονός ὅτι ἡ ἐπαγρύπνηση πρός ἐγκράτειαν δέν ἀπουσιάζει οὔτε αὐτή τήν ὥρα.

καλό νά μήν ἔχει κανείς στό κελί του κάποια "παρηγοριά[1]"; Γιατί εἶδα κάποιον ἀδελφό πού εἶχε λίγα λαχανικά καί τά ξερίζωνε». Καί ὁ ἀββᾶς Ἀρσένιος εἶπε: «Εἶναι καλό, ἀλλά ἐξαρτᾶται ἀπό τήν κράση τοῦ ἀνθρώπου· γιατί ἐάν δέν ἔχει δύναμη γιά τέτοιο τρόπο ζωῆς, θά ξαναφυτέψει ἄλλα».

4. Διηγήθηκε ὁ ἀββᾶς Δανιήλ* γιά τόν ἀββᾶ Ἀρσένιο ὅτι ἦλθε κάποτε ἕνας μαγιστριανός[2] καί τοῦ 'φερε διαθήκη ἑνός συγγενῆ του συγκλητικοῦ πού τοῦ ἄφησε μιά κληρονομιά τεράστια. Τήν πῆρε στά χέρια του καί ἐπρόκειτο νά τή σχίσει. Ἔπεσε τότε στά πόδια του ὁ ἀξιωματοῦχος καί τοῦ 'πε: «Σέ παρακαλῶ μή τή σχίσεις, γιατί θά μοῦ πάρουν τό κεφάλι». Τοῦ λέει τότε ὁ ἀββᾶς Ἀρσένιος: «Ἐγώ πέθανα πρίν ἀπ' ἐκεῖνον, ἐνῶ αὐτός μόλις τώρα». Καί ἔστειλε πίσω τή διαθήκη χωρίς νά δεχθεῖ τίποτε ἀπολύτως.

5. Διηγοῦνταν γιά τόν ἀββᾶ Ἀγάθωνα* ὅτι κάποτε μαζί μέ τούς μαθητές του ἔκανε ἀρκετό χρόνο γιά νά χτίσει ἕνα κελί. Καί ὅταν τελείωσε τό χτίσιμο, ἦρθαν νά μείνουν στό κελί. Εἶδε ὅμως ἀπό τήν πρώτη ἑβδομάδα κάτι πού δέν τούς ὠφελοῦσε καί εἶπε στούς μαθητές του: «Σηκωθεῖτε νά φύγουμε ἀπό 'δῶ». Ἐκεῖνοι ταράχθηκαν πολύ καί εἶπαν: «Ἐάν εἶχες ἀπ' τήν ἀρχή τέτοιο λογισμό νά πᾶμε ἀλλοῦ, γιατί κάναμε τόσο κόπο νά χτίσουμε τό κελί; Καί πάλι θά

2. Μαγιστριανοί: Αὐτοί πού ἀνῆκαν στήν ὑπηρεσία τοῦ μαγίστρου καί διεκπεραίωναν ὡς δημόσιοι λειτουργοί διάφορες ὑπηρεσίες πού τούς ἀνέθεταν, ὅπως ἐδῶ στό ἀπόφθεγμα βλέπουμε νά κάνει τόν κομιστή τοῦ ἐγγράφου τῆς διαθήκης. Καί ὁ μάγιστρος ἦταν ἀξιωματοῦχος τῆς αὐτοκρατορικῆς αὐλῆς μέ πολλές δικαιοδοσίες κατά τούς πρώτους αἰῶνες τοῦ Βυζαντίου.

οἱ ἄνθρωποι σκανδαλισθέντες εἰς ἡμᾶς λέγειν· Ἰδοὺ μετέβησαν πάλιν οἱ ἀκάθιστοι. Ἰδὼν δὲ αὐτοὺς ὀλιγοψυχοῦντας λέγει αὐτοῖς· Εἰ καὶ σκανδαλίζονταί τινες, ἀλλὰ πάλιν οἰκοδομηθήσονται ἕτεροι λέγοντες· Μακάριοι οἱ τοιοῦτοι, ὅτι διὰ τὸν Θεὸν μετέβησαν καὶ πάντων κατεφρόνησαν. Πλὴν ὁ θέλων ἐλθεῖν ἔλθῃ, ἐγὼ τέως ὑπάγω. Ἔβαλον οὖν ἑαυτοὺς εἰς τὸ ἔδαφος ἀξιοῦντες ἕως οὗ συγχωρηθῶσιν σὺν αὐτῷ ὁδεῦσαι.

6. Εἶπον πάλιν ὅτι πολλάκις μετέβη ἔχων τὴν σμίλην αὐτοῦ μόνην εἰς τὸ μαννάδιν.

7. Ἀδελφὸς ἦλθε πρὸς τὸν ἀββᾶν Ἀγάθωνα λέγων· Ἔασόν με οἰκεῖν μετὰ σοῦ. Ἐρχόμενος δὲ ἐν τῇ ὁδῷ εὗρε μικρὸν νίτρον καὶ ἤνεγκεν αὐτὸ καὶ λέγει ὁ Γέρων· Πόθεν εὗρες τὸ νίτρον; Λέγει ὁ ἀδελφός· Ἐν τῇ ὁδῷ εὗρον αὐτὸ περιπατῶν καὶ ἔλαβον αὐτό. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ μετ' ἐμοῦ ἦλθες οἰκῆσαι, ὃ οὐκ ἔθηκας πῶς εἴληφας; Καὶ ἔπεμψεν αὐτὸν ἀπενεγκεῖν ὅθεν εἴληφεν αὐτό.

8. Ἔλεγον περὶ τοῦ ἀββᾶ Γελασίου ὅτι ἐν νεότητι τὸν ἀκτήμονα βίον καὶ ἀναχωρητικὸν μετήρχετο. Ἦσαν δὲ κατ' αὐτὸν τὸν καιρὸν καὶ ἄλλοι πλεῖστοι κατὰ τοὺς αὐτοὺς τόπους τὸν αὐτὸν βίον αὐτῷ συνασπαζόμενοι. Ἐν οἷς καὶ Γέρων τις ἦν εἰς ἄκρον ἁπλούστατος καὶ ἀκτήμων ἐν μονο-

3. Ἀκτήμων βίος χαρακτηρίζεται ἐδῶ ἡ ζωή τοῦ μοναχοῦ, πού δέν ἔχει στήν κατοχή του ὑλικά ἀγαθά παρά μόνο τά ἐντελῶς ἀπαραίτητα γιά τή

σκανδαλισθοῦν οἱ ἄνθρωποι μαζί μας καί θά ποῦν: Νά, φύγαν πάλι οἱ ἀκάθιστοι».

Βλέποντάς τους νά λιποψυχοῦν τούς λέει: «Κι ἄν κάποιοι σκανδαλισθοῦν, ἄλλοι ὅμως θά οἰκοδομηθοῦν καί θά ποῦν: Καλότυχοι αὐτοί πού χάριν τοῦ Θεοῦ τά κατεφρόνησαν ὅλα καί πῆγαν ἀλλοῦ. Ἀλλά ὅποιος θέλει νά ρθεῖ ἄς ἔρθει, ἐγώ πάντως φεύγω». Ἔπεσαν ὅλοι τότε μέ τό πρόσωπο στή γῆ παρακαλώντας τον νά τούς ἐπιτρέψει νά τόν ἀκολουθήσουν.

6. Εἶπαν ἀκόμη γι' αὐτόν ὅτι πολλές φορές πῆγε ἀπό ἕνα τόπο σέ ἄλλον ἔχοντας τό κοπίδι μόνο μέσα στό καλάθι του.

7. Πῆγε κάποιος ἀδελφός στόν Ἀγάθωνα καί τοῦ 'πε: «Ἄφησέ με νά μένω μαζί σου». Καθώς ὅμως πήγαινε βρῆκε στό δρόμο ἕνα κομμάτι νίτρο καί τό 'φερε αὐτό. Καί ὁ Γέροντας τόν ρώτησε: «Ἀπό ποῦ βρῆκες τό νίτρο;» «Στό δρόμο —εἶπε ὁ ἀδελφός— τό βρῆκα καθώς περπατοῦσα, καί τό πῆρα». Τοῦ λέει τότε ὁ Γέροντας: «Ἐάν ἦλθες νά κατοικήσεις μαζί μου, αὐτό πού δέν τό ἔβαλες ἐσύ ἐκεῖ, πῶς τό πῆρες;» Καί τόν ἔστειλε νά τό πάει στό μέρος ἀπ' ὅπου τό εἶχε πάρει.

8. Ἔλεγαν γιά τόν ἀββᾶ Γελάσιο ὅτι νέος ἀκόμη ἀκολούθησε τόν ἀκτήμονα[3] καί ἀναχωρητικό βίο. Τόν ἴδιο καιρό ἦταν καί πολλοί ἄλλοι πού στόν ἴδιο τόπο ἀσπάσθηκαν μαζί του τόν ἴδιο τρόπο ζωῆς. Ἀνάμεσα σ' αὐτούς ἦταν καί ἕνας Γέροντας ἁπλός στό ἔπακρον καί ἀκτήμων,

συντήρησή του. Ἀναχωρητικός βίος λέγεται ἐπίσης ὁ βίος τοῦ μοναχοῦ, πού ἀναχωρεῖ ἀπό τόν κόσμο, καί εἰδικότερα τοῦ ἐρημίτη.

κελλίῳ οἰκήσας ἄχρι τελευτῆς, καίπερ μαθητὰς ἐσχηκὼς ἐν τῷ γήρᾳ αὐτοῦ. Καὶ οὗτος ἤσκησε τὸ μὴ κτήσασθαι δύο χιτῶνας μηδὲ μεριμνῆσαι περὶ τῆς αὔριον μετὰ τῶν συνόντων αὐτῷ μέχρι θανάτου. Καὶ δὴ ὅτε συνέβη τὸν ἀββᾶν Γελάσιον ἐκ θείας ἐνεργείας συστήσασθαι τὸ κοινόβιον, προσέφερον αὐτῷ χωρία πολλά, ἐκτήσατο δὲ καὶ τὰ πρὸς χρείαν τοῦ κοινοβίου κτήνη ἀχθοφόρα καὶ βόας. Ὁ γὰρ χρηματίσας τῷ θείῳ Παχωμίῳ ἐν πρώτοις κοινόβιον συστήσασθαι καὶ τούτῳ συνήργει εἰς τὴν πᾶσαν τοῦ μοναστηρίου σύστασιν.

Ἐν τούτοις οὖν βλέπων αὐτὸν ὁ προειρημένος Γέρων καὶ γνησίαν σῴζων πρὸς αὐτὸν ἀγάπην ἔλεγεν αὐτῷ· Φοβοῦμαι, ἀββᾶ Γελάσιε, μὴ δεθῇ ὁ λογισμός σου εἰς τὰ χωρία καὶ τὴν λοιπὴν κτῆσιν τοῦ κοινοβίου. Ὁ δὲ πρὸς αὐτόν· Δέδεται μᾶλλον ὁ λογισμός σου εἰς τὸ κεντωνάριον ἐν ᾧ ἐργάζῃ ἢ ὁ λογισμὸς Γελασίου εἰς τὴν κτῆσιν.

9. Ἔλεγόν τινες τῶν Γερόντων περὶ τοῦ ἀββᾶ Γεωργίου τοῦ ἀναχωρητοῦ ὅτι τριάκοντα πέντε ἔτη ἐποίησε γυμνὸς περιερχόμενος τὰς ἐρήμους.

10. Εἶπεν ὁ ἀββᾶς Εὐπρέπιος ὅτι· Τὰ σωματικὰ ὕλη εἰσίν. Ὁ ἀγαπῶν τὸν κόσμον ἀγαπᾷ προσκόμματα. Εἴπερ οὖν συμβῇ τίποτε ἀπολέσθαι, τοῦτο μετὰ χαρᾶς καὶ ἐξομο-

4. Ματθ. 6, 34· 10, 10.

5. Κεντωνάριον: ροῦχο ραμμένο ἀπό παλιά κουρέλια. Λόγω ἀνέχειας ἔφτιαχναν τέτοια ροῦχα οἱ μοναχοί. Στό ἀλφαβητικό Γεροντικό καθώς καί σέ νεώτερο Κώδ. (Σιναϊτικός 454) ἀντί τῆς λ. κεντωνάριον ὑπάρχει ἡ λ. κεντητήριον (= βελόνι, σουβλί). Ἐάν δεχθοῦμε τή γραφή αὐτή, τό νόημα ἐλαφρῶς ἀλλάζει: μπορεῖ νά δεθεῖ ὁ λογισμός σου στό βελόνι (ἤ στό σουβλί) μέ τό ὁποῖο ἐργάζεσαι. Προτιμήσαμε νά κρατήσουμε τή γραφή τῶν παλαιοτέρων χειρογράφων.

πού ἔμενε μέχρι τόν θάνατό του σέ ξεμοναχιασμένο κελί, ἄν καί στά γεράματά του ἀπέκτησε μαθητές. Καί αὐτός μέχρι τόν θάνατό του τήρησε μαζί μέ τούς συμμοναστές του τήν ἐντολή νά μήν ἀποκτήσουν δύο χιτῶνες οὔτε νά μεριμνήσουν γιά τήν αὔριο[4].

Ὅταν λοιπόν συνέβη ἀπό θεϊκή συνεργία νά συστήσει ὁ ἀββᾶς Γελάσιος τό κοινόβιο, τοῦ πρόσφεραν κτήματα πολλά. Ἀπέκτησε μάλιστα γιά τίς ἀνάγκες τοῦ κοινοβίου ὑποζύγια καί βόδια. Γιατί Αὐτός πού ἀποκάλυψε τή θέλησή του στόν θεῖο Παχώμιο* γιά νά συστήσει τό πρῶτο κοινόβιο, στάθηκε συνεργός καί στόν Γελάσιο γιά τήν πλήρη ὀργάνωση τοῦ μοναστηριοῦ.

Βλέποντάς τον λοιπόν ὁ παραπάνω Γέροντας μέσα σ' αὐτές τίς ἀσχολίες καί ἐπειδή διατηροῦσε γνήσια ἀγάπη πρός αὐτόν, τοῦ εἶπε: «Φοβᾶμαι, ἀββᾶ Γελάσιε, μήν προσκολληθεῖ ὁ λογισμός σου στά κτήματα καί στήν ὑπόλοιπη περιουσία τοῦ κοινοβίου». Κι ἐκεῖνος ἀπάντησε: «Εὐκολότερα μπορεῖ νά δεθεῖ ὁ λογισμός σου στό κεντωνάριο[5] πού ράβεις, ἀπ' ὅ,τι ὁ λογισμός τοῦ Γελασίου στά κτήματα».

9. Ἔλεγαν κάποιοι Γέροντες γιά τόν ἀββᾶ Γεώργιο* τόν ἀναχωρητή ὅτι τριανταπέντε χρόνια ἔκανε περπατώντας μέσα στίς ἐρήμους γυμνός.

10. Εἶπε ὁ ἀββᾶς Εὐπρέπιος: «Τά σωματικά ἀγαθά εἶναι ὑλικά. Αὐτός πού ἀγαπάει τόν κόσμο, ἀγαπάει ἐμπόδια. Ἄν λοιπόν συμβεῖ νά χαθεῖ κάτι, πρέπει νά τό δεχό-

λογήσεως δέχεσθαι χρὴ ὡς φροντίδων ἀπαλλαγέντα.

11. Ὁ ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης ἐκτήσατο τρία βιβλία καλά. Καὶ παραβάλλει τῷ ἀββᾷ Μακαρίῳ λέγων ὅτι· Ἔχω τρία βιβλία καλὰ καὶ ὠφελοῦμαι ἐξ αὐτῶν καὶ οἱ ἀδελφοὶ κιχρῶνται αὐτὰ καὶ ὠφελοῦνται. Εἰπὲ οὖν μοι τί ὀφείλω ποιῆσαι; Κατάσχω αὐτὰ εἰς τὴν ἐμὴν καὶ τῶν ἀδελφῶν ὠφέλειαν ἢ πωλήσω αὐτὰ καὶ δώσω πτωχοῖς; Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν αὐτῷ· Καλαὶ μὲν αἱ πράξεις, ἀλλὰ μείζω πάντων ἡ ἀκτημοσύνη ἐστίν. Καὶ τοῦτο ἀκούσας ἀπελθὼν ἐπώλησεν αὐτὰ καὶ διέδωκε πτωχοῖς.

12. Εἶπεν ὁ ἀββᾶς Ἰσίδωρος· Ὁ δεινὸς καὶ πάντολμος τῆς φιλοχρηματίας ἔρως κόρον οὐκ εἰδὼς ἐπὶ τὸ ἔσχατον τῶν κακῶν τὴν ἁλοῦσαν ψυχὴν ἐλαύνει. Οὐκοῦν μάλιστα αὐτὸν ἐν προοιμίοις ἐλάσωμεν, κρατήσας γὰρ ἀχείρωτος ἔσται.

13. Ἔλεγεν ὁ ἀββᾶς Ἰσαὰκ τοῖς ἀδελφοῖς ὅτι· Οἱ Πατέρες ἡμῶν καὶ ὁ ἀββᾶς Παμβὼ παλαιὰ πολύρραφα ἱμάτια ἐφόρουν καὶ σεβένινα, νῦν δὲ πολύτιμα φορεῖτε. Ὑπάγετε ἔνθεν, ἠρημώσατε τὰ ὧδε. Ὅτε δὲ ἔμελλον ὑπάγειν εἰς τὸ θέρος ἔλεγεν αὐτοῖς· Οὐκέτι ἡμῖν παρέχω ἐντολάς, οὐ φυλάσσετε γάρ.

14. Διηγήσατό τις τῶν Πατέρων ὅτι ἦλθέ τίς ποτε τῶν

6. Σίβινο ἤ σέβινο ἦταν ἶνες ἀπό φύλλα φοινικιᾶς πού κατασκεύαζαν σχοινιά, ψάθες, σκοῦπες καί ἄλλα. Τά ροῦχα πού ὑφαίνονταν μέ σίβινο ἦταν

μαστε μέ χαρά καί εὐγνωμοσύνη, γιατί ἀπαλλαχτήκαμε ἀπό φροντίδες».

11. Ὁ ἀββᾶς Θεόδωρος τῆς Φέρμης* εἶχε ἀποκτήσει τρία βιβλία ὠφέλιμα. Πάει λοιπόν στόν ἀββᾶ Μακάριο καί τοῦ λέει: «Ἔχω τρία βιβλία καλά καί ὠφελοῦμαι ἀπ' αὐτά· ἀλλά καί οἱ ἀδελφοί τά χρησιμοποιοῦν καί ὠφελοῦνται. Πές μου ὅμως τί ὀφείλω νά κάνω. Νά τά κρατήσω γιά τήν ὠφέλεια τή δική μου καί τῶν ἀδελφῶν ἤ νά τά πουλήσω καί νά δώσω τά χρήματα στούς φτωχούς;» Ὁ Γέροντας τοῦ ἀπάντησε: «Καλές εἶναι οἱ ἀγαθές πράξεις, ἀλλά ἀνώτερο ἀπ' ὅλα εἶναι ἡ ἀκτημοσύνη». Μετά ἀπ' αὐτά πού ἄκουσε, πῆγε, τά πούλησε καί μοίρασε τά χρήματα στούς φτωχούς.

12. Εἶπε ὁ ἀββᾶς Ἰσίδωρος*: «Ὁ φοβερός καί παράτολμος πόθος τῆς φιλοχρηματίας δέν γνωρίζει χόρταση. Γι' αὐτό τήν ψυχή πού αἰχμαλωτίζει, τήν ὁδηγεῖ στήν πιό μεγάλη συμφορά. Ἐκεῖνο λοιπόν πού χρειάζεται εἶναι νά τόν διώξουμε, ὅταν πάει νά ξεκινήσει· γιατί ἐάν μᾶς κυριεύσει, εἶναι ἀκατανίκητος».

13. Ἔλεγε ὁ ἀββᾶς Ἰσαάκ στούς ἀδελφούς: «Οἱ Πατέρες μας καί ὁ ἀββᾶς Παμβώ* φοροῦσαν παλιά χιλιομπαλωμένα ροῦχα καί ἀπό σέβινο[6], ἐνῶ ἐσεῖς τώρα φορᾶτε πολυτελῆ ροῦχα. Φύγετε ἀπ' ἐδῶ· χαλάσατε τόν τόπο αὐτό». Κι ὅταν ἦταν νά πᾶν στό θέρος τούς ἔλεγε: «Δέν σᾶς δίνω πιά ἐντολές, γιατί δέν τίς κρατᾶτε».

14. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες ὅτι κάποτε,

τραχιά καί τά χρησιμοποιοῦσαν οἱ μοναχοί γιά ἄσκηση.

ἀδελφῶν φορῶν μικρὸν κουσούλιον εἰς τὴν ἐκκλησίαν τῶν Κελλίων ἐπὶ τοῦ ἀββᾶ Ἰσαάκ. Καὶ ἐδίωξεν αὐτὸν ὁ Γέρων λέγων ὅτι· Τὰ ὧδε μοναχῶν ἐστι, σὺ δὲ κοσμικὸς ὢν οὐ δύνασαι μεῖναι ὧδε.

15. Εἶπεν ὁ ἀββᾶς Ἰσαὰκ ὅτι ἔλεγεν ὁ ἀββᾶς Παμβὼ ὅτι τοιοῦτον ὀφείλει ὁ μοναχὸς φορεῖν ἱμάτιον, ὥστε βάλλειν αὐτὸ ἔξω τοῦ κελλίου ἐπὶ τρεῖς ἡμέρας καὶ μηδεὶς λάβῃ αὐτό.

16. Εἶπεν ὁ ἀββᾶς Ἰσίδωρος· Εἰ Βασιλείας Οὐρανῶν ἐρᾷς, χρημάτων καταφρόνει καὶ τῆς θείας ἀμοιβῆς ἀντιποιοῦ.

17. Εἶπε πάλιν· Ζῆσαί σε κατὰ Θεὸν ἀδύνατόν ἐστι φιλήδονον ὄντα καὶ φιλάργυρον.

18. Διηγήσατό τις τῶν Πατέρων περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ Πέρσου ὅτι ἐκ τῆς πολλῆς αὐτοῦ χάριτος εἰς βαθυτάτην ἤλασεν ἀκακίαν. Οὗτος δὲ ἔμενεν ἐν Ἀραβίᾳ τῆς Αἰγύπτου. Ἐχρήσατο δέ ποτε παρὰ ἀδελφοῦ ἓν χρύσινον καὶ ἠγόρασε λινάρια, ἵνα ἐργάσηται. Καὶ ἦλθεν ἀδελφὸς παρακαλῶν αὐτὸν καὶ λέγων· Χάρισαί μοι, ἀββᾶ, ὀλίγα λινάρια, ἵνα ποιήσω ἐμαυτῷ λεβήτωνα. Καὶ ἔδωκεν αὐτῷ μετὰ χαρᾶς. Ὁμοίως δὲ καὶ ἄλλος ἦλθε παρακαλῶν αὐτόν· Δός μοι ὀλίγα λινάρια, ἵνα ποιήσω μου λέντιον. Ἔδωκε δὲ

7. Κουσούλιον ἦταν μανδύας κοντός πού τόν φοροῦσαν λαϊκοί. Ἄλλα χειρόγραφα ἔχουν τή λέξη κουκούλιον, ἀλλά ἡ λέξη αὐτή δέν δίνει νόημα μέ

παρόντος τοῦ ἀββᾶ Ἰσαάκ, ἦρθε στήν ἐκκλησία τῶν Κελλίων ἕνας ἀδελφός πού φοροῦσε ἕναν κοντό μανδύα[7]. Καί ὁ Γέροντας τόν ἔδιωξε λέγοντάς του: «Αὐτός ὁ τόπος ἀνήκει στούς μοναχούς. Ἀλλά ἐσύ εἶσαι κοσμικός καί δέν μπορεῖς νά μείνεις ἐδῶ».

15. Εἶπε ὁ ἀββᾶς Ἰσαάκ ὅτι ὁ ἀββᾶς Παμβώ ἔλεγε: «Ὁ μοναχός πρέπει νά φοράει τέτοιο ροῦχο, ὥστε νά τό ρίξει ἔξω ἀπ᾽ τό κελί του τρεῖς μέρες καί κανείς νά μήν τό πάρει».

16. Εἶπε ὁ ἀββᾶς Ἰσίδωρος: «Ἐάν ἐπιθυμεῖς τή Βασιλεία τῶν Οὐρανῶν, νά καταφρονεῖς τά χρήματα καί ἀντί αὐτῶν νά ἐπιδιώκεις τή θεϊκή ἀμοιβή».

17. Εἶπε ἐπίσης: «Εἶναι ἀδύνατο νά ζήσει κανείς σύμφωνα μέ τό θέλημα τοῦ Θεοῦ, ἐάν εἶναι φιλήδονος καί φιλοχρήματος».

18. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες γιά τόν ἀββᾶ Ἰωάννη τόν Πέρση* ὅτι χαριτώθηκε πολύ ἀπό τόν Θεό καί ἔφθασε σέ βαθύτατη ἀκακία. Αὐτός λοιπόν ἔμενε στήν Ἀραβία τῆς Αἰγύπτου. Κάποτε δανείστηκε ἀπό ἕναν ἀδελφό χρυσό νόμισμα καί ἀγόρασε νήματα γιά νά κάνει ἐργόχειρο. Ἔρχεται λοιπόν ἕνας ἀδελφός καί τόν παρακαλεῖ: «Δῶσ᾽ μου λίγο νῆμα γιά νά κάνω ἕνα κολόβιο». Καί τοῦ ἔδωσε εὐχαρίστως. Ἀκολούθησε καί ἄλλος ἀδελφός καί τόν παρακάλεσε: «Δῶσ᾽ μου λίγο νῆμα γιά νά κάνω μιά πε-

τά συμφραζόμενα, γιατί τό κουκούλι ἦταν ἀπαραίτητο ἐξάρτημα τῆς μοναχικῆς περιβολῆς.

καὶ αὐτῷ. Ὁμοίως καὶ ἄλλων αἰτησάντων ἐδίδου ἁπλῶς μετὰ χαρᾶς.

Ὕστερον ἔρχεται ὁ κύριος τοῦ χρυσίνου θέλων αὐτό. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐγὼ φέρω σοι αὐτό. Καὶ μὴ ἔχων πόθεν ἀποδοῦναι, ἀνέστη ἀπελθεῖν πρὸς τὸν ἀββᾶν Ἰάκωβον τὸν τῆς διακονίας, παρακαλέσαι αὐτὸν δοῦναι αὐτῷ τὸ νόμισμα, ἵνα ἀποδώσῃ τῷ ἀδελφῷ. Καὶ ὑπάγων εὗρεν ὁλοκοτίνην κείμενον χαμαὶ καὶ οὐχ ἥψατο αὐτοῦ. Ποιήσας δὲ εὐχὴν ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ πάλιν ἦλθεν ὁ ἀδελφὸς θέλων λαβεῖν τὸ νόμισμα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐγὼ πάντως φροντίζω. Καὶ ἀπελθὼν πάλιν εὗρε τὸ νόμισμα χαμαὶ ὅπου ἦν· καὶ ποιήσας εὐχὴν πάλιν ὑπέστρεψεν. Καὶ ἰδοὺ πάλιν ἦλθεν ὁ ἀδελφὸς ὀχλῶν αὐτόν. Καὶ λέγει ὁ Γέρων· Ἔτι τὸ ἅπαξ τοῦτο συγχώρησον καὶ φέρω σοι αὐτό. Καὶ ἀναστὰς πάλιν ἀπῆλθε κατ' ἐκείνου τοῦ τόπου καὶ εὗρεν αὐτὸ ἐκεῖ κείμενον. Καὶ ποιήσας εὐχὴν ἔλαβεν αὐτὸ καὶ ἦλθε πρὸς τὸν ἀββᾶν Ἰάκωβον καὶ λέγει αὐτῷ· Ἀββᾶ, ἐρχόμενος πρός σε εὗρον τὸ νόμισμα τοῦτο ἐν τῇ ὁδῷ· ποίησον οὖν ἀγάπην καὶ κήρυξον ἐν τῇ ἐνορίᾳ μή τις ἀπώλεσεν αὐτό. Καὶ ἐὰν εὑρεθῇ ὁ κύριος αὐτοῦ, δώσω αὐτό.

Ἀπελθὼν οὖν ὁ Γέρων ἐπὶ τρεῖς ἡμέρας ἐκήρυξε καὶ οὐδεὶς εὑρέθη ἀπολέσας τὸ νόμισμα. Τότε οὖν λέγει ὁ Γέρων τῷ ἀββᾷ Ἰακώβῳ· Εἰ οὖν οὐδεὶς αὐτὸ ἀπώλεσε, δώσω αὐτὸ τῷδε τῷ ἀδελφῷ, χρεωστῶ γὰρ αὐτῷ· καὶ ἐρχόμενος λαβεῖν παρὰ σοῦ ἀγάπην καὶ ἀποδοῦναι τὸ χρέος, εὗρον αὐτό. Καὶ ἐθαύμασεν ὁ Γέρων πῶς χρεωστῶν καὶ εὑρὼν οὐκ εὐθέως ἔλαβε καὶ ἔδωκεν. Καὶ τοῦτο δὲ ἦν αὐτοῦ τὸ θαυμαστὸν ὅτι, εἰ ἤρχετό τις χρήσασθαι παρ' αὐτοῦ τι, οὐ

τσέτα». Ἔδωσε καί σ' αὐτόν. Τό ἴδιο καί σ' ἄλλους πού ζήτησαν ἔδινε μέ ἁπλότητα καί χαρά.

Κατόπιν ἦρθε ὁ κύριος τοῦ χρυσοῦ νομίσματος καί τοῦ τό ζητοῦσε. «Θά σοῦ τό φέρω ἐγώ» τοῦ εἶπε ὁ Γέροντας. Ἀλλά μήν ἔχοντας ἀπό ποῦ νά τοῦ τό ἐπιστρέψει, σηκώθηκε καί πῆγε στόν ἀββᾶ Ἰάκωβο τόν οἰκονόμο νά τόν παρακαλέσει νά τοῦ δώσει τό νόμισμα γιά νά τό ἐπιστρέψει στόν ἀδελφό. Ὅταν ἔφθασε ἐκεῖ, βρῆκε ἕνα χρυσό νόμισμα πεσμένο καταγῆς ἀλλά δέν τό ἄγγιξε. Προσευχήθηκε καί γύρισε στό κελί. Καί πάλι ἦρθε ὁ ἀδελφός γιά νά πάρει τό νόμισμα. Καί ὁ Γέροντας τοῦ λέει: «Ἐγώ ὁπωσδήποτε θά τό φροντίσω». Καί πῆγε πάλι καί βρῆκε τό νόμισμα καταγῆς ὅπου ἦταν. Πάλι, ἀφοῦ προσευχήθηκε, γύρισε. Καί νά πάλι κατέφθασε ὁ ἀδελφός καί τόν ἐνοχλοῦσε. Τότε τοῦ εἶπε ὁ Γέροντας: «Ἀκόμη αὐτή τή φορά συγχώρα με καί θά σοῦ τό φέρω». Σηκώθηκε καί ξαναπῆγε σ' ἐκεῖνο τόν τόπο καί βρῆκε τό νόμισμα νά στέκει καταγῆς. Προσευχήθηκε καί τό πῆρε. Πῆγε κατόπιν στόν ἀββᾶ Ἰάκωβο καί τοῦ λέει: «Ἀββᾶ, καθώς ἐρχόμουν σέ σένα, βρῆκα πάνω στό δρόμο αὐτό τό νόμισμα. Κάνε ἀγάπη καί ἀνακοίνωσέ το στήν περιοχή μας μήπως τό 'χασε κανείς. Καί ἐάν βρεθεῖ ὁ κάτοχος, νά τοῦ τό δώσω».

Ὁ Γέροντας πῆγε πράγματι καί ἔδινε τήν ἀγγελία αὐτή ἐπί τρεῖς μέρες, ἀλλά δέν βρέθηκε κανείς νά ἔχει χάσει τό νόμισμα. Τότε εἶπε ὁ Γέροντας στόν ἀββᾶ Ἰάκωβο: «Ἐφόσον κανείς δέν τό 'χασε, θά τό δώσω στόν τάδε ἀδελφό, γιατί τοῦ χρωστῶ· καί καθώς ἐρχόμουν νά πάρω ἀπό σένα ἐλεημοσύνη καί νά ἐπιστρέψω τό χρέος, βρῆκα αὐτό τό νόμισμα».

Θαύμασε ὁ ἀββᾶς Ἰάκωβος πῶς ἐνῶ χρωστοῦσε καί τό βρῆκε, δέν τό πῆρε εὐθύς νά τό δώσει. Καί τό ἐκπληκτικό εἶναι γι' αὐτόν ὅτι, ὅταν ἐρχόταν κάποιος νά δανεισθεῖ κά-

δι' ἑαυτοῦ παρεῖχεν, ἀλλὰ ἔλεγε τῷ ἀδελφῷ· Ὕπαγε σεαυτῷ ἆρον εἴ τι χρῄζεις. Καὶ εἰ ἔφερεν, ἔλεγεν αὐτῷ· Ἀπόθου αὐτὸ πάλιν εἰς τὸν τόπον αὐτοῦ. Εἰ δὲ οὐδὲν ἔφερεν ὁ λαμβάνων, οὐδὲν ἔλεγεν αὐτῷ.

19. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰουλιανοῦ ὅτι περὶ τὰ ἑβδομήκοντα ἔτη ἐποίησεν εἰς ἓν σπήλαιον μικρὸν μὴ κτησάμενος τίποτε τοῦ αἰῶνος τούτου πλὴν στιχαρίου τριχίνου καὶ σαλίου καὶ καυκίου ξυλίνου.

20. Εἶπεν ὁ ἀββᾶς Κασσιανὸς ὅτι συγκλητικός τις ἀποταξάμενος καὶ τὰ ἑαυτοῦ ὑπάρχοντα πένησι διαδούς, παρακατέσχε τινὰ εἰς ἰδίαν ἀπόλαυσιν μὴ βουλόμενος τὴν ἐκ τῆς τελείας ἀποταγῆς ἀναδέξασθαι ταπεινοφροσύνην καὶ τὴν γνησίαν ὑπακοὴν τοῦ κοινοβιακοῦ κανόνος. Πρὸς ὃν ὁ ἐν ἁγίοις Βασίλειος λόγον ἀπεφθέγξατο τοιοῦτον· Καὶ τὸν συγκλητικὸν ἀπώλεσας καὶ μοναχὸν οὐκ ἐποίησας.

21. Εἶπε πάλιν ὅτι ἦν τις μοναχὸς οἰκῶν ἐν σπηλαίῳ ἐν τῇ ἐρήμῳ. Καὶ ἐδηλώθη αὐτῷ ὑπὸ τῶν συγγενῶν τῶν κατὰ σάρκα ὅτι· Ὁ πατήρ σου ἰσχυρῶς ἐνοχλεῖται καὶ μέλλει τελευτᾶν. Ἐλθὲ οὖν ἵνα κληρονομήσῃς αὐτόν. Ὁ δὲ ἀπεκρίθη πρὸς αὐτούς· Ἐγὼ πρὸ ἐκείνου ἀπέθανον τῷ κόσμῳ· νεκρὸς ζῶντα οὐ κληρονομεῖ.

22. Παρέβαλόν ποτε τῷ ἀββᾷ Μακαρίῳ ἀδελφοὶ εἰς Σκῆτιν. Οὐχ εὗρον ἐν τῷ κελλίῳ αὐτοῦ οὐδὲν εἰ μὴ ὕδωρ σαπρὸν καὶ λέγουσι αὐτῷ· Ἀββᾶ, δεῦρο ἄνω εἰς τὴν κώμην καὶ ἀναπαύομέν σε. Λέγει αὐτοῖς ὁ Γέρων· Οἴδατε, ἀδελ-

τι ἀπ' αὐτόν, δέν ἔπιανε ὁ ἴδιος νά τοῦ τό δώσει, ἀλλά ἔλεγε στόν ἀδελφό: «Πήγαινε καί πάρε ὅ,τι σοῦ χρειάζεται». Καί ἐάν τοῦ τό ἐπέστρεφε, τοῦ ἔλεγε: «Ἀκούμπησέ το πάλι στή θέση του». Ἐάν δέν τοῦ τό ἐπέστρεφε αὐτός πού τό πῆρε, δέν τοῦ 'λεγε τίποτα.

19. Ἔλεγαν γιά τόν ἀββᾶ Ἰουλιανό ὅτι κοντά στά ἑβδομήντα χρόνια ἔζησε μέσα σέ μιά σπηλιά καί δέν ἀπέκτησε κανένα ὑλικό πράγμα, ἐκτός ἀπό ἕνα στιχάρι τρίχινο, ἕνα σάλι καί μιά κούπα ξύλινη.

20. Εἶπε ὁ ἀββᾶς Κασσιανός* ὅτι κάποιος συγκλητικός ἀπαρνήθηκε τόν κόσμο καί μοίρασε τά ὑπάρχοντά του στούς φτωχούς· κράτησε ὅμως λίγα γιά προσωπική του χρήση, γιατί δέν θέλησε νά ἀποδεχθεῖ τήν ταπεινοφροσύνη τῆς τέλειας ἀπάρνησης καί τή γνήσια ὑποταγή στόν κοινοβιακό κανόνα.

Σ' αὐτόν ὁ ἅγιος Βασίλειος εἶπε τό ἑξῆς: «Καί τόν συγκλητικό ἔχασες καί μοναχός δέν ἔγινες».

21. Εἶπε ἐπίσης ὅτι ὑπῆρχε ἕνας μοναχός πού ζοῦσε στήν ἔρημο μέσα σέ μιά σπηλιά. Καί τόν εἰδοποίησαν οἱ συγγενεῖς του: «Ὁ πατέρας σου εἶναι πολύ ἄσχημα καί πάει γιά θάνατο. Ἔλα, νά πάρεις τήν κληρονομιά».

Κι ἐκεῖνος τούς ἀπάντησε: «Ἐγώ πρίν ἀπ' ἐκεῖνον πέθανα γιά τόν κόσμο. Ὁ νεκρός δέν μπορεῖ νά κληρονομήσει ἕναν ζωντανό».

22. Ἐπισκέφθηκαν κάποτε μερικοί ἀδελφοί τόν ἀββᾶ Μακάριο* στή Σκήτη. Μέσα στό κελί του δέν ὑπῆρχε τίποτε ἐκτός ἀπό νερό χαλασμένο, καί τοῦ εἶπαν: «Ἀββᾶ, ἔλα πάνω στό χωριό καί θά σέ φροντίζουμε». Κι ὁ Γέροντας

φοί, τὸ ἀρτοκοπεῖον τοῦ δεῖνος εἰς τὴν κώμην; Καὶ λέγουσιν αὐτῷ· Ναί. Ἔφη αὐτοῖς ὁ Γέρων· Κἀγὼ οἶδα αὐτό. Οἴδατε καὶ τὸ χωρίον τοῦ δεῖνος ὅπου ὁ ποταμὸς κρούει; Λέγουσιν αὐτῷ· Ναί. Λέγει αὐτοῖς ὁ Γέρων· Κἀγὼ οἶδα αὐτό· ὅταν οὖν θέλω, οὐ χρείαν ὑμῶν ἔχω, ἀλλ' ἐμαυτῷ ἀναβιβάζω.

23. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μωυσέως ἐν Σκήτει ὅτι ὡς ἤμελλεν εἰσελθεῖν εἰς τὴν Πέτραν ἐκοπία ὁδεύων καὶ ἔλεγεν ἑαυτῷ· Πῶς δύναμαι τὸ ὕδωρ μου συναγαγεῖν ὧδε; Καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Εἴσελθε καὶ μηδὲν φροντίσῃς. Εἰσῆλθεν οὖν. Καὶ παρέβαλον αὐτῷ τινὲς τῶν Πατέρων καὶ οὐκ εἶχεν εἰ μὴ ἓν μόνον λαγύνιον ὕδατος. Καὶ ποιοῦντος αὐτοῦ μικρὸν φακὸν ἀνηλώθη. Ὁ δὲ Γέρων ἐθλίβετο. Εἰσερχόμενος οὖν καὶ ἐξερχόμενος ηὔχετο τῷ Θεῷ. Καὶ ἰδοὺ νεφέλη βροχῆς ἦλθε κατ' αὐτῆς τῆς Πέτρας καὶ ἐγέμισεν ὅλα τὰ ἀγγεῖα αὐτοῦ. Λέγουσι μετὰ ταῦτα τῷ Γέροντι· Εἰπὲ ἡμῖν τί εἰσήρχου καὶ ἐξήρχου; Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Δίκην ἐποίουν μετὰ τοῦ Θεοῦ ὅτι· Ἤνεγκάς με ὧδε καὶ ἰδοὺ ὕδωρ οὐκ ἔχω, ἵνα πίωσιν οἱ δοῦλοί σου. Διὰ τοῦτο εἰσηρχόμην καὶ ἐξηρχόμην παρακαλῶν τὸν Θεόν, ἕως οὗ ἔπεμψεν ἡμῖν τὸ ὕδωρ.

24. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μεγεθίου ὅτι ἐξήρχετο τοῦ κελλίου καὶ εἰ ἤρχετο αὐτῷ λογισμὸς ἀναχωρῆσαι ἐκ τοῦ τόπου, οὐκ ἀνέκαμπτεν εἰς τὴν κέλλαν αὐτοῦ. Οὐ γὰρ εἶχε τίποτε τοῦ αἰῶνος τούτου εἰ μὴ ῥαφίδα μίαν ὅπου τὰ θαλλία ἔσχιζεν· εἰργάζετο γὰρ καθ' ἡμέραν τρία μαλάκια τὸ τῆς τροφῆς αὐτοῦ.


8. Βλ. Δ ὑποσημ. 37 σελ. 62.

τούς λέει: «Ἀδελφοί, γνωρίζετε τό ψωμάδικο τοῦ τάδε στήν πόλη;» «Ναί» τοῦ εἶπαν. «Τό ξέρω κι ἐγώ» τούς ἀποκρίθηκε. «Ξέρετε καί τό χωράφι τοῦ δεῖνα ἀπ' ὅπου περνάει ὁ ποταμός;» Τοῦ εἶπαν: «Ναί». Καί κατέληξε ὁ Γέροντας: «Κι ἐγώ τό ξέρω. Ὅταν λοιπόν θέλω κάτι, δέν σᾶς ἔχω ἀνάγκη. Παίρνω τά πόδια μου καί πηγαίνω».


23. Ἔλεγαν γιά τόν ἀββᾶ Μωυσῆ* τῆς Σκήτης ὅτι ὅταν ἐπρόκειτο νά ἐγκατασταθεῖ στήν ἔρημο τῆς Πέτρας[8] ἔνιωσε κούραση βαδίζοντας, καί μονολογοῦσε: «Πῶς θά μπορῶ νά φέρνω ἐδῶ τό νερό πού μοῦ χρειάζεται;» Καί τοῦ ἦρθε μιά φωνή πού τοῦ ἔλεγε: «Πήγαινε ἐκεῖ καί μήν ἔχεις ἔννοια γιά τίποτε». Πράγματι πῆγε καί ἔμεινε. Κάποια μέρα τόν ἐπισκέφθηκαν μερικοί Πατέρες καί τό νερό πού εἶχε ἦταν μόνο ἕνα λαγήνι. Ἔβαλε νά μαγειρέψει λίγη φακή καί τό νερό ξοδεύτηκε. Ὁ Γέροντας ἦταν μέσ' στή στενοχώρια. Μπαινόβγαινε λοιπόν καί προσευχόταν. Καί νά ἕνα σύννεφο ἦρθε πάνω στόν βράχο τῆς Πέτρας καί τοῦ γέμισε ὅλα του τά δοχεῖα.

Μετά ἀπ' αὐτό ρώτησαν τόν Γέροντα: «Γιά πές μας γιατί μπαινόβγαινες;» Καί ὁ Γέροντας τούς εἶπε: «Ἔλεγα τό παράπονό μου στόν Θεό ὅτι μ' ἔφερες ἐδῶ καί νά, πού δέν ἔχω νερό νά πιοῦν οἱ δοῦλοι σου. Γι' αὐτό μπαινόβγαινα καί παρακαλοῦσα τόν Θεό ὥσπου μᾶς ἔστειλε τό νερό».

24. Ἔλεγαν γιά τόν ἀββᾶ Μεγέθιο ὅτι ἔβγαινε ἀπό τό κελί του καί ἐάν τοῦ ἐρχόταν λογισμός νά φύγει ἀπό τόν τόπο ἐκεῖνο, δέν ὑπῆρχε ἀνάγκη νά γυρίσει στό κελί του. Γιατί δέν εἶχε κανένα ὑλικό ἀντικείμενο ἐκτός ἀπό μιά βελόνα μέ τήν ὁποία ἔσχιζε τούς φοινικοβλαστούς. Ἔφτιαχνε κάθε μέρα τρία ζεμπίλια, ὅσο τοῦ χρειαζόταν νά ἐξασφαλίζει τήν τροφή του.



Ἡ εἴσοδος στήν κοιλάδα τῆς Πέτρας



Λαξευτοί τάφοι τῆς Πέτρας πού χρησίμευσαν ἀργότερα καί ὡς καταλύματα

25. Ἠρώτησέ τις ἀδελφὸς τὸν ἀββᾶν Πιστάμωνα λέγων· Τί ποιήσω ὅτι θλίβομαι εἰς τὸ πωλῆσαι τὸ ἐργόχειρόν μου; Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν ὅτι· Καὶ ὁ ἀββᾶς Σισόης καὶ οἱ λοιποὶ ἐπώλουν τὸ ἐργόχειρον αὐτῶν. Τοῦτο οὐκ ἔστι βλάβος. Ὅταν δὲ πωλῇς, εἰπὲ ἅπαξ τὴν τιμὴν τοῦ σκεύους· μικρὸν τοίνυν ἐὰν θέλῃς ἀφήσειν τῆς τιμῆς, ἐν σοὶ ἐστιν. Οὕτω γὰρ εὑρήσεις ἀνάπαυσιν. Πάλιν εἶπεν αὐτῷ ὁ ἀδελφός· Ἐὰν ἔχω τὴν χρείαν μου ὁθενδήποτε, θέλεις ἵνα φροντίσω ἐργοχείρου; Ἀποκριθεὶς ὁ Γέρων εἶπεν· Ἐὰν ἔχῃς ὁσονδήποτε μὴ καταλείψῃς τὸ ἐργόχειρόν σου· ὅσον δύνασαι ποίησον, μόνον ἀταράχως.

26. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ ὅτι ἐξῆλθεν ὁ μαθητὴς αὐτοῦ Ζαχαρίας χωρὶς αὐτοῦ καὶ λαβὼν τοὺς ἀδελφοὺς ἔστρεψε τὸν φραγμὸν τοῦ κήπου καὶ μείζονα αὐτὸν ἐποίησε. Μαθὼν οὖν ὁ Γέρων ἔλαβε τὸ μηλωτάριον αὐτοῦ καὶ ἐξῆλθε· καὶ λέγει τοῖς ἀδελφοῖς· Εὔξασθε περὶ ἐμοῦ. Οἱ δὲ ἰδόντες αὐτὸν ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ λέγοντες· Εἰπὲ ἡμῖν τί ἐστιν ὃ ἔχεις, πάτερ; Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Οὐκ εἰσέρχομαι ἔσω· οὐ καταβαίνει τὸ μηλωτάριον ἀπ' ἐμοῦ, ἕως οὗ ἐνέγκητε τὸν φραγμὸν εἰς τὸν πρῶτον αὐτοῦ τόπον. Οἱ δὲ πάλιν ἔστρεψαν τὸν φραγμὸν καὶ ἐποίησαν αὐτὸν ὡς ἦν πρότερον.

27. Εἶπεν ὁ ἀββᾶς Σιλουανός· Ἐγὼ δοῦλός εἰμι· ὁ Κύριός μου εἶπέ μοι· Ἐργάζου τὸ ἔργον μου κἀγὼ τρέφω σε· πόθεν δέ, μὴ ζήτει, ἐργάζου μόνον καὶ τρέφω σε. Ἐγὼ οὖν

---

9. Μηλωτάριον καί μηλωτή: ἀρχικά σημαίνει προβιά (μῆλον = πρόβατο)

25. Ρώτησε κάποιος ἀδελφός τόν ἀββᾶ Πιστάμωνα: «Τί νά κάνω πού πιέζομαι, ὅταν πουλῶ τό ἐργόχειρό μου;» Κι ὁ Γέροντας τοῦ ἀποκρίθηκε: «Καί ὁ ἀββᾶς Σισόης καί οἱ ὑπόλοιποι πουλοῦσαν τό ἐργόχειρό τους· αὐτό δέν κάνει ζημιά. Κι ὅταν πουλᾶς, πές μιά φορά πόσο κάνει τό ἀντικείμενο. Ἄν στό μεταξύ θέλεις νά κατεβάσεις λίγο τήν τιμή, δικό σου θέμα εἶναι. Μ' αὐτόν τόν τρόπο θά εἶσαι ἀναπαυμένος».

Ξαναρώτησε ὁ ἀδελφός: «Ἐάν ἐξοικονομῶ αὐτά πού μοῦ χρειάζονται μέ κάποιον ἄλλο τρόπο, θέλεις πάλι νά ἀσχολοῦμαι μέ ἐργόχειρο;» Ὁ Γέροντας εἶπε: «Ὅσα κι ἄν ἔχεις, μήν ἀφήνεις τό ἐργόχειρό σου. Κάνε ὅσο μπορεῖς, μόνο χωρίς νά ταράζεσαι».

26. Ἔλεγαν γιά τόν ἀββᾶ Σιλουανό* ὅτι ὁ μαθητής του Ζαχαρίας βγῆκε χωρίς νά τόν ἐνημερώσει, πῆρε μαζί του τούς ἀδελφούς καί μετατόπισε τόν φράκτη τοῦ κήπου καί τόν ἔκανε μεγαλύτερο. Ὅταν τό πληροφορήθηκε ὁ Γέροντας, πῆρε τή μηλωτή του[9], βγῆκε ἔξω καί εἶπε στούς ἀδελφούς: «Προσεύχεσθε γιά μένα». Οἱ ἀδελφοί σάν τόν εἶδαν, ἔπεσαν στά πόδια του λέγοντας: «Πές μας τί σοῦ συμβαίνει, πάτερ;» Κι ἐκεῖνος εἶπε: «Δέν θά μπῶ μέσα καί δέν θά βγεῖ ἡ μηλωτή ἀπό πάνω μου, ἕως ὅτου ἐπαναφέρετε τόν φράκτη στήν ἀρχική του θέση». Οἱ ἀδελφοί μετατόπισαν ξανά τόν φράκτη καί τόν ἔκαναν ὅπως ἦταν πρίν.

27. Εἶπε ὁ ἀββᾶς Σιλουανός: «Ἐγώ εἶμαι ἕνας δοῦλος. Ὁ Κύριός μου μοῦ εἶπε: Νά κάνεις τήν ἐργασία πού σοῦ ἀνέθεσα καί ἐγώ θά σέ τρέφω. Μή γυρεύεις ὅμως νά μάθεις ἀπό ποῦ· νά ἐργάζεσαι μόνο καί ἐγώ θά σέ τρέφω.

ἀλλά καί κάθε ἐπανωφόρι πού εἶναι ἀπό ἀκατέργαστο καί μαλλοφόρο δέρμα.

ἐὰν ἐργάζωμαι ἐκ τοῦ μισθοῦ μου ἐσθίω, ἐὰν δὲ μὴ ἐργάζωμαι, ἀγάπην ἐσθίω.

28. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σεραπίωνα λέγων· Εἰπέ μοι λόγον. Λέγει αὐτῷ ὁ Γέρων· Τί σοι ἔχω εἰπεῖν; ὅτι ἔλαβες τὰ τῶν χηρῶν καὶ ὀρφανῶν καὶ ἔθηκας εἰς τὴν θυρίδα ταύτην· εἶδε γὰρ αὐτὴν μεστὴν βιβλίων.

Ὡς δὲ ἐγένετο καιρὸς τῆς συνάξεως, εἰσελθὼν ὁ κανονάρχης βαλεῖν θυμίαμα, εὗρε πάντα ἀφαιρεθέντα καὶ ἀπελθὼν ἀπήγγειλε τῷ ἀββᾷ. Καὶ κρούει τὸ ξύλον καὶ συνάγονται οἱ ἀδελφοὶ πάντες· καὶ ἤρξαντο ταράσσεσθαι καὶ λέγουσιν· Οὐδεὶς ἔλαβεν αὐτὰ εἰ μὴ ὁ δεῖνα ὁ ἀδελφός· καὶ διὰ τοῦτο οὐδὲ εἰς τὴν σύναξιν ἦλθεν· εἰ μὴ γὰρ τοῦτο ἐποίησεν, ὡς πάντοτε καὶ νῦν ἤρχετο πρῶτος. Καὶ πέμπουσι καὶ εὑρίσκουσιν αὐτὸν εἰς προσευχὴν ἱστάμενον. Καὶ κρούσαντες εἰσῆλθον καὶ σύρουσιν αὐτὸν μετὰ βίας. Ὁ δὲ παρεκάλει λέγων· Τί ἐστι τὸ πρᾶγμα, πατέρες; Οἱ δὲ λοιδορίαις καὶ ἀτιμίαις βάλλοντες αὐτόν, ἔλεγον· Ἱερόσυλε, ἀνάξιε καὶ τοῦ ζῆν· οὐκ ἀρκεῖ σοι ὅτι τοσαῦτα ἔτη ἐτάραξας ἡμᾶς, ἀλλὰ καὶ νῦν εἰς τὰς ψυχὰς ἡμῶν ἔπαιξας; Ὁ δὲ ἔλεγε· Συγχωρήσατέ μοι ὅτι ἐσφάλην.

Καὶ φέρουσιν αὐτὸν πρὸς τὸν ἀββᾶν καὶ λέγουσιν αὐτῷ· Ἀββᾶ, οὗτός ἐστιν ὁ ἀπαρχῆς στρέφων τὸ κοινόβιον. Καὶ ἤρξαντο εἷς καθ' εἷς λέγειν ὅτι· Οἶδα αὐτὸν λάθρα τὰ λάχανα φαγόντα· ἄλλος ὅτι· Τὰ ψωμία κλέπτων ἐδίδου ἔξω· καὶ ἄλλος ὅτι· Τὸν κάλλιστον οἶνον ἔφθασα αὐτὸν πίνοντα· καὶ πάντες ψευδόμενοι ἐπιστεύοντο, κἀκεῖνος ἀληθεύων οὐκ ἠκούετο. Ἐπαίρει οὖν ὁ ἀββᾶς τὸ σχῆμα ἀπ' αὐτοῦ λέγων ὅτι· Ταῦτα οὔκ εἰσι χριστιανοῦ. Καὶ σιδηρώσαντες αὐτὸν παραδιδόασι τῷ οἰκονόμῳ τῆς Λαύρας. Κἀκεῖνος γυμνώσας καὶ βουνεύροις τυπτήσας, ἐπυνθάνετο εἰ ἀληθῆ εἰσι τὰ κατ' αὐτοῦ λεγόμενα. Ὁ δὲ γελῶν ἔλεγε· Συγχωρήσατέ μοι ὅτι ἐσφάλην. Ἀγριωθεὶς δὲ ἐπὶ τῷ λόγῳ

μπῆκε αὐτός στήν ἐκκλησία καί ἀφοῦ ἀφαίρεσε ὅλα τά ἱερά σκεύη της, ἔφυγε κρυφά ἀπό τό κοινόβιο.

Ὅταν ἦρθε ἡ ὥρα γιά τήν ἀκολουθία, πῆγε ὁ κανονάρχης νά βάλει θυμίαμα, ἀλλά εἶδε ὅτι ὅλα τά σκεύη ἔλειπαν καί ἀμέσως τό ἀνέφερε στόν ἀββᾶ. Χτύπησε εὐθύς τό σήμαντρο καί ὅλοι οἱ ἀδελφοὶ συγκεντρώθηκαν· ἄρχισε ἀναταραχή μεταξύ τους καί ἔλεγαν: Κανείς ἄλλος δέν τά πῆρε παρά ὁ δεῖνα ἀδελφός καί γι' αὐτό ἀπουσιάζει ἀπό τήν ἀκολουθία. Γιατί ἐάν δέν θά τό εἶχε κάνει αὐτό, πρῶτος θά ἐρχόταν καί τώρα ὅπως πάντοτε. Πῆγαν λοιπόν καί τόν βρῆκαν στό κελί του νά προσεύχεται. Χτύπησαν καί μπῆκαν μέσα καί ἄρχισαν νά τόν σέρνουν διά τῆς βίας. Κι αὐτός τούς παρακαλοῦσε καί τούς ἔλεγε: Τί συμβαίνει, πατέρες; Κι ἐκεῖνοι μέ βρισιές καί κακόλογα τόν χτυποῦσαν καί τοῦ ἔλεγαν: Ἱερόσυλε, εἶσαι ἀνάξιος καί νά ζεῖς. Δέν σοῦ 'φτασε τόσα χρόνια πού μᾶς τάραξες, καί μ' αὐτό πού 'κανες τώρα μᾶς κατασκανδάλισες. Κι αὐτός ἔλεγε: Συγχωρεῖστε με πού ἔσφαλα.

Τόν ὁδήγησαν στόν ἀββᾶ καί τοῦ λένε: Ἀββᾶ, αὐτός εἶναι πού ἐξαρχῆς φέρνει ἄνω κάτω τό κοινόβιο. Καί ἄρχισαν νά λένε ὁ ἕνας μετά τόν ἄλλο: Τόν εἶδα πού ἔφαγε κρυφά τά χόρτα. Ἄλλος: Ἔκλεβε τά ψωμιά καί τά ἔδινε ἔξω· καί ἄλλος: Τόν ἔπιασα νά πίνει τό ἐκλεκτό κρασί. Καί ὅλοι ἐνῶ ἔλεγαν ψέματα, γινόταν πιστευτοί. Καί αὐτόν μόνο, ἄν καί ἔλεγε τήν ἀλήθεια, δέν τόν ἄκουγε κανείς. Τραβάει ὁ ἀββᾶς καί τοῦ ἀφαιρεῖ τό σχῆμα λέγοντας: Αὐτά πού κάνεις δέν στέκονται σέ χριστιανό ἄνθρωπο. Τοῦ φόρεσαν λοιπόν σιδερένια δεσμά καί τόν παρέδωσαν στόν οἰκονόμο τῆς Λαύρας. Κι ἐκεῖνος ἀφοῦ τόν γύμνωσε καί τόν μαστίγωσε, ρωτοῦσε νά μάθει ἐάν ἀληθεύουν ὅσα λέγονται ἐναντίον του. Κι αὐτός γελώντας ἔλεγε: Συγχωρεῖστε με, ἀδελφοί, γιατί ἔσφαλα. Ἐξαγριωμένος λοιπόν μέ τήν ἀπάντηση

κελεύει αὐτὸν βληθῆναι εἰς τὸ κολαστήριον ἐν τῇ φυλακῇ τοὺς πόδας αὐτοῦ ἀσφαλισάμενος· καὶ γράφει τῷ δουκὶ τὰ τοῦ πράγματος.

Καὶ πάραυτα ἔρχονται προάξιμοι καὶ λαμβάνουσιν αὐτόν. Καί ἐπιβιβάσαντες αὐτὸν ἐπὶ ἀστρώτου ζώου ἔχοντα σίδηρον βαρύ κατὰ τοῦ τραχήλου, εἷλκον αὐτὸν μέσον τῆς πόλεως· καὶ προσαχθεὶς τῷ δικάζοντι ἠρωτᾶτο τίς ἂν λέγοιτο καὶ πόθεν καὶ τίνος χάριν μονάζων γέγονεν. Ὁ δὲ πλέον οὐδὲν ἔφησεν ἢ ὅτι· Ἥμαρτον, συγχώρησόν μοι. Ἐκμανεὶς οὖν ὁ δούξ, κελεύει αὐτὸν ταθῆναι καὶ βουνεύροις ὠμοῖς διαρραγῆναι αὐτοῦ τὰ νῶτα. Ταθεὶς οὖν ἐκ τεσσάρων καὶ τοῖς βουνεύροις ἀνηλεῶς μαστιζόμενος, μειδιῶν τῷ προσώπῳ λέγει πρὸς τὸν δοῦκα· Τύπτε, τύπτε· τὸ ἀργύριόν μου λαμπρότερον ἀπεργάζῃ. Κἀκεῖνός φησιν· Ἐγώ σου ὑπὲρ χιόνα ἀναδείξω τὴν τιμωρίαν. Καὶ κελεύει πῦρ ὑποστρωθῆναι τῇ κοιλίᾳ αὐτοῦ, καὶ ἅλας ὄξει συμφύραντες, ἐπιχῦσαι τοῖς μώλωψιν αὐτοῦ. Οἱ δὲ παρεστῶτες ἐθαύμαζον ἐπὶ τῇ τοιαύτῃ καρτερίᾳ. Καὶ ἔλεγον πρὸς αὐτόν· Εἰπὲ ἡμῖν ποῦ ἔβαλες τὰ ἱερὰ σκεύη καὶ ἀπολύει. Ὁ δὲ ἔλεγεν ὅτι οὐκ ἔχω πρᾶγμα. Μόλις δὲ ἀνεθῆναι αὐτὸν τῆς βασάνου κελεύσας, εἰς τὸ δεσμωτήριον προστάσσει ἀπαχθῆναι καὶ ἄσιτον καὶ ἀνεπιμέλητον διαφυλαχθῆναι.

Καὶ τῇ ἑξῆς πέμψας ἐν τῇ Λαύρᾳ, ἐκέλευσεν ἀχθῆναι τοὺς τοῦ κοινοβίου καὶ τὸν ἀββᾶν. Καὶ ἐλθόντων αὐτῶν λέ-

8. Κολαστήριον ξύλον: Ἀπό τά φοβερότερα ὄργανα μαρτυρίου γιά τούς φυλακισμένους.

Ἦταν ἕνα ξύλο προσηλωμένο στό ἔδαφος μέ τρύπες μέσα ἀπό τίς ὁποῖες περνοῦσαν τά πόδια τοῦ κρατουμένου, ὥστε νά μήν μπορεῖ νά ἀποδράσει. Βασανιστικότερο γινόταν τό μαρτύριο, ὅταν τά πόδια τά περνοῦσαν σέ τρύπες πού ἀπεῖχαν πολύ μεταξύ τους καί αὐτό ὄχι γιά λίγη ὥρα ἀλλά γιά εἰκοσιτετράωρο ὁλόκληρο ἤ καί γιά πολλές μέρες.

τοῦ ἀδελφοῦ, δίνει ἐντολή νά τόν ρίξουν στή φυλακή καί νά ἀσφαλίσουν τά πόδια του στό τιμωρητικό ξύλο[8]. Καί ἀναφέρει μέ γραπτό μήνυμα στόν ἄρχοντα τῆς πόλης τό γεγονός.

Καταφθάνουν λοιπόν ἀμέσως οἱ δημόσιοι ἐντεταλμένοι· τόν παραλαμβάνουν, τόν ἀνεβάζουν πάνω σέ ἀσαμάρωτο ζῶο μέ σιδερωσιά βαριά στόν λαιμό του καί σέρνοντάς τον μέσα ἀπό τήν πόλη τόν ὁδηγοῦν στόν δικαστή[9]. Ὁ δικαστής ἄρχισε νά τόν ρωτάει σάν ποιό νά 'ναι τό ὄνομά του καί ἀπό ποῦ καί γιά ποιόν λόγο ἔγινε μοναχός. Κι ἐκεῖνος τίποτε περισσότερο δέν εἶπε παρά μόνο: Ἁμάρτησα, συγχωρεῖστε με. Ὁ ἄρχοντας ἔξω φρενῶν διατάζει νά τόν τεντώσουν καί μέ σκληρά μαστίγια νά τοῦ λιανίσουν τά νῶτα. Τεντωμένος λοιπόν ἀπό τά τέσσερα ἄκρα καί τήν ὥρα πού τόν μαστίγωναν ἄσπλαχνα, μέ πρόσωπο χαμογελαστό ἔλεγε στόν ἄρχοντα: Χτύπα, χτύπα. Τήν ἀμοιβή μου τήν κάνεις λαμπρότερη. Κι ἐκεῖνος τοῦ εἶπε: Ἐγώ τήν τιμωρία σου θά σοῦ τήν ἀναδείξω πιό ἀστραφτερή καί ἀπό τό χιόνι. Καί διατάζει νά στρωθεῖ φωτιά κάτω ἀπό τήν κοιλιά του[10] καί ἀφοῦ ἀναμείξουν ἁλάτι καί ξύδι, νά τό χύνουν πάνω στίς πληγές του. Ὅσοι ἦταν παρόντες ἐκεῖ, ἀποροῦσαν γιά τήν τόσο μεγάλη καρτερία του· καί τοῦ ἔλεγαν: Πές μας ποῦ ἔβαλες τά ἱερά σκεύη καί θά σέ ἐλευθερώσει. Κι αὐτός ἀπαντοῦσε: Δέν γνωρίζω τίποτε. Ἐπί τέλους παρήγγειλε νά διακόψουν τόν βασανισμό καί πρόσταξε νά τόν μεταφέρουν στή φυλακή καί νά τόν φυλάξουν ἐκεῖ νηστικό καί χωρίς καμιά φροντίδα.

Τήν ἄλλη μέρα ἔστειλε ἐντολή στή Λαύρα νά παρουσιαστοῦν οἱ ὑπεύθυνοι τοῦ κοινοβίου μαζί μέ τόν ἀββᾶ.

9. Ὅλο αὐτό τό σκηνικό συνιστᾶ γιά τήν ἐποχή ἐκείνη τήν διαπόμπευση τοῦ ἀνθρώπου πού θεωροῦνταν ἔνοχος σοβαροῦ πταίσματος.

10. Καθώς ἦταν μπρούμυτα τήν ὥρα πού τόν μαστίγωναν.

γει αὐτοῖς ὁ δούξ· Πάνυ πολλὰ ποιήσας καὶ πολλαῖς τιμωρίαις αὐτὸν ὑποβαλών, οὐδὲν πλέον ἠδυνήθην εὑρεῖν. Καὶ λέγουσιν αὐτῷ οἱ ἀδελφοὶ ὅτι· Δέσποτα, καὶ ἄλλα πολλὰ κακὰ ἐποίησε καὶ διὰ τὸν Θεὸν ἐβαστάσαμεν αὐτὸν προσδοκῶντες αὐτὸν ὑποστρέφειν καὶ ἰδοὺ εἰς χείρονα μᾶλλον ἦλθε.

Λέγει αὐτοῖς· Τί οὖν ποιήσω αὐτόν; Λέγουσι ἐκεῖνοι· Τὰ δοκοῦντα τοῖς νόμοις. Λέγει αὐτοῖς· Ὁ νόμος τοὺς ἱεροσύλους φονεύει. Λέγουσι· Φονευθήτω. Καὶ ἀπολύει αὐτοὺς καὶ φέρει τὸν ἀδελφόν· καὶ καθίσας ἐπὶ τοῦ κριτηρίου λέγει πρὸς αὐτόν· Ὁμολόγησον, ἄθλιε, καὶ ῥύσθητι τοῦ θανάτου. Λέγει ὁ ἀδελφός· Εἰ κελεύεις, ἵνα εἴπω τὸ μὴ ὄν, λέγω. Ὁ δέ· Οὐ θέλω σε καταψεύσασθαι ἑαυτοῦ. Ὁ δὲ ἀδελφὸς εἶπεν· Οὐδὲν ὧν ἐρωτῶμαι οἶδα ποιήσας ποτέ· ἰδὼν οὖν ὁ δοὺξ ὅτι οὐδὲν λέγει, κελεύει αὐτὸν ἀποκεφαλισθῆναι. Καὶ λαβόντες αὐτὸν οἱ δήμιοι ἀπήγαγον τοῦ ἀποκεφαλίσαι.

Ἀπαγομένου δὲ αὐτοῦ, εἰς κατάνυξιν ἐλθὼν ὁ ἐπάρας τὰ κειμήλια, λέγει πρὸς ἑαυτόν· Κἂν ἄρτι κἂν ὁτεδήποτε γνωσθῆναι ἔχει πάντως τὸ πρᾶγμα· εἰ δὲ καὶ ὧδε λάθης, τί ποιήσεις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ; Πῶς ἀπολογήσῃ περὶ τοιούτων πράξεων; Καὶ ἔρχεται πρὸς τὸν ἀββᾶν καὶ λέγει αὐτῷ· Ταχὺ πέμψον, ἵνα μὴ ἀποθάνῃ ὁ ἀδελφός· εὑρέθησαν γὰρ τὰ ἱερὰ σκεύη. Πέμπει οὖν καὶ ἀναφέρει τῷ δουκὶ καὶ ἀπολύεται ὁ ἀδελφὸς καὶ φέρουσιν αὐτὸν εἰς τὸ κοινόβιον.

Καὶ ἤρξαντο πάντες προσπίπτειν αὐτῷ καὶ λέγειν ὅτι· Ἡμάρτομεν εἰς σέ, συγχώρησον ἡμῖν. Ὁ δὲ ἤρξατο κλαίειν καὶ λέγειν· Συγχωρήσατέ μοι ὅτι μεγάλας ὑμῖν χάριτας ὁμολογῶ, ὅτι, διὰ τῶν μικρῶν τούτων πόνων, μεγάλων ἀξιοῦμαι ἀγαθῶν. Μεγάλως γὰρ πάντοτε ἔχαιρον, ὅτε

Ὅταν πῆγαν, ὁ ἄρχοντας τούς εἶπε: Πάρα πολλούς τρόπους χρησιμοποίησα καί σέ πολλές τιμωρίες τόν ὑπέβαλα, ἀλλά τίποτε περισσότερο δέν μπόρεσα νά μάθω. Τοῦ λένε τότε οἱ ἀδελφοί: Ἀφέντη, κι ἄλλα πολλά κακά ἔκανε ἀλλά χάριν τοῦ Θεοῦ τόν κρατήσαμε περιμένοντας νά μετανοήσει· καί νά, πού ἔφτασε στά χειρότερα.

Τούς ρωτάει τότε: Τί νά τόν κάνω λοιπόν; Ὅ,τι λέν οἱ νόμοι, τοῦ ἀπάντησαν. Ὁ νόμος —εἶπε ὁ ἄρχοντας— τούς ἱερόσυλους τούς φονεύει. Ἄς φονευθεῖ, ἦταν ἡ ἀπάντηση. Τούς ἄφησε αὐτούς καί ἔφερε τόν ἀδελφό. Καθισμένος στό δικαστικό βῆμα τοῦ λέει: Ὁμολόγησε, ἄθλιε, γιά νά γλυτώσεις τόν θάνατο. Καί ὁ ἀδελφός εἶπε: Ἐάν διατάζεις νά πῶ αὐτό πού δέν ἔγινε, τό λέω. Δέν θέλω —παρατήρησε ὁ δικαστής— νά πεῖς ψέματα ἐναντίον σου. Καί ὁ ἀδελφός πρόσθεσε: Τίποτε ἀπ' ὅσα μοῦ ρωτᾶτε δέν γνωρίζω νά τά ἔκανα ποτέ. Βλέποντας λοιπόν ὁ ἄρχοντας ὅτι δέν μαρτυρεῖ τίποτε, διατάζει νά ἀποκεφαλισθεῖ. Τόν παίρνουν λοιπόν οἱ δήμιοι καί πᾶν νά τόν ἀποκεφαλίσουν.

Τήν ὥρα ὅμως πού τόν πήγαιναν, αὐτός πού εἶχε ἀφαιρέσει τά κειμήλια ἔνιωσε συντριβή καί εἶπε στόν ἑαυτό του: Εἴτε τώρα εἴτε ὅποτε ἄλλοτε θά φανερωθεῖ ὁπωσδήποτε ἡ ὑπόθεση. Κι ἄν ἀκόμη ἐδῶ ξεφύγεις, τί θά κάνεις τήν ἡμέρα ἐκείνη; Πῶς θά ἀπολογηθεῖς γιά τέτοιες πράξεις; Πηγαίνει ἀμέσως στόν ἀββᾶ καί τοῦ λέει: Στεῖλε γρήγορα εἴδηση νά μήν ἐκτελεσθεῖ ὁ ἀδελφός, γιατί βρέθηκαν τά ἱερά σκεύη. Πληροφορεῖ ὁ ἀββᾶς τόν ἄρχοντα καί ἀφήνεται ἐλεύθερος ὁ ἀδελφός καί τόν φέρνουν στό κοινόβιο.

Ἄρχισαν τότε ὅλοι νά πέφτουν στά πόδια του καί νά τοῦ λένε: Σοῦ φταίξαμε, συγχώρεσέ μας. Κι ἐκεῖνος ἄρχισε μέ δάκρυα στά μάτια νά λέει: Συγχωρεῖστε με, σᾶς χρωστῶ μεγάλη εὐγνωμοσύνη, γιατί μέ τούς μικρούς αὐτούς κόπους ἀξιώνομαι μεγάλων ἀγαθῶν. Ἀλήθεια, ἡ χαρά μου

ἤκουον τὰ ὑφ' ὑμῶν λεγόμενα ἄτοπα περὶ ἐμοῦ, ὅτι, διὰ τῶν ὀλίγων τούτων ἐξουδενώσεων, τῶν μεγάλων τιμῶν κατὰ τὴν φοβερὰν ἡμέραν ἀξιωθήσεσθαι ἔμελλον. Πλείω δὲ νῦν ἔχαιρον ὅτι τοῦτό μοι ἐποιήσατε, εἰ μὴ ὅτι ἡ θλῖψίς μου ἦν δι' ὑμᾶς· προεώρων γὰρ τῆς διὰ τούτων τῶν πειρασμῶν προσδοκωμένης ἀναπαύσεως ἐν τῇ τῶν Οὐρανῶν Βασιλείᾳ τὴν ἀντίδοσιν.

Ἐπιζήσας δὲ ὁ ἀδελφὸς τρεῖς ἡμέρας ἀπῆλθε πρὸς Κύριον. Καὶ ἐλθὼν εἷς τῶν ἀδελφῶν ἰδεῖν πῶς ἔχει, εὑρίσκει αὐτὸν ἐπὶ γονάτων κείμενον· ἦν γὰρ μετάνοιαν ποιῶν καὶ προσευχόμενος καὶ οὕτως ἀπέδωκε τὴν ψυχήν· ἔμεινεν οὖν τὸ σῶμα ἔτι κείμενον εἰς μετάνοιαν. Καὶ ἔρχεται ὁ ἀδελφὸς καὶ λέγει τῷ ἀββᾷ. Κελεύει οὖν ἐνεχθῆναι τὸ σῶμα αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ, ἵνα ἐκεῖ ἐνταφιασθῇ. Ὡς οὖν ἔθηκαν αὐτὸν ἔμπροσθεν τοῦ θυσιαστηρίου, κελεύει κροῦσαι, ἵνα καὶ πᾶσα ἡ λαύρα συναχθῇ καὶ μετὰ δόξης τὸ σῶμα αὐτοῦ κατατεθῇ. Ὡς δὲ συνήγοντο, ἤθελεν ἕκαστος εὐλογίαν αὐτοῦ ἐπαίρειν. Ἰδὼν οὖν ὁ ἀββᾶς, τίθησι τὸ σῶμα αὐτοῦ εἰς τὸ ἱερατεῖον· καὶ ἀσφαλισάμενος τῷ κλειδίῳ, ἐξεδέχετο τὸν ἀββᾶν τῆς λαύρας, ἵνα κοινῇ ἐνταφιάσωσιν αὐτόν.

Ὡς οὖν ἦλθεν ὁ πατὴρ τῆς λαύρας μετὰ τῶν κληρικῶν καὶ ἐποίησαν τὴν εὐχήν, λέγει τῷ ἀββᾷ· Ἄνοιξον, φέρε τὸ σῶμα, ἵνα ἐνταφιασθῇ· ὅτι καιρὸς τῆς ἐνάτης ἐστὶ λοιπόν. Καὶ ἀνοίξας οὐδὲν εὗρεν, εἰμὴ μόνον τὰ ἱμάτια αὐτοῦ καὶ τὰ σανδάλια. Καὶ πάντες θαμβηθέντες, ἤρξαντο θαυμάζειν καὶ δοξάζειν τὸν Θεὸν μετὰ δακρύων καὶ λέγειν· Βλέπετε, ἀδελφοί, οἷα προξενεῖ ἡμῖν ἡ μακροθυμία καὶ ἡ ταπείνωσις;

Ὡς οὖν εἴδετε, οὕτω καὶ ὑμεῖς ἀγωνίσασθε ὑπομένον-

ἦταν μεγάλη πάντοτε, ὅταν ἄκουα νά λέγονται ἀπό μέρους σας ἐναντίον μου πράγματα πού δέν εἶχαν καμιά θέση, γιατί μ' αὐτόν τόν λίγο ἐξευτελισμό ἐπρόκειτο νά γίνω ἄξιος γιά μεγάλες τιμές τή φοβερή ἡμέρα τῆς κρίσεως. Καί θά χαιρόμουν ἀκόμη περισσότερο γι' αὐτό πού μοῦ κάνατε, ἄν δέν εἶχα θλίψη στήν καρδιά μου γιά σᾶς· γιατί διέβλεπα τήν ἀνταπόδοση τῆς ἀναπαύσεως στή Βασιλεία τῶν Οὐρανῶν μετά ἀπό τέτοιους πειρασμούς.

Μετά ἀπ' αὐτά ἔζησε τρεῖς μέρες ὁ ἀδελφός καί ἐξεδήμησε πρός Κύριον. Καί ὅταν ἕνας ἀδελφός πῆγε στό κελί του νά δεῖ πῶς εἶναι, τόν βρῆκε πεσμένο στά γόνατα. Γιατί καθώς ἔκανε μετάνοιες καί προσευχόταν, στή θέση αὐτή παρέδωσε τήν ψυχή του· καί τό σῶμα παρέμενε ἀκόμη στή στάση τῆς μετάνοιας. Πάει ὁ ἀδελφός καί τό ἀνακοινώνει στόν ἀββᾶ· καί δίνει ἐντολή ὁ ἀββᾶς νά μεταφερθεῖ τό σῶμα του στήν ἐκκλησία γιά νά ἐνταφιασθεῖ ἐκεῖ. Ὅταν λοιπόν τοποθετήθηκε ὁ νεκρός μπροστά ἀπό τό θυσιαστήριο, παρήγγειλε νά χτυπήσουν σήμαντρο γιά νά μαζευτεῖ καί ὅλη ἡ Λαύρα καί μέ τιμές νά ἐνταφιασθεῖ. Καθώς λοιπόν συγκεντρώνονταν οἱ ἀδελφοί, ἤθελε ὁ καθένας νά πάρει κάποια εὐλογία ἀπό τό λείψανο. Βλέποντάς το αὐτό ὁ ἀββᾶς τοποθέτησε τόν νεκρό στό ἱερό, τό κλείδωσε καί περίμενε τόν ἀββᾶ τῆς Λαύρας γιά νά κάνουν μαζί τόν ἐνταφιασμό.

Καί ὅταν ἦρθε ὁ πατήρ τῆς Λαύρας μέ τούς ἱερεῖς καί ἔκαναν τήν καθιερωμένη προσευχή, εἶπε στόν ἀββᾶ: Ἄνοιξε καί φέρε τόν νεκρό γιά νά γίνει ἡ ταφή, γιατί ἔφτασε ἡ ἐνάτη ὥρα. Ἄνοιξε ὁ ἀββᾶς καί δέν βρῆκε τίποτε μέσα ἐκτός ἀπό τά ροῦχα τοῦ νεκροῦ καί τά σανδάλια. Ὅλοι θαμπώθηκαν· καί ἄρχισαν νά θαυμάζουν καί νά δοξάζουν τόν Θεό μέ δάκρυα στά μάτια καί νά λένε: Βλέπετε, ἀδελφοί, τί ἀγαθά προξενεῖ ἡ μακροθυμία καί ἡ ταπείνωση;

Ὅπως εἴδατε λοιπόν τό παράδειγμα αὐτό, ἔτσι κι ἐσεῖς

τες ἐξουδένωσιν καὶ πειρασμόν, ὅτι Βασιλείαν Οὐρανῶν οἶδε προξενεῖν διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

12. Ἀδελφὸς ἔμενεν ἐν κοινοβίῳ ὑποτασσόμενος, καὶ ὠφελεῖτο ταπεινούμενος ἐν πᾶσιν· ἐκέρδαινεν δὲ ἐννέα καὶ ἐλυπεῖτο εἰς ἕν. Καὶ ἐξῆλθεν εἰς ἄλλο κοινόβιον καὶ ἠλαττώθη ἕν· ἐκέρδαινε δὲ ὀκτὼ καὶ ἐλυπεῖτο εἰς δύο. Καὶ πάλιν ἐξῆλθεν ἐκεῖθεν καὶ ἦλθεν εἰς ἄλλο κοινόβιον καὶ πάλιν ἐκέρδαινεν ἑπτὰ καὶ ἐλυπεῖτο εἰς τρία. Καὶ ἐξῆλθεν ὁμοίως τὸ αὐτὸ ποιῶν, ἕως εἶδεν ἑαυτὸν κερδαίνοντα πέντε καὶ λυπούμενον εἰς πέντε πράγματα. Ἔσχατον ἠθέλησεν εἰσελθεῖν εἰς ἄλλο κοινόβιον· καὶ πρὶν εἰσέλθῃ, ἔλαβε χαρτίον καὶ καθίσας λέγει ἐν ἑαυτῷ· Ἐὰν πεισθῇς τῷ λογισμῷ σου, οὐκ ἀρκεῖ σοι ὅλος ὁ κόσμος εἰς μετάβασιν, ἀλλὰ τάξον ἐν τῇ καρδίᾳ σου ὅτι ὑπομένεις καὶ γράψον ἐν τῷ πιττακίῳ τούτῳ· Ἐξῆλθες ἐκ τοῦδε τοῦ κοινοβίου ὅτι εἶχες περισπασμόν, καὶ ἀπὸ τοῦ ἄλλου διὰ τόδε. Καὶ τάσσει ὅλας τὰς αἰτίας τὰς ἐκβαλλούσας αὐτὸν ἀπὸ τοῦ κοινοβίου. Καὶ γράφει ὕστερον· Ὅλας τὰς αὐτὰς αἰτίας εὑρίσκεις ὧδε· ὑπομένεις; Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ ὑπομένω· καὶ ἑλίξας αὐτὸ βάλλει εἰς τὴν ζώνην αὐτοῦ καὶ εὐξάμενος, εἰσῆλθεν εἰς τὸ κοινόβιον.

Καὶ μετὰ χρόνον ἤρξατο βλέπειν τινὰ γινόμενα, ὧν παρῃτήσατο καὶ ὡς ἤρχετο ταράσσεσθαι, ἐλάμβανε κατ' ἰδίαν τὸ πιττάκιον ἐκεῖνο· καὶ ἀναγινώσκων, εὕρισκε τὸ ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπομένω. Καὶ

νά ἀγωνίζεσθε ὑπομένοντας ἐξευτελισμούς καί πειρασμούς, γιατί αὐτά εἶναι πού μᾶς χαρίζουν τή Βασιλεία τῶν Οὐρανῶν μέ τή χάρη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ».

12. Κάποιος ἀδελφός ἔμενε σέ κοινόβιο ἀσκώντας τήν ὑπακοή καί ὠφελοῦνταν πολύ, καθώς δεχόταν νά ταπεινώνεται σέ ὅλα. Ἔτσι κέρδιζε σέ ἐννέα περιπτώσεις καί λυπόταν γιά μιά. Φεύγει ὅμως καί πάει σέ ἄλλο κοινόβιο· καί ἐλαττώνεται ἐκεῖ κατά ἕνα· κέρδιζε δηλαδή σέ ὀκτώ περιπτώσεις καί θλιβόταν στίς δυό. Καί ἀπό 'κεῖ φεύγει πάλι καί πάει σ' ἄλλο κοινόβιο καί ἐπαναλαμβάνεται τό ἴδιο, κέρδιζε στίς ἑπτά καί λυπόταν στίς τρεῖς. Καί ἀπό αὐτό ἔφυγε κατά τόν ἴδιο τρόπο, ἕως ὅτου ἔφθασε νά κερδίζει πέντε καί νά λυπᾶται γιά πέντε πράγματα.

Τελευταῖα θέλησε νά μπεῖ σέ ἄλλο κοινόβιο. Ἀλλά προτοῦ μπεῖ, πῆρε ἕνα χαρτί καί ἀφοῦ κάθισε, εἶπε στόν ἑαυτό του: «Ἐάν θά ἀκοῦς τί σοῦ λέει ὁ λογισμός σου, δέν θά σοῦ ἀρκέσει ὁ κόσμος ὁλόκληρος γιά νά πηγαίνεις ἀπ' τό ἕνα μοναστήρι στό ἄλλο. Βάλε λοιπόν καλά στήν καρδιά σου ὅτι θά ὑπομένεις. Καί γράψε σ' αὐτό τό χαρτί: Ἔφυγες ἀπό τό τάδε κοινόβιο, γιατί εἶχες περισπασμό· καί ἀπό τό ἄλλο γιά ἐκεῖνον τόν λόγο». Καί ἔβαλε στή σειρά ὅλες τίς αἰτίες πού τόν ἔκαναν νά φύγει ἀπό τό κοινόβιο. Καί πρόσθεσε ὕστερα: «Τίς ἴδιες αὐτές αἰτίες ὅλες θά τίς βρεῖς ἐδῶ. Θά τίς ὑπομένεις; Στό ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ θά τίς ὑπομένω». Στή συνέχεια τό τύλιξε, τό 'βαλε στή ζώνη του καί ἀφοῦ προσευχήθηκε, μπῆκε στό κοινόβιο.

Μετά ἀπό κάποιο χρονικό διάστημα ἄρχισε νά βλέπει κάποια πράγματα ἀπ' αὐτά πού εἶχε ἐπιδιώξει νά ἀποφύγει. Καί ὅταν πήγαινε νά ταραχθεῖ, ἔπαιρνε ἀπομονωμένος τό σημείωμα ἐκεῖνο καί διαβάζοντάς το εὕρισκε τό «Ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ θά ὑπομείνω».

ἀνεπαύετο λέγων ἐν ἑαυτῷ· Τῷ Θεῷ συνετάξω· παρ' αὐτοῦ αἴτει βοήθειαν· ὁμοίως καὶ ἄλλο θεασάμενος, τὸ αὐτὸ ποιῶν ἀνεπαύετο.

Μὴ φέρων οὖν ὁ πονηρὸς τὴν ὑπομονὴν τοῦ ἀδελφοῦ, ὑποβάλλει τοῖς ἀδελφοῖς κατανοῆσαι πῶς ἀναγινώσκων ὁ ἀδελφὸς θεραπεύεται καὶ λέγουσιν ὅτι· Φαρμακός ἐστιν καὶ ἀναγινώσκων οὐ ταράσσεται, ὅταν ἡμεῖς ταρασσώμεθα. Καὶ ἀνέρχονται πρὸς τὸν ἀββᾶν καὶ λέγουσιν αὐτῷ· Οὐ δυνάμεθα μεῖναι μετὰ τοῦ ἀδελφοῦ τοῦδε ὅτι γόης ἐστί· καὶ ἐν τῇ ζώνῃ αὐτοῦ ἐστιν ἡ γοητεία αὐτοῦ· ἀλλ' εἰ θέλεις αὐτὸν ἔχειν, ἀπόλυσον ἡμᾶς. Ὁ δὲ ἀββᾶς, πνευματικὸς ὢν καὶ γινώσκων τὴν ταπείνωσιν τοῦ ἀδελφοῦ, ἐννόησεν ἐκ φθόνου τοῦ διαβόλου εἶναι τὸ γινόμενον καὶ λέγει τοῖς ἀδελφοῖς· Ὑπάγετε εὔξασθαι κἀγὼ εὔχομαι καὶ μετὰ τρεῖς ἡμέρας λέγω ὑμῖν τὴν ἀπόκρισιν.

Ὡς κοιμᾶται οὖν ὁ ἀδελφός, λύει ὁ ἀββᾶς τὴν ζώνην αὐτοῦ καὶ ἀναγινώσκει τὸ πιττάκιον καὶ τίθησιν αὐτὸ καὶ πάλιν ζώννυσιν αὐτόν. Καὶ μετὰ τρεῖς ἡμέρας ἔρχονται οἱ ἀδελφοὶ καὶ λέγουσι τῷ ἀββᾷ· Ἐλέησον ἡμᾶς, εἰπὲ ἡμῖν τί ποιεῖς. Καὶ λέγει· Καλέσατε τὸν ἀδελφόν. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς· Διατί σκανδαλίζεις τοὺς ἀδελφούς; Καὶ ἀπεκρίθη· Ἥμαρτον, συγχώρησόν μοι καὶ εὔξασθε ὑπὲρ ἐμοῦ. Καὶ λέγει ὁ ἀββᾶς τοῖς ἀδελφοῖς· Τί εἴπατε ὅτι ποιεῖ ὁ ἀδελφὸς οὗτος; Καὶ λέγουσι· Γόης ἐστὶ καὶ ἡ γοητεία αὐτοῦ εἰς τὴν ζώνην αὐτοῦ ἐστι. Καὶ λέγει ὁ ἀββᾶς· Ἐκβάλετε τὰς μαγείας αὐτοῦ. Ὡς δὲ οὐκ ἤφιεν αὐτοὺς ὁ ἀδελφὸς λῦσαι τὴν ζώνην αὐτοῦ, κελεύει ὁ ἀββᾶς καὶ κόπτουσιν αὐτήν· τότε εὑρέθη τὸ χαρτίον. Καὶ παρέχει αὐτὸ ὁ ἀββᾶς τινι τῶν διακόνων καὶ κελεύει αὐτῷ ἐπὶ ὑψηλοῦ στῆναι καὶ ἀναγνῶναι λέγων· Ἵνα καὶ ἐν τούτῳ ὁ διάβολος αἰσχυνθῇ, ὁ ὑποβάλ-

Ἔτσι ἀναπαυόταν λέγοντας μέσα του: «Ἔκανες συμφωνία μέ τόν Θεό· ἀπ' Αὐτόν ζήτησε βοήθεια». Κι ὅταν ἔβλεπε ἐπίσης καί ἄλλα, ἔκανε τό ἴδιο καί ἀναπαυόταν.

Ὁ πονηρός ὅμως δέν τήν ἄντεξε τήν ὑπομονή τοῦ ἀδελφοῦ καί βάζει στούς ἀδελφούς τόν λογισμό νά καταλάβουν πῶς ὁ ἀδελφός διαβάζοντας καταπραΰνεται. Καί εἶπαν: «Εἶναι μάγος καί τήν ὥρα πού ἐμεῖς ταραζόμαστε, αὐτός διαβάζοντας ξόρκια δέν ταράζεται». Πᾶνε λοιπόν στόν ἀββᾶ καί τοῦ λένε: «Δέν μποροῦμε νά μένουμε μέ τόν ἀδελφό αὐτόν, γιατί εἶναι μάγος καί τά μάγια του βρίσκονται στή ζώνη του· ἀλλά ἐάν θέλεις νά τόν κρατήσεις, δῶσε εὐλογία νά φύγουμε ἐμεῖς». Ὁ ἀββᾶς ὅμως ἐπειδή ἦταν πνευματοφόρος καί γνώριζε τήν ταπείνωση τοῦ ἀδελφοῦ, κατάλαβε ὅτι ἀπό διαβολικό φθόνο προερχόταν αὐτό καί λέει στούς ἀδελφούς: «Πᾶτε, προσευχηθεῖτε, θά προσευχηθῶ κι ἐγώ καί μετά τρεῖς μέρες θά σᾶς δώσω τήν ἀπάντηση».

Ὅταν λοιπόν κοιμήθηκε ὁ ἀδελφός, ὁ ἀββᾶς λύνει τή ζώνη του καί διαβάζει τό σημείωμα. Τό βάζει κατόπιν στή θέση του καί τοῦ δένει τή ζώνη. Ὅταν ἔγιναν οἱ τρεῖς μέρες, ἔρχονται οἱ ἀδελφοί καί λένε στόν ἀββᾶ: «Λυπήσου μας καί πές μας τί θά κάνεις».

«Καλέστε τόν ἀδελφό», προστάζει. Καί τοῦ λέει ὁ ἀββᾶς: «Γιατί σκανδαλίζεις τούς ἀδελφούς;» «Ἥμαρτον — ἀποκρίνεται ὁ ἀδελφός— συγχώρεσέ με καί προσευχηθεῖτε γιά μένα». Ρωτάει ὁ ἀββᾶς τούς ἀδελφούς: «Τί εἴπατε ὅτι κάνει ὁ ἀδελφός αὐτός;» «Εἶναι μάγος —τοῦ λένε— καί τά μαγικά του βρίσκονται στή ζώνη του». Καί ὁ ἀββᾶς τούς λέει: «Βγάλτε τά μαγικά του». Ἀλλά ἐπειδή δέν ἄφηνε ὁ ἀδελφός νά τοῦ λύσουν τή ζώνη, δίνει ἐντολή ὁ ἀββᾶς καί τήν κόβουν. Τότε βρέθηκε τό χαρτί. Τό δίνει ὁ ἀββᾶς σέ κάποιον ἀπό τούς διακόνους καί λέγοντας «γιά νά ντροπιαστεῖ καί μ' αὐτό ὁ διάβολος, αὐτός πού σπέρνει ὕπουλα τίς

λων τὰς γοητείας τοῖς ἀνθρώποις. Καὶ ὅταν ἀνεγνώσθη τὸ μικρὸν χαρτίον καὶ τὸ ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ὑπομένω τοῖς ἀδελφοῖς, αἰσχυνθέντες οἱ ἀδελφοί, μᾶλλον δὲ ὁ διάβολος, ἔβαλον τῷ ἀββᾷ μετάνοιαν λέγοντες· Ἡμάρτομεν. Λέγει αὐτοῖς ὁ ἀββᾶς· Ἐμοὶ βάλλετε μετάνοιαν; Τῷ Θεῷ καὶ τῷ ἀδελφῷ βάλετε μετάνοιαν. Καὶ εἶπεν ὁ ἀββᾶς τῷ ἀδελφῷ· Εὐξώμεθα τῷ Θεῷ, ἵνα συγχωρήσῃ αὐτοῖς. Καὶ ηὔξαντο ὑπὲρ αὐτῶν.

13. Εὐνοῦχος ἔμενεν εἰς τὴν ἐσωτέραν ἔρημον τῆς Σκήτεως· εἶχε δὲ τὸ κελλίον ὡς ἀπὸ μιλίων δέκα καὶ ὀκτὼ τῆς αὐτῆς Σκήτεως. Ἅπαξ οὖν τῆς ἑβδομάδος παρέβαλλε τῷ ἀββᾷ Δανιὴλ νυκτός, μηδενὸς γινώσκοντος εἰμὴ τοῦ μαθητοῦ αὐτοῦ καὶ μόνου· παρήγγειλε δὲ ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ, ἵνα γεμίζῃ κεράμιον ὕδατος τῷ αὐτῷ εὐνούχῳ ἅπαξ τῆς ἑβδομάδος καὶ ἀποφέρῃ καὶ τίθησιν τὸ κεράμιον αὐτὸ πρὸς τὴν θύραν ἔξω. Καὶ κροῦε μόνον καὶ ἀναχώρει, μηδὲ ὅλως ὁμιλῶν μετ' αὐτοῦ, ἀλλὰ μόνον ἐπισκέπτου καὶ εἴποτε εὕρῃς ὄστρακον ἔγγιστα τῆς θύρας τοῦ σπηλαίου γεγραμμένον, φέρε αὐτὸ μετὰ σοῦ. Οὕτως οὖν ἐποίει ὁ μαθητὴς ἐκεῖνος.

Μιᾷ οὖν τῶν ἡμερῶν, εὑρίσκει ὄστρακον ὁ μαθητὴς ἐπιγεγραμμένον· Φέρε τὰ ἐργαλεῖα καὶ δεῦρο μόνος, ἀλλὰ καὶ ὁ μαθητής σου. Καὶ ἀναγνοὺς ὁ Γέρων τοῦ ὀστράκου τὴν ἐπιγραφὴν ἔκλαυσε κλαυθμὸν μέγα καὶ λέγει πρὸς τὸν μαθητήν· Ἀβάλε τῇ ἐσωτέρᾳ ἐρήμῳ· ποῖον στύλον ἐξαφίησι σήμερον! Καὶ λέγει τῷ μαθητῇ αὐτοῦ· Βάστα ταῦτα τὰ σκεύη καὶ δεῦρο ἀκολούθει μοι· οὐαί. Ἄγωμεν συντόμως, φθάσωμεν τὸν Γέροντα μήποτε στερηθῶμεν τῶν εὐχῶν

μαγεῖες στούς ἀνθρώπους», τοῦ παραγγέλνει νά σταθεῖ σέ ὑψηλό βάθρο καί νά τό διαβάσει.

Καί ὅταν διαβάστηκε στούς ἀδελφούς τό μικρό χαρτί καί μάλιστα τό «ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ θά ὑπομείνω», ντροπιάσθηκαν οἱ ἀδελφοί, καί περισσότερο ὁ διάβολος, καί ἔβαλαν μετάνοια στόν ἀββᾶ λέγοντας: «Ἁμαρτήσαμε». Καί ὁ ἀββᾶς τούς λέει: «Σέ μένα βάζετε μετάνοια; Στόν Θεό καί στόν ἀδελφό βάλτε μετάνοια». Καί εἶπε στόν ἀδελφό ὁ ἀββᾶς: «Ἄς προσευχηθοῦμε στόν Θεό νά τούς συγχωρήσει». Καί προσευχήθηκαν ὑπέρ αὐτῶν.

13. Κάποιος εὐνοῦχος ἔμενε στήν πιό ἀπόμακρη ἔρημο τῆς Σκήτης. Τό κελλί του ἀπεῖχε δεκαοκτώ μίλια περίπου ἀπό τήν καθαυτό Σκήτη. Μιά φορά τήν ἑβδομάδα πήγαινε στόν ἀββᾶ Δανιήλ* τή νύκτα καί δέν τό ἤξερε κανείς αὐτό παρά μόνο ὁ μαθητής τοῦ ἀββᾶ. Ὁ Γέροντας εἶχε δώσει παραγγελία στόν μαθητή του νά γεμίζει μιά στάμνα νερό γι' αὐτόν τόν εὐνοῦχο μιά φορά τήν ἑβδομάδα, καί νά τήν τοποθετεῖ δίπλα στήν πόρτα του ἀπ' ἔξω. «Νά χτυπᾶς μόνο τήν πόρτα καί νά φεύγεις —τοῦ εἶπε. Νά κάνεις τήν ἐπίσκεψη χωρίς νά μιλᾶς καθόλου μαζί του· καί ἄν κάποια φορά βρεῖς κανένα ὄστρακο γραμμένο δίπλα στήν πόρτα τῆς σπηλιᾶς, πάρε το μαζί σου καί φέρ' το». Καί τηροῦσε ἀκριβῶς τήν παραγγελία ὁ μαθητής ἐκεῖνος.

Κάποια λοιπόν μέρα βρίσκει ὁ μαθητής ἕνα ὄστρακο πού ἔγραφε ἐπάνω του «Φέρε τά ἐργαλεῖα καί ἔλα μόνος, ἀλλά ἄς συνοδεύσει καί ὁ μαθητής σου». Σάν διάβασε ὁ Γέροντας τό ὄστρακο, θρήνησε πολύ. Κατόπιν λέει στραμμένος πρός τόν μαθητή: «Ἀλίμονο στήν ξέμακρη ἔρημο! Ποιό στήριγμα χάνει σήμερα!» Καί τοῦ παρήγγειλε εὐθύς: «Κράτα αὐτά τά πράγματα καί ἔλα ἀκολούθησέ με. Ἀλί μας! Πᾶμε γρήγορα γιά νά προλάβουμε τόν Γέροντα, μή

αὐτοῦ, πρὸς τὸν Κύριον γὰρ ὁδεύει. Καὶ κλαύσαντες ἀμφότεροι ἀπῆλθον.

Καὶ εὑρίσκουσιν αὐτὸν πυρετῷ σφοδρῷ συνεχόμενον· καὶ ῥίπτει ἑαυτὸν ὁ Γέρων εἰς τὸ στῆθος αὐτοῦ· καὶ ἔκλαυσε πολλὰ καὶ εἶπε· Μακάριος εἶ ὅτι τῆς ὥρας ταύτης φροντίζων, κατεφρόνησας βασιλείας ἐπιγείου καὶ πάντων ἀνθρώπων. Καὶ λέγει ὁ εὐνοῦχος· Μακάριος εἶ σύ, νέε Ἀβραὰμ καὶ ξενοδόχε Χριστοῦ· ὅτι πολλοὺς καρποὺς δέχεται ὁ Κύριος διὰ τῶν χειρῶν σου. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ποίησον ἡμῖν εὐχήν, πάτερ· καὶ λέγει αὐτῷ ὁ εὐνοῦχος· Ἐγὼ χρείαν ἔχω πολλῶν εὐχῶν ἐν τῇ ὥρᾳ ταύτῃ. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ προελάμβανον ἐγὼ εἰς τὴν ὥραν ταύτην, εἶχον παρακαλέσαι ὑπὲρ σοῦ· καὶ ἀνακαθίσας ἐπὶ ψιαθίου ὁ εὐνοῦχος, περιλαμβάνει τὴν κεφαλὴν τοῦ Γέροντος καὶ κατεφίλει λέγων· Ὁ Θεός, ὁ ὁδηγήσας με ἐν τῷ τόπῳ τούτῳ, Αὐτὸς πληρώσαι μετὰ γήρους σου ὡς μετὰ Ἀβραάμ. Καὶ λαβὼν ὁ Γέρων τὸν μαθητὴν αὐτοῦ, ἔρριψεν αὐτὸν εἰς τὰ γόνατα τοῦ εὐνούχου λέγων· Εὐλόγησον τὸ τέκνον μου, πάτερ. Καὶ καταφιλήσας αὐτόν, λέγει αὐτῷ· Ὁ Θεὸς ὁ παρεστηκώς μοι ἐν τῇ ὥρᾳ ταύτῃ τοῦ χωρίσαι με ἐκ τοῦ σώματος τούτου, ὁ εἰδὼς πόσα βήματα ἔβαλεν εἰς τὸ κελλίον τοῦτο ὁ ἀδελφὸς οὗτος διὰ τὸ ὄνομά σου, ἀνάπαυσον τὸ πνεῦμα τῶν Πατέρων αὐτοῦ ἐπ' αὐτόν, ὡς ἀνέπαυσας τὸ πνεῦμα Ἠλιοὺ ἐπὶ Ἐλισαιέ. Καὶ λέγει τῷ Γέροντι ὁ

11. Ἡ φιλοξενία τοῦ Ἀβραάμ ὑπῆρξε παροιμιώδης καί ἐπιβραβεύθηκε μέ τήν παρουσία τοῦ Θεοῦ στή Μαμβρή ὑπό μορφήν τριῶν ἀνθρώπων ἀγνώστων, οἱ ὁποῖοι δέχθηκαν τή φιλόστοργη ξενία του. Καί τήν ὥρα ἀκριβῶς τῆς φιλοξενίας ἐπαναλήφθηκε ἡ ὑπόσχεση τοῦ Θεοῦ στόν Ἀβραάμ ὅτι θά γίνει πηγή εὐλογίας γιά τούς ἄλλους λαούς (Γεν. 18, 1-19 καί 17, 1-22). Ὁ εὐνοῦχος ἐδῶ παραβάλλει τόν ἀββᾶ Δανιήλ πρός τόν Ἀβραάμ καί τόν ἀποκαλεῖ μάλιστα καί ξενοδόχο τοῦ Χριστοῦ, γιατί κι αὐτός ἐπί εἰκοσιοκτώ ὁλόκληρα ἔτη κάτω ἀπό δυσμενέστατες συνθῆκες πρόσφερε φιλόστοργη ξενία στόν ἴδιο, πού φθάνει ὅμως στόν Χριστό, γιατί κατά τόν λόγο τοῦ Κυρίου «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων ἐμοὶ ἐποιήσατε» (Ματθ. 25, 40). Καί εὔχεται, στή συνέχεια, νά τόν εὐλογήσει πλούσια ὁ Θεός στά γηρατειά του, ὅπως ἔκανε καί στόν Ἀβραάμ.

τυχόν στερηθοῦμε τίς εὐχές του, γιατί φεύγει πρός τόν Κύριο». Καί ἀφοῦ ἔκλαψαν καί οἱ δυό ἔφυγαν.

Τόν βρῆκαν τόν εὐνοῦχο νά ζεματάει ἀπό ὑψηλό πυρετό. Ἔπεσε ὁ Γέροντας στό στῆθος του καί ἔχυσε πολλά δάκρυα· ὕστερα τοῦ εἶπε: «Εἶσαι καλότυχος, γιατί ἔχοντας φροντίδα γιά τήν ὥρα τούτη, καταφρόνησες βασιλεία ἐπίγεια καί ὅλους τούς ἀνθρώπους». Καί ἀπάντησε ὁ εὐνοῦχος: «Καλότυχος εἶσαι σύ, νέε Ἀβραάμ καί ξενοδόχε τοῦ Χριστοῦ[11], γιατί ὁ Κύριος δέχεται πολλούς καρπούς ἀπό τά χέρια σου». Καί συνεχίζει ὁ Γέροντας Δανιήλ: «Κάνε μιά προσευχή γιά μᾶς, πάτερ». Ἀλλά ὁ εὐνοῦχος τοῦ λέει: «Ἐγώ ἔχω ἀνάγκη τήν ὥρα αὐτή πολλῶν προσευχῶν». «Ἄν ἔφθανα ἐγώ —ἀπαντάει ὁ Γέροντας— πρίν ἀπό σένα στήν ὥρα αὐτή, θά παρακαλοῦσα γιά σένα». Ἀνακάθισε τότε πάνω στό ψαθί του ὁ εὐνοῦχος, πῆρε τό κεφάλι τοῦ Γέροντα στά χέρια του καί τό ἀσπαζόταν λέγοντας: «Ὁ Θεός πού μέ ὁδήγησε στόν τόπο αὐτό, αὐτός εἴθε στά γηρατιά σου νά σοῦ δώσει πληρότητα εὐλογιῶν ὅπως καί στόν Ἀβραάμ». Κατόπιν πῆρε ὁ Γέροντας τόν μαθητή του καί τόν ἔριξε στά γόνατα τοῦ εὐνούχου λέγοντας: «Εὐλόγησε τό τέκνο μου, πάτερ». Τόν ἀσπάσθηκε κι αὐτόν καί εἶπε: «Θεέ μου, Σύ πού μοῦ παραστέκεσαι τήν ὥρα αὐτή νά μέ χωρίσεις ἀπό τό σῶμα αὐτό, καί πού γνωρίζεις πόσα βήματα ἔκανε ὁ ἀδελφός αὐτός γιά τό κελί τοῦτο χάριν τοῦ ὀνόματός σου, κάνε νά ἀναπαυθεῖ τό πνεῦμα τῶν Πατέρων του σ' αὐτόν, ὅπως ἀνέπαυσες τό πνεῦμα τοῦ προφήτη Ἠλία πάνω στόν Ἐλισσαῖο»[12]. Καί εὐθύς λέει στόν Γέροντα ὁ εὐνοῦχος: «Γιά

12. Δ' Βασ. 2, 15.

εὐνοῦχος· Διὰ τὸν Κύριον, μὴ ἀποδύσητέ με ἃ φορῶ· ἀλλ' ὡς εἰμί, οὕτω με πέμψατε πρὸς Κύριον, καὶ μὴ μάθῃ ἄλλος τις τὰ περὶ ἐμοῦ, εἰμὴ ὑμεῖς μόνοι.

Καὶ λέγει τῷ Γέροντι· Δός μοι κοινωνῆσαι. Καὶ κοινωνήσας λέγει· Δότε μοι τὴν ἐν Χριστῷ ἀγάπην καὶ εὔξασθε ὑπὲρ ἐμοῦ· καὶ ἀναβλέπει εἰς τὰ δεξιὰ καὶ λέγει· Καλῶς ἤλθετε· καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς πῦρ· καὶ ποιεῖ εἰς τὸ στόμα αὐτοῦ τὸν σταυρὸν καὶ λέγει· Εἰς χεῖράς σου, ὁ Θεός, παρατίθημι τὸ πνεῦμά μου. Καὶ οὕτω παρέδωκε τὴν ψυχὴν αὐτοῦ τῷ Κυρίῳ· καὶ κλαύσαντες ἀμφότεροι, ὤρυξαν ἔμπροσθεν τοῦ σπηλαίου· καὶ ἀποδυσάμενος ὁ Γέρων ἱμάτια ἃ ἐφόρει, λέγει τῷ μαθητῇ αὐτοῦ· Ἔνδυσον αὐτὸν ἐπάνω ὧν φορεῖ· ἐφόρει δὲ φασκίδιν σεβίνινον ἔσωθεν καὶ κεντώνιον. Ἐνδύων δὲ αὐτὸν ὁ ἀδελφός, προσέχει καὶ βλέπει ὅτι τά βυζία αὐτοῦ γυναικός εἰσι, ὡς ἐπὶ φύλλων δύο ξηρῶν, καὶ οὐκ ἐλάλησε· καὶ θάψαντες αὐτὸν ἐποίησαν εὐχήν· καὶ λέγει ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Καταλύσωμεν τὴν νηστείαν καὶ ποιήσωμεν ἀγάπην ἐπάνω τοῦ Γέροντος. Καὶ κοινωνήσαντες εὗρον ἔχοντα αὐτὸν ὀλίγους παξαμάδας καὶ βρεκτά· καὶ ποιήσαντες ἀγάπην ἐπάνω αὐτοῦ καὶ βαστάσαντες τὴν σειρὰν ἣν ἔκαμνεν, ἦλθον εὐχαριστοῦντες τῷ Θεῷ εἰς τὸ κελλίον ἑαυτῶν.

Ὁδευόντων δὲ αὐτῶν, λέγει ὁ μαθητὴς τῷ Γέροντι· Οἶδας, πάτερ, ὅτι ὁ εὐνοῦχος ἐκεῖνος γυνὴ ἦν; Ἐνδύων γὰρ αὐτὸν τὰ βυζία αὐτοῦ εἶδον καὶ γυναικὸς ἦσαν, ὡς φύλλα μεμαραμένα. Καὶ λέγει ὁ Γέρων· Οἶδα, τέκνον, ὅτι γυνή ἐστι· θέλεις οὖν ἐξηγήσομαί σοι τὰ περὶ αὐτῆς; Ἀκου-

13. Βλ. Κεφ. ΣΤ ὑποσημ. 6 σελ. 246.

14. Ἡ λ. κεντώνιον (κέντων) τοῦ ἀρχαίου κειμένου σημαίνει ροῦχο φτιαγ-

τ' ὄνομα τοῦ Κυρίου, μή μέ ξεντύσετε, ἀλλά ὅπως εἶμαι στεῖλτε με πρός τόν Κύριο. Καί τά σχετικά μέ τή ζωή μου ἄς μή τά μάθει κανένας ἄλλος ἐκτός ἀπό σᾶς».

Εἶπε κατόπιν στόν Γέροντα: «Δῶσ' μου νά μεταλάβω» καί ἀφοῦ κοινώνησε τούς λέει: «Δῶστε μου τόν ἐν Χριστῷ ἀσπασμό καί προσευχηθεῖτε γιά μένα». Τήν ὥρα ἐκείνη ἔριξε τό βλέμμα του ψηλά στά δεξιά καί εἶπε: «Καλῶς ἤλθατε» καί ἔλαμψε τό πρόσωπό του σάν φωτιά. Σταύρωσε τότε μέ τό σημεῖο τοῦ σταυροῦ τό στόμα του λέγοντας: «Στά χέρια σου, Θεέ μου, παραδίνω τό πνεῦμα μου». Καί μ' αὐτόν τόν τρόπο παρέδωσε τήν ψυχή του στόν Κύριο. Κλάψαν καί οἱ δύο πάνω του καί ἔσκαψαν κατόπιν μπροστά ἀπό τό σπήλαιο. Ἔβγαλε ὁ Γέροντας τό ἐπανωφόρι πού φοροῦσε καί εἶπε στόν μαθητή του: «Ντύσ' τον πάνω ἀπ' ὅσα φοράει». Καί φοροῦσε ὁ ἀδελφός ἕνα ἐσώρουχο ἀπό σίβινο[13] κι ἕνα κουρελιάρικο χιτώνα[14]. Ντύνοντάς τον ὁ ἀδελφός ἔπεσε τό βλέμμα του καί εἶδε ὅτι οἱ μαστοί του ἦταν μαστοί γυναίκας σάν δυό ξερά φύλλα, ἀλλά δέν εἶπε τίποτε. Ἀφοῦ τόν ἔθαψαν καί προσευχήθηκαν, εἶπε ὁ Γέροντας στόν μαθητή του: «Ἄς καταλύσουμε τή νηστεία καί ἄς φᾶμε κάτι πάνω στόν τάφο τοῦ Γέροντα σέ ἔνδειξη ἀγάπης». Κοινώνησαν καί ἔπειτα βρῆκαν ἐκεῖ λίγα παξιμάδια καί βρεγμένα ὄσπρια πού εἶχε ὁ ἀδελφός καί ἔφαγαν στή μνήμη του. Πῆραν κατόπιν τό ἐργόχειρο πού ἔκανε καί εὐχαριστώντας τόν Θεό ξεκίνησαν για τό κελί τους.

Καθώς βάδιζαν, λέει ὁ μαθητής στόν Γέροντα: «Τό ξέρεις, πάτερ, ὅτι ὁ εὐνοῦχος αὐτός ἦταν γυναίκα; Ντύνοντάς τον εἶδα ὅτι εἶχε μαστούς γυναίκας, σάν φύλλα μαραμένα». Καί λέει ὁ Γέροντας: «Τό γνωρίζω, παιδί μου, ὅτι ἦταν γυναίκα. Θέλεις νά σοῦ πῶ τά σχετικά μέ τή ζωή της;

μένο μέ συρραφή ἀπό διάφορα κομμάτια παλιῶν ὑφασμάτων.

σον· αὕτη πρώτη πατρικία ἦν τοῦ παλατίου καὶ ὁ βασιλεὺς Ἰουστινιανὸς ἠθέλησε λαβεῖν αὐτὴν ἐν τῷ παλατίῳ, διὰ τὴν πολλὴν σύνεσιν αὐτῆς. Μανθάνει οὖν ἡ Θεοδώρα καὶ ἀγανακτήσασα ἐβουλεύετο ἐξορίσαι αὐτήν· γνωστὸν δὲ αὐτῇ ἐγένετο περὶ τούτου. Καὶ μισθοῦται πλοῖον καὶ νυκτὸς ἐμβαλλομένη τινὰ τῶν αὐτῆς πραγμάτων καὶ φυγῇ χρησαμένη καταλαμβάνει τὴν Ἀλεξάνδρειαν· καὶ κατοικεῖ εἰς τὸ Πέμπτον Ἀλεξανδρείας ἐν οἷς καὶ συνεστήσατο ἐκεῖ μοναστήριον· καὶ λέγεται ἕως τῆς σήμερον τὸ τῆς Πατρικίας.

Καὶ μετὰ τὸ ἀποθανεῖν τὴν Θεοδώραν, πάλιν μανθάνει ὅτι βούλεται ὁ βασιλεὺς μεταστείλασθαι αὐτήν. Καὶ πάλιν ἔφυγε νυκτὸς ἀπὸ Ἀλεξανδρείας καὶ ἦλθεν ἐνταῦθα ἔγγιστά μου μόνη· καὶ παρεκάλεσέ με δοῦναι αὐτῇ κελλίον ἔξω τῆς Σκήτεως· καὶ ἀνέθετό μοι πάντα κατὰ λεπτὸν τὰ τοῦ πράγματος· καὶ ἔδωκα αὐτῇ τὸ σπήλαιον τοῦτο· καὶ μετημφιάσθη εἰς τὸ ἀνδρικὸν σχῆμα. Ἤδη οὖν σήμερον εἰκοσιοκτὼ ἔτη ἔχει ἐν τῇ Σκήτει, καὶ οὐδεὶς ἔγνω αὐτήν, εἰμὴ σὺ καὶ ἄλλος εἷς ἀδελφὸς καὶ ἐγὼ ὁ Γέρων. Ὅτε γὰρ ἀπηρχόμην ἐν τόπῳ τινί, παρήγγελλον τῷ ἀδελφῷ, ἵνα γεμίζῃ αὐτῇ τὸ κεράμιον τοῦ ὕδατος. Οὐδεὶς δὲ ἔμαθε τίς ἐστιν, εἰμὴ σὺ ἤδη μόνος. Πόσους οὖν μαγιστριανοὺς ἔπεμψεν ὁ βασιλεὺς Ἰουστινιανὸς εἰς ἀναζήτησιν αὐτῆς! Οὐ μόνον δὲ αὐτός, ἀλλὰ καὶ ὁ πάπας Ἀλεξανδρείας καὶ πᾶσα ἡ πόλις καὶ οὐδεὶς οἶδεν ἐν ποίῳ τόπῳ διάγει ἕως τῆς σήμερον ἡμέρας.

---

15. Ὁ πατρίκιος (θηλ. πατρικία) (στό ρωμαϊκό καί ὥς τόν 12ο αἰῶνα καί στό βυζαντινό κράτος) σήμαινε αὐτόν πού ἀνήκει στήν ἀνώτερη κοινωνική ἤ πολιτική τάξη, σέ ἀντιδιαστολή πρός τό πληβεῖος. Ἀντιστοιχεῖ μέ τό νεοελληνικό: ἄρχοντας, ἀριστοκράτης. Ἐπίσης ἦταν τίτλος, ἰσόβιος ἀλλά ὄχι κληρονομικός, πού ἀπένεμε ὁ βυζαντινός αὐτοκράτορας σέ πρόσωπα προσκείμενα στό παλάτι, σέ ἀνωτάτους αὐλικούς, πολιτικούς, στρατιωτικούς κλπ. καί ὁ μόνος τίτλος πού δινόταν σέ γυναῖκες μέλη τῆς βασιλικῆς οἰκογενείας ἤ σέ προσκείμενες στά ἀνάκτορα.

Ἄκουσε· αὐτή ἦταν πρώτη πατρικία[15] τοῦ παλατιοῦ καί ὁ βασιλιάς Ἰουστινιανός[16] θέλησε νά τήν πάρει στό παλάτι γιά τήν πολλή σύνεσή της. Μόλις τό ἔμαθε ἡ Θεοδώρα[17], ἀγανάκτησε καί σχεδίαζε νά τήν ἐξορίσει. Ἐνημέρωσαν ὅμως σχετικά τήν πατρικία, ἡ ὁποία μίσθωσε εὐθύς ἕνα καράβι καί κατά τή διάρκεια τῆς νύκτας, ἀφοῦ φόρτωσε ὁρισμένα ἀπό τά πράγματά της, ξεκίνησε κρυφά καί ἔφτασε στήν Ἀλεξάνδρεια. Ἐκεῖ κατοίκησε στό Πέμπτο[18] τῆς Ἀλεξάνδρειας, ὅπου καί ἵδρυσε μοναστήρι καί μέχρι σήμερα ὀνομάζεται τό μοναστήρι τῆς Πατρικίας.

Μετά τόν θάνατο τῆς Θεοδώρας, μαθαίνει πάλι ὅτι ὁ βασιλιάς ἔχει σκοπό νά τήν ἀναζητήσει γιά νά τή γυρίσει πίσω. Καί φεύγει νύκτα πάλι ἀπό τήν Ἀλεξάνδρεια, μόνη, καί ἦρθε ἐδῶ σέ μένα καί μέ παρακάλεσε νά τῆς δώσω ἕνα κελί ἔξω ἀπό τή Σκήτη. Τότε μοῦ ἐμπιστεύθηκε λεπτομερῶς ὅλη τήν ὑπόθεση. Τῆς ἔδωσα κι ἐγώ αὐτή τή σπηλιά. Ντύθηκε σάν ἄνδρας καί ἔκανε μέχρι σήμερα στή Σκήτη εἰκοσιοκτώ χρόνια καί κανείς δέν τή γνώρισε, παρά μόνο ἐσύ, ἕνας ἄλλος ἀδελφός καί ἐγώ ὁ Γέροντάς της. Κι ὅταν ἔφευγα ταξίδι κάπου, ἔδινα τήν παραγγελία στόν ἀδελφό νά τῆς γεμίζει τό σταμνί μέ τό νερό. Καί κανείς δέν ἔμαθε τήν ἀλήθεια ποιός ἦταν παρά μόνο ἐσύ αὐτή τήν ὥρα. Πόσους ἀνθρώπους τοῦ παλατιοῦ ἔστειλε ὁ βασιλιάς Ἰουστινιανός γιά νά τή βροῦν! Κι ὄχι μόνο αὐτός ἀλλά καί ὁ πατριάρχης τῆς Ἀλεξάνδρειας καί ὅλη ἡ πόλη, καί κανείς δέν ἤξερε ποῦ ζοῦσε μέχρι αὐτή τή μέρα».

---

16. Ἰουστινιανός: αὐτοκράτορας τοῦ Βυζαντίου 527-548.

17. Θεοδώρα: σύζυγος τοῦ Ἰουστινιανοῦ.

18. Τό Πέμπτον τῆς Ἀλεξανδρείας: Τόπος μοναστικός πού ἀπεῖχε ἀπό τήν Ἀλεξάνδρεια πέντε στάδια.

Ἴδε οὖν πῶς οἱ βασιλικῶς ἀνατραφέντες ἀγωνίζονται κατὰ τοῦ διαβόλου καὶ συντρίβουσι τὰ σώματα αὐτῶν. Ἡμεῖς δὲ ἐν τῇ κώμῃ γεννώμενοι ἄρτου οὐκ εὐποροῦμεν χορτασθῆναι καὶ εἰς τὸ μοναχικὸν ἐλθόντες, σπαταλῶμεν καὶ μίαν ἀρετὴν κτήσασθαι οὐ δυνάμεθα. Εὐξώμεθα οὖν, ὅπως ὁ Κύριος καὶ ἡμᾶς ἀξιώσῃ τοῦ αὐτοῦ δρόμου τυχεῖν καὶ μετὰ τῶν ἁγίων Πατέρων ἡμῶν εὑρεῖν ἔλεος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ μετὰ τοῦ ἀββᾶ Ἀναστασίου τοῦ εὐνούχου, Ἀναστασία γὰρ ἐλέγετο, εὐχαῖς καὶ πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων καὶ τοῦ ἀββᾶ Δανιὴλ ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

14. Ἦν τις ἀργυροπράτης ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ νεώτερος, ὀνόματι Ἀνδρόνικος. Ἔλαβε δὲ γυναῖκα θυγατέρα ἀργυροπράτου ὀνόματι Ἰωάννου· τὸ δὲ ὄνομα αὐτῆς Ἀθανασία· ὄντως γὰρ ἀθανασία καὶ τοῖς ἔργοις καὶ τῷ λογισμῷ. Ἦν δὲ ὁ Ἀνδρόνικος εὐλαβὴς πάνυ καὶ καλῶν ἔργων μεμεστωμένος· ὁμοίως δὲ καὶ ἡ γυνὴ αὐτοῦ· ἦσαν δὲ πλούσιοι σφόδρα. Οὗτος δὲ ἦν αὐτῶν ὁ βίος· τὰ τοῦ ἀργυροπράτου καὶ τῆς περιουσίας αὐτοῦ εἰς τρία μέρη διεῖλον· ἓν μὲν μέρος εἰς λόγον τῶν πτωχῶν καὶ τὸ ἄλλο εἰς λόγον μοναχῶν καὶ τὸ ἕτερον εἰς λόγον περιουσίας καὶ τῶν ἐργα-

19. Ἡ μνήμη τῆς ἁγίας Ἀναστασίας τῆς πατρικίας ἑορτάζεται στίς 10 Μαρτίου.


20. Ἡ λ. ἀργυροπράτης σημαίνει τόν χρηματιστή· ἀλλά ἐδῶ καθώς γίνεται, ἀμέσως παρακάτω, λόγος γιά τά οἰκονομικά τους καί ἀναφέρονται σέ συντήρηση ἐργαστηρίων τά ὁποῖα προφανῶς εἶναι ἐργαστήρια ἀργυροχοΐας, σημαίνει ὅτι ἡ λ. ἀργυροπράτης χρησιμοποιεῖται μέ τήν ἔννοια τοῦ ἀργυροχόου, τοῦ τεχνίτη πού κατασκευάζει ἀργυρά σκεύη καί τά πουλάει.

Νά, λοιπόν, οἱ ἄνθρωποι τοῦ παλατιοῦ πῶς ἀγωνίζονται ἐναντίον τοῦ διαβόλου καί συντρίβουν τό σῶμα τους. Κι ἐμεῖς πού γεννηθήκαμε σέ χωριό καί δέν χορταίνουμε καλά-καλά τό ψωμί καί γίναμε μοναχοί, ζοῦμε σπαταλώντας καί μιά ἀρετή δέν μποροῦμε νά ἀποκτήσουμε. Ἄς προσευχηθοῦμε νά μᾶς ἀξιώσει ὁ Κύριος νά βρεθοῦμε κι ἐμεῖς στήν ἴδια πορεία· καί μαζί μέ τούς ἁγίους Πατέρες καί τόν ἀββᾶ Ἀναστάσιο, τόν εὐνοῦχο, γιατί τό ὄνομά της ἦταν Ἀναστασία, διά τῶν εὐχῶν καί πρεσβειῶν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καί πάντων τῶν ἁγίων καί τοῦ ἀββᾶ Δανιήλ νά βροῦμε ἔλεος τή μεγάλη ἡμέρα, ὅταν θά παρουσιαστοῦμε στό φοβερό κριτήριο τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[19].

14. Ἦταν κάποιος ἀργυροχόος[20] στή μεγάλη Ἀντιόχεια[21], νέος στήν ἡλικία πού ὀνομαζόταν Ἀνδρόνικος. Παντρεύτηκε τήν κόρη ἑνός ἀργυροχόου πού τό ὄνομά του ἦταν Ἰωάννης καί τῆς κόρης Ἀθανασία. Καί εἶχαν ἀληθινά τή σφραγίδα τῆς ἀθανασίας καί οἱ πράξεις της καί οἱ σκέψεις της. Ἀλλά καί ὁ Ἀνδρόνικος πολύ εὐλαβής καί πλήρης ἀγαθῶν ἔργων· τό ἴδιο καί ἡ γυναίκα του. Ἦταν καί πάρα πολύ πλούσιοι. Ἡ ζωή τους περνοῦσε ὡς ἑξῆς: Τά ἔσοδα ἀπό τό ἀργυροχοεῖο καί ἀπό τά κτήματά του, τά χώριζαν σέ τρία μέρη· ἕνα μέρος γιά λογαριασμό τῶν πτωχῶν, τό ἄλλο γιά μοναχούς καί τό τρίτο γιά νά συντηροῦνται τά κτήματα καί τά ἐργαστήρια. Ὅλη ἡ πόλη ἀγα-

Ἄλλωστε τήν ἐποχή αὐτή εἶχαν πολλή πέραση τά ἀργυρά σκεύη καί γενικῶς τά ἀργυρά ἀντικείμενα. Πιθανή καί ἡ ἐκδοχή νά συνεδύαζε καί τίς δυό δουλειές.

21. Ἀντιόχεια. Πρόκειται γιά τήν πρωτεύουσα τῆς ἀρχαίας Συρίας, πού




Μεγάλη Ἀντιόχεια. Μία ἀπό τίς γέφυρες τοῦ ποταμοῦ Ὀρόντη

στηρίων. Πᾶσα δὲ ἡ πόλις ἠγάπα τὸν κύριν Ἀνδρόνικον διὰ τὴν ἐπιείκειαν αὐτοῦ. Ἔγνω δὲ τὴν γυναῖκα αὐτοῦ καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν καὶ ἐπωνόμασεν αὐτὸν Ἰωάννην. Ἔτι δὲ ἐν γαστρὶ συλλαβοῦσα ἔτεκε θυγατέρα καὶ ἐπωνόμασεν αὐτὴν Μαρίαν· καὶ οὐκέτι προσέθετο ἐγγίσαι αὐτῇ ὁ Ἀνδρόνικος· ἀλλ' ἦν αὐτοῦ ἡ σπουδὴ εἰς τὰς φιλοπονίας μετὰ καὶ ἄλλων φιλοχρίστων ἀργυροπρατῶν. Κατὰ δὲ Κυ-

ξεχώριζε ἀπό τίς εἰκοσιοχτώ πόλεις πού εἶχαν τό ἴδιο ὄνομα, μέ τήν προσωνυμία «ἡ Μεγάλη» ἤ «ἡ ἐπὶ τοῦ Ὀρόντου» (γιατί ἦταν χτισμένη στίς ἐκβολές τοῦ ποταμοῦ Ὀρόντη) καί ἀπό τήν ἐποχή τοῦ Ἰουστινιανοῦ ὀνομάσθηκε καί Θεούπολις.

Κατά τόν 4ο αἰ. ἤδη ἡ Μεγάλη Ἀντιόχεια καί ἡ Ἀλεξάνδρεια ἦσαν οἱ σημαντικότερες πόλεις τῆς αὐτοκρατορίας μετά τήν Κωνσταντινούπολη. Γιά πρώτη φορά στήν Ἀντιόχεια αὐτή πῆραν οἱ μαθητές τοῦ Κυρίου τό όνο-



«Μήν κλείσεις μπροστά μας τή θύρα τῆς Βασιλείας σου». Ἔκλαψαν καί οἱ δυό καί πῆραν τόν δρόμο.

ποῦσε τόν ἀφέντη Ἀνδρόνικο γιά τήν ἀνθρωπιά του.

Ἦρθαν σέ συζυγική σχέση καί συνέλαβε ἡ γυναίκα του καί γέννησε γιό. Τόν ὀνόμασε Ἰωάννη. Καί ἄλλη φορά συνέλαβε καί γέννησε θυγατέρα καί τήν ὀνόμασε Μαρία. Ἀπό τότε δέν ξαναῆλθε σέ συζυγική ἐπαφή μαζί της ὁ Ἀνδρόνικος. Καί τό ἐνδιαφέρον του στράφηκε μαζί καί μέ ἄλλους φιλόχριστους ἀργυροχόους στά καλά ἔργα[22]. Κάθε

μα Χριστιανοί (Πράξ. 11, 26).

22. Οἱ φιλοπονίες ἦταν τό ἔργο πού ἔκαμναν οἱ Φιλόπονοι ἤ Σπουδαῖοι. Ἦταν ὀργανωμένες ἐθελοντικές ὁμάδες ἀφιερωμένων Χριστιανῶν πού ἐπιδίδονταν σέ ἔργα φιλανθρωπίας. Ἰδιαίτερα ἀναλάμβαναν τήν περίθαλψη ἀσθενῶν, τό λούσιμο καί γενικά τήν καθαριότητά τους. Βλ. Δ. Τσάμη, *Μητερικόν*, τόμ. Ε' σελ. 98, Θεσσαλονίκη 1995.

ριακὴν καὶ Δευτέραν καὶ Τετράδα καὶ Παρασκευήν, ἀπὸ ἑσπέρας ἕως πρωί, ὑπῆγεν ὁ Ἀνδρόνικος εἰς τὰ λούσματα τῶν ἀνδρῶν, ὁμοίως καὶ ἡ κυρὰ Ἀθανασία εἰς τὰ λούσματα τῶν γυναικῶν.

Καὶ μετὰ δωδεκαετῆ χρόνον, μιᾷ τῶν ἡμερῶν, εἰσῆλθεν ἡ κυρία Ἀθανασία ἀπὸ τῆς φιλοπονίας ἀπὸ ὄρθρου καὶ ἀπῆλθεν ἐπισκέψασθαι τὰ παιδία αὐτῆς· καὶ εὑρίσκει αὐτὰ στενάζοντα. Ἡ δὲ ταραχθεῖσα ἀνέβη ἐν τῇ κλίνῃ αὐτῶν· καὶ ἔθηκεν ἀμφότερα τῷ στήθει αὐτῆς. Ὁ δὲ μακάριος Ἀνδρόνικος εἰσελθών, ἤρξατο κατακράζειν τὴν γυναῖκα αὐτοῦ ὡς πολλὰ κοιμωμένης· ἡ δὲ εἶπε· Μὴ ὀργίζου, κύριέ μου, τὰ παιδία γὰρ ἀσθενοῦσι. Καὶ ἁψαμένου αὐτῶν, εὗρεν αὐτὰ πυρετῷ συνεχόμενα καὶ στενάξας λέγει· Τὸ θέλημα τοῦ Κυρίου γενέσθω· καὶ ἀπῆλθεν ἔξω τῆς πόλεως προσεύξασθαι εἰς τὸν ἅγιον Ἰουλιανόν· ἐκεῖ γὰρ ἔκειντο οἱ γονεῖς αὐτῶν. Ἐποίησε δὲ ἐκεῖ ἕως τῆς ἕκτης ὥρας. Καὶ ὑποστρέψας ἀκούει ὀλολυγμοῦ καὶ θορύβου γινομένου ἐν τῇ οἰκίᾳ αὐτοῦ· ὁ δὲ ταραχθεὶς ἔδραμε καὶ εὑρίσκει σχεδὸν πᾶσαν τὴν πόλιν ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ τὰ παιδία ἀποθανόντα. Καὶ ἰδὼν τὰ νήπια ὁμοῦ κείμενα ἐν τῇ κλίνῃ, εἰσελθὼν ἐν τῷ εὐκτηρίῳ αὐτοῦ ἔρριψεν ἑαυτὸν ἔμπροσθεν τοῦ Σωτῆρος καὶ κλαίων εἶπεν· Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ἡ δὲ γυνὴ αὐτοῦ ἐζήτει ἑαυτὴν πνῖξαι λέγουσα ὅτι· Μετὰ τῶν τέκνων μου ἀποθανοῦμαι.

Συνῆλθε δὲ πᾶσα ἡ πόλις εἰς τὸ ἐξόδιον τῶν παιδίων,

Κυριακή, Δευτέρα, Τετάρτη καί Παρασκευή ἀπό βραδίς ὥς τό πρωί, πήγαινε ὁ Ἀνδρόνικος καί βοηθοῦσε στό λούσιμο τῶν ἀνδρῶν. Τό ἴδιο καί ἡ σύζυγός του Ἀθανασία στό λούσιμο τῶν γυναικῶν.

Πέρασαν δώδεκα χρόνια καί κάποια μέρα ἐπέστρεψε ἡ Ἀθανασία ἀπό τήν ἐργασία αὐτή νωρίς τό πρωί καί πῆγε νά δεῖ τά παιδιά της καί τά βρῆκε νά στενάζουν. Ταράχθηκε· ἔκατσε πάνω στό κρεβάτι τους καί τά 'βαλε καί τά δύο στόν κόρφο της. Ἐπέστρεψε καί ὁ μακάριος Ἀνδρόνικος καί ἄρχισε νά τά βάζει μέ τή γυναίκα του, γιατί τάχα κοιμόταν πολύ. Καί αὐτή εἶπε: «Μή θυμώνεις, κύριέ μου, εἶναι ἄρρωστα τά παιδιά μας». Τά ἔπιασε καί τά βρῆκε πράγματι νά καῖνε στόν πυρετό. Ἀναστέναξε καί εἶπε: «Ἄς γίνει τό θέλημα τοῦ Κυρίου». Καί ἔφυγε νά προσευχηθεῖ στόν ἅγιο Ἰουλιανό πού ἦταν ἔξω ἀπό τήν πόλη, γιατί ἐκεῖ ἦταν θαμμένοι οἱ γονεῖς τους. Ἔμεινε ἐκεῖ ὥς τίς δώδεκα. Καθώς ἐπέστρεφε, ἄκουσε θρῆνο καί θόρυβο ἀπό τό σπίτι του. Ταραγμένος τρέχει καί βρίσκει ὅλη σχεδόν τήν πόλη στό σπίτι του καί τά παιδιά του πεθαμένα. Μόλις ἀντίκρυσε τά δυό παιδάκια μαζί νεκρά στό κρεβάτι, μπῆκε στό ἐκκλησάκι τοῦ σπιτιοῦ του, ἔριξε τόν ἑαυτό του μπροστά στόν Σωτήρα καί κλαίγοντας εἶπε: «Γυμνός βγῆκα ἀπό τήν κοιλιά τῆς μάνας μου καί γυμνός θά φύγω γιά κεῖ. Ὁ Κύριος τά ἔδωσε, ὁ Κύριος τά πῆρε. Ὅπως ἀποφάσισε ὁ Κύριος, ἔτσι καί ἔγινε. Ἄς εἶναι τό ὄνομα τοῦ Κυρίου εὐλογημένο καί τώρα καί στούς αἰῶνες»[23]. Ἡ γυναίκα του ὅμως ἤθελε νά πνίξει τόν ἑαυτό της λέγοντας «θά πεθάνω μαζί με τά παιδιά μου».

Παραβρέθηκαν στήν κηδεία τῶν παιδιῶν ὅλη ἡ πόλη

23. Ἰώβ 1, 21.

ὥστε καὶ τὸν πατριάρχην σὺν ὅλῳ τῷ κλήρῳ ἐλθεῖν καὶ κατέθηκαν αὐτὰ ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἰουλιανοῦ ἐπάνω τῶν πάππων αὐτῶν. Λαβὼν δὲ τὸν μακάριον Ἀνδρόνικον ὁ πατριάρχης εἰς τὸ ἐπισκοπεῖον εἰσῆλθεν, ἡ δὲ γυνὴ αὐτοῦ οὐκ ἠθέλησεν εἰς τὸν οἶκον αὐτῆς ἀπελθεῖν, ἀλλ' εἰς τὸ μαρτύριον ἐκοιμήθη. Μεσούσης δὲ τῆς νυκτὸς παραφαίνεται αὐτῇ ὁ μάρτυς ἐν σχήματι μοναχοῦ λέγων αὐτῇ· Τί οὐκ ἀφίεις ἀναπαυῆναι τοὺς ὧδε; Ἡ δὲ εἶπε· Κύριέ μου, μὴ λυπηθῇς κατ' ἐμοῦ· ἐπειδὴ πονοῦσά εἰμι· δύο γὰρ τέκνα ἔσχον μόνα καὶ σήμερον τὰ δύο ἐξεκομίσθη ὁμοῦ. Ὁ δὲ λέγει αὐτῇ· Πόσων χρόνων ἦσαν τὰ παιδία σου; Ἡ δὲ εἶπεν αὐτῷ· Δώδεκα χρόνων ὁ εἷς καὶ τὸ ἄλλο δέκα. Ὁ δὲ πρὸς αὐτήν· Τί οὖν ὑπὲρ ἐκείνων κλαίεις; Εἴθε ἔκλαιες τὰς ἁμαρτίας σου· λέγω σοι γάρ, γύναι, ὅτι ὃν τρόπον ἀπαιτεῖ ἡ φύσις τοῦ ἀνθρώπου τὴν βρῶσιν καὶ ἀδύνατον μὴ δοῦναι αὐτῇ φαγεῖν, οὕτω καὶ τὰ νήπια ἀπαιτεῖ τὸν Χριστὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὰ μέλλοντα ἀγαθά, λέγοντα· Δικαιοκρίτα, ἐστέρησας ἡμᾶς τῶν ἐπιγείων, μὴ στερήσῃς ἡμᾶς καὶ τῶν ἐπουρανίων. Ἡ δὲ ἀκούσασα κατενύγη καὶ μεταβάλλει τὸ πένθος εἰς χαρὰν λέγουσα· Εἰ ἄρα ζῶσι τὰ τέκνα μου ἐν οὐρανοῖς, τί κλαίω; Καὶ στραφεῖσα ἐζήτησε τὸν λαλήσαντα αὐτῇ ἀββᾶν· καὶ περιελθοῦσα ὅλον τὸν ναὸν οὐχ εὗρεν. Καὶ κρούει τῷ θυρωρῷ λέγουσα· Ποῦ ἐστιν ὁ ἀββᾶς ὁ

24. Μαρτύρια: Οἱ πρῶτοι χριστιανικοί ναοί ὀνομάσθηκαν μαρτύρια γιά τόν ἑξῆς λόγο:

Οἱ πρῶτοι ἅγιοι τῆς Ἐκκλησίας ἦσαν οἱ μάρτυρες τῆς πίστεως, πάνω στόν τάφο τῶν ὁποίων, στά κοιμητήρια, οἱ χριστιανοί ἔκτιζαν μικρή στεγασμένη οἰκοδομή μέ ἀψίδα στίς τρεῖς πλευρές. Οἱ οἰκοδομές αὐτές ὀνομάσθηκαν μαρτύρια καί ἔφεραν τό ὄνομα τοῦ μάρτυρος τοῦ ὁποίου τόν τάφο στέγαζαν. Καί ἐπειδή πάνω στόν τάφο τῶν μαρτύρων ἐτελεῖτο ἡ θεία Εὐχαριστία, τά μαρτύρια ὑπῆρξαν οἱ πρῶτοι ναοί. Ἔτσι προῆλθε ὁ θεμελιώδης τύπος τῶν χριστιανικῶν ναῶν.

καί ὁ πατριάρχης ἀκόμη ἦλθε μέ ὅλο τόν κλῆρο καί τά ἔθαψαν στόν ναό τοῦ ἁγίου μάρτυρα Ἰουλιανοῦ[24] μαζί μέ τούς παπποῦδες τους. Πῆρε κατόπιν ὁ πατριάρχης τόν μακάριο Ἀνδρόνικο στό ἐπισκοπεῖο ἀλλά ἡ γυναίκα του δέν θέλησε νά ἐπιστρέψει στό σπίτι της καί ἀποκοιμήθηκε στόν ναό.

Κατά τά μεσάνυκτα ἐμφανίζεται σ' αὐτήν μέ μορφή μοναχοῦ ὁ μάρτυς καί τῆς λέει: «Γιατί δέν ἀφήνεις αὐτούς πού εἶναι ἐδῶ νά ἀναπαυθοῦν;» «Κύριέ μου, —τοῦ ἀπαντᾶ ἐκείνη— μήν τά βάζεις μαζί μου, γιατί ἔχω μεγάλο πόνο. Δύο παιδιά ἀπέκτησα μόνο καί σήμερα τά κήδεψα καί τά δυό μαζί». Ἐκεῖνος τή ρώτησε: «Πόσο χρονῶν ἦταν τά παιδιά σου;» «Δώδεκα τό ἕνα καί δέκα τό ἄλλο» τοῦ ἀπάντησε. Καί ὁ μάρτυς τῆς λέει: «Γιατί λοιπόν κλαῖς γιά ἐκεῖνα; Μακάρι νά ἔκλαιες τίς ἁμαρτίες σου. Σέ βεβαιώνω, γυναίκα, ὅτι ὅπως ἡ ἀνθρώπινη φύση ζητάει νά φάει καί εἶναι ἀδύνατο νά μή τῆς δώσουμε νά φάει, ἔτσι καί νά νήπια θά ἀπαιτήσουν ἀπό τόν Χριστό ἐκείνη τή μεγάλη ἡμέρα τά ἀγαθά τῆς μέλλουσας ζωῆς λέγοντας: Δίκαιε Κριτά, μᾶς στέρησες τά ἐπίγεια ἀγαθά, μή μᾶς στερήσεις καί τά ἐπουράνια».

Αὐτή μόλις τά ἄκουσε, ἦλθε σέ κατάνυξη καί γύρισε τό πένθος της σέ χαρά καί συλλογίσθηκε: «Ἄν λοιπόν ζοῦν τά παιδιά μου στόν Οὐρανό, γιατί κλαίω;» Στράφηκε νά δεῖ τόν ἀββᾶ πού τῆς μίλησε, τόν γύρεψε σ' ὅλο τόν ναό ἀλλά δέν τόν βρῆκε. Χτυπάει τότε στοῦ θυρωροῦ καί ρω-

Ἐξ ἄλλου ἀπό τό ἀνωτέρω γεγονός προῆλθε καί ἡ συνήθεια νά τίθενται λείψανα μαρτύρων κάτω ἀπό τήν Ἁγία Τράπεζα, ὅπως καί κάθε ναός νά φέρει τό ὄνομα μάρτυρος ἤ ἁγίου. Ἐπίσης καί ἡ συνήθεια νά χρησιμοποιοῦνται οἱ ναοί ὡς τόποι ταφῆς.

Μαρτύρια ἄρχισαν νά ἀνοικοδομοῦνται εὐθύς ἀπό τῆς βασιλείας τοῦ Μ. Κωνσταντίνου καί πρῶτα ἐπί τοῦ τάφου τοῦ Ἰησοῦ ἀνηγέρθη τέτοιος ναός περιφερειακοῦ σχήματος.

εἰσελθὼν ὧδε ἄρτι; Λέγει αὐτῇ ὁ θυρωρός· Βλέπεις ἠσφαλισμένας τὰς θύρας πάσας καὶ λέγεις ποῦ ἐστιν ὁ εἰσελθὼν ἀββᾶς ὧδε ἄρτι; Καὶ ἐφιλοσόφησεν ὁ παραμονάριος, γνοὺς ὅτι φαντασίαν εἶδεν. Ἡ δὲ φόβῳ συσχεθεῖσα παρεκάλει ἀπελθεῖν εἰς τὸν οἶκον αὐτῆς.

Καὶ διηγήσατο τῷ ἀνδρὶ αὐτῆς ἃ εἶδε. Τότε πρὸς αὐτὸν ἡ μακαρία Ἀθανασία εἶπεν· Ὄντως, κύριέ μου, καὶ ἐν τῇ ζωῇ τῶν νηπίων ἠθέλησά σοι εἰπεῖν καὶ ἠρυθρίων· ἰδοὺ οὖν καὶ μετὰ τὸν θάνατον αὐτῶν λέγω σοι, ἐὰν ἀκούσῃς μου, βάλε με εἰς μοναστήριον καὶ κλαίω τὰς ἁμαρτίας μου. Καὶ λέγει αὐτῇ· Ὕπαγε, δοκίμασον τὸν λογισμόν σου μίαν ἑβδομάδα· καὶ ἐὰν ἐπιμείνῃς τῷ σκοπῷ τούτῳ, λαλοῦμεν. Ἡ δὲ πάλιν ἐλθοῦσα, τὸν αὐτὸν λόγον εἶπε. Καὶ μετακαλεῖται ὁ μακάριος Ἀνδρόνικος τὸν πενθερὸν αὐτοῦ καὶ παραδοὺς αὐτῷ πᾶσαν τὴν περιουσίαν αὐτοῦ λέγει αὐτῷ· Εἰς τοὺς Ἁγίους Τόπους ὑπάγομεν εὔξασθαι. Ἐὰν οὖν συμβῇ ἡμῖν τὸ ἀνθρώπινον, ἔχεις πρὸς τὸν Θεὸν τὸ πῶς ποιήσεις μετὰ τῆς οὐσίας ταύτης. Παρακαλῶ σε οὖν καλῶς ποιῆσαι μετὰ τῆς ψυχῆς σου καὶ νοσοκομεῖον ποιῆσαι τὰ ὧδε καὶ ξενοδοχεῖον μοναχῶν.

Καὶ ἐλευθερώσας τὰ ἀνδράποδα αὐτοῦ, ἔδωκεν αὐτοῖς λεγάτα. Καὶ λαβὼν μικρὰν εὐλογίαν καὶ δύο ἄλογα ἐξῆλθεν νυκτὸς ἐκ τῆς πόλεως αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ μόνοι. Ἡ δὲ μακαρία Ἀθανασία μακρόθεν ἰδοῦσα τὸν οἶκον αὐτῆς καὶ ἀναβλέψασα εἰς τὸν οὐρανὸν εἶπεν· Ὁ Θεός, ὁ εἰπὼν τῷ Ἀβραὰμ καὶ τῇ Σάρρᾳ· Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς

25. Παραμονάριοι ἤ προσμονάριοι ὀνομάζονταν αὐτοί πού «προβάλλονταν» ἀπό τόν ἐπίσκοπο καί παρέμεναν σ' ὅποια ἐκκλησία τοποθετοῦνταν, γιά νά φροντίζουν καί νά διαφυλάττουν τόν ναό, ἰδιαίτερα κάποιο ἐκκλησιαστικό κειμήλιο π.χ. μιά θαυματουργή εἰκόνα, ἐνῶ παράλληλα ὑποδέχονταν τούς προσκυνητές (Β' Κανών τῆς Δ' Οἰκ. Συνόδου, *Πηδάλιον* σελ. 185-186).

τάει: «Ποῦ εἶναι ὁ ἀββᾶς πού πρίν ἀπό λίγο μπῆκε ἐδῶ;» Καί ὁ θυρωρός τῆς λέει: «Βλέπεις ὅλες τίς πόρτες κλειδωμένες καί λές ποῦ εἶναι ὁ ἀββᾶς πού μόλις μπῆκε;» Ἀλλά τό σκέφθηκε καλύτερα ὁ ὑπηρέτης[25] τοῦ ναοῦ καί κατάλαβε ὅτι εἶδε κάποια ὀπτασία. Καί αὐτή καταλήφθηκε ἀπό φόβο καί ζήτησε νά πάει στό σπίτι της.

Ἐκεῖ διηγήθηκε στόν ἄνδρα της αὐτά πού εἶδε καί τοῦ εἶπε ἐκείνη τήν ὥρα ἡ μακαρία Ἀθανασία: «Ἀλήθεια, κύριέ μου, καί ὅσο ζοῦσαν τά παιδιά μας, θέλησα νά σοῦ τό πῶ, ἀλλά ντρεπόμουν. Τώρα λοιπόν μετά τόν θάνατό τους σοῦ τό λέω. Ἄν συμφωνήσεις μέ τή σκέψη μου, βάλε με σ' ἕνα μοναστήρι νά κλάψω τίς ἁμαρτίες μου». Κι ἐκεῖνος τῆς εἶπε: «Πήγαινε καί δοκίμασε τήν ἀπόφασή σου γιά μιά ἑβδομάδα· καί ἐάν συνεχίσεις νά ἔχεις τήν ἴδια γνώμη, τό συζητοῦμε». Πράγματι ὅταν ἐπέστρεψε, τοῦ ἐπανέλαβε τά ἴδια. Ὁ μακάριος Ἀνδρόνικος τότε προσκαλεῖ τόν πεθερό του, τοῦ παραδίνει ὅλη τήν περιουσία του καί τοῦ λέει: «Θά πᾶμε ἐμεῖς στούς Ἁγίους Τόπους νά προσκυνήσουμε. Ἐάν λοιπόν τύχει νά πεθάνουμε, θά δώσεις λόγο στόν Θεό γιά τό πῶς θά διαχειρισθεῖς τήν περιουσία αὐτή. Σέ παρακαλῶ λοιπόν κάνε τό καλό μέ τήν ψυχή σου. Χτίσε ἐδῶ ἕνα νοσοκομεῖο καί ἕνα ξενώνα γιά μοναχούς».

Κατόπιν ἐλευθέρωσε τούς δούλους του καί τούς ἔδωσε κληροδοτήματα. Ὁ ἴδιος πῆρε λίγα ἐφόδια καί δύο ἄλογα καί βγῆκαν ἀπό τήν πόλη μέ τήν γυναῖκα του μόνοι. Ὅταν ἀπό μακριά ἡ μακαρία Ἀθανασία εἶδε τό σπίτι της, ὕψωσε τά μάτια στόν οὐρανό καί εἶπε: «Θεέ μου, Σύ πού εἶπες στόν Ἀβραάμ καί τή Σάρρα: Φύγε ἀπό τή χώρα σου καί

συγγενείας σου καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω· Αὐτὸς καὶ νῦν ὁδήγησον ἡμᾶς εἰς τὸν φόβον σου. Ἰδοὺ γὰρ ἐάσαμεν τὸν οἶκον ἡμῶν διὰ τὸ ὄνομά σου· μὴ κλείσῃς ἔμπροσθεν ἡμῶν τὴν θύραν τῆς βασιλείας σου. Καὶ κλαύσαντες ἀμφότεροι ἀπῆλθον.

Καὶ φθάσαντες τοὺς Ἁγίους Τόπους προσεκύνησαν. Καὶ συντυχόντες πολλοῖς Πατράσι καταλαμβάνουσι τὸν ἅγιον Μηνᾶν Ἀλεξανδρείας καὶ ἀπολαύουσι τοῦ μάρτυρος. Παρακύπτει οὖν ὁ Ἀνδρόνικος περὶ ὥραν ἐνάτην καὶ βλέπει μοναχὸν μετὰ λαϊκοῦ μάχην ποιοῦντα· καὶ λέγει τῷ λαϊκῷ· Διὰ τί ὑβρίζεις τὸν ἀββᾶν; Λέγει αὐτῷ· Δέσποτα, ἐπὶ τὴν Σκῆτιν ἐμισθώσατο τὸ ζῶόν μου· καὶ λέγω αὐτῷ· Ἄγωμεν ἄρτι, ἵνα ὁδεύσωμεν ὅλην τὴν νύκτα καὶ αὔριον ἕως ὥρας ἕκτης, ἵνα φθάσωμεν πρὸ τοῦ καύματος· καὶ οὐ θέλει, ἵνα ἄρτι ἀπέλθωμεν. Λέγει αὐτῷ ὁ κύρις Ἀνδρόνικος· Ἔχεις ἄλλο ἓν ζῶον; Λέγει αὐτῷ· Ναί· εἶπε δὲ αὐτῷ· Ὕπαγε, φέρε μοι αὐτὸ καὶ ἐλθὲ καὶ λαμβάνω ἐγὼ τὸ ἓν ζῶον καὶ ὁ ἀββᾶς τὸ ἕν, ὅτι κἀγὼ εἰς τὴν Σκῆτιν θέλω κατελθεῖν. Ὁ δὲ Ἀνδρόνικος λέγει τῇ γυναικὶ αὐτοῦ· Μεῖνόν με ὧδε πρὸς τὸν ἅγιον Μηνᾶν, ἕως οὗ κατέρχομαι εἰς τὴν Σκῆτιν καὶ εὐλογοῦμαι παρὰ τῶν Πατέρων καὶ ἀνέρχομαι. Λεγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Λάβε με μετὰ σοῦ. Λέγει αὐτῇ· Γυνὴ οὐκ ἀπέρχεται εἰς Σκῆτιν. Ἡ δὲ λέγει αὐτῷ μετὰ κλαυθμοῦ· Ἔχεις πρὸς τὸν ἅγιον Μηνᾶν, ἐὰν ἀπομείνῃς καὶ μὴ ἐλθὼν καταστήσῃς με εἰς μοναστήριον. Καὶ ἀσπασάμενοι ἀλλήλους ἐχωρίσθησαν.

Κατέβη δὲ αὐτὸς εἰς Σκῆτιν καὶ προσκυνήσας τοὺς Πατέρας κατὰ Λαύραν, ἤκουσε τὰ περὶ τοῦ ἀββᾶ Δανιήλ. Καὶ ἀπελθὼν κόπῳ πολλῷ ἠδυνήθη αὐτῷ συντυχεῖν· ἀνέ-

---

26. Γεν. 12, 1. 27. Βλ. Δ ὑποσημ. 78 σελ.110.

σας τά χέρια ὁ ἕνας θά χύσει τό αἷμα τοῦ ἄλλου».

Δέν ἔδωσαν σημασία στά λόγια του καί βγῆκαν τήν ἄλλη μέρα νά κυνηγήσουν. Ἐκεῖ ξαφνικά τούς ξέφυγε ἕνα ἐλάφι. Ἀνέβηκαν στά ἄλογα καί ἔτρεχαν πίσω του νά τό συλλάβουν· καί καθώς ἔριξαν βέλη ἐναντίον του, τά κάρφωσαν ὁ ἕνας στήν καρδιά τοῦ ἄλλου, σύμφωνα μέ ὅ,τι τούς εἶπε ὁ Γέροντας τήν ὥρα πού τούς καταράσθηκε, καί πέθαναν.

39. Μᾶς διηγήθηκε ὁ ἀββᾶς Θεωνᾶς γιά τόν ἀββᾶ Μάρκελλο ὅτι μόναζε στά μέρη τοῦ Λιβάνου κοντά σέ μιά μεγάλη κωμόπολη, μέσα σέ σπηλιά πού ἦταν στούς πρόποδες τοῦ βουνοῦ. Ὁ ἀββᾶς Μάρκελος ἦταν πάρα πολύ πράος καί καλοσυνάτος, εὐλαβής, ἁγνός καί σώφρων καί οἱ ἄνδρες τῆς πόλης τόν ἐμπιστεύονταν καί τόν ἀγαποῦσαν· γι' αὐτό καί πολλοί κατέφευγαν σ' αὐτόν καί διδάσκονταν ἀπ' αὐτόν. Ἔμεινε σ' αὐτόν τόν τόπο ἕξι χρόνια, στή διάρκεια τῶν ὁποίων, ὅπως μοῦ τά ἐκμυστηρεύθηκε ὁ Γέροντας, δοκίμασε πολλούς πειρασμούς ἐκεῖ ἀπό τούς δαίμονες, γιατί ἤθελαν νά τόν διώξουν ἀπό τή σπηλιά καί νά τόν ἐμποδίσουν νά ἀσκήσει τή ζωή τῆς ἡσυχίας, ἀλλά δέν τό κατόρθωσαν. Γιατί αὐτός κάθε καινούριο πειρασμό πού ἐρχόταν ἀπό τούς δαίμονες, μέ μεγαλύτερη ἄνεση τόν ὑπέμεινε.

Τελικά ὁ δαίμονας μετασχηματίσθηκε καί μέ μορφή τάχα τοῦ Γέροντα ἄρχισε νά ἐξαπατᾶ τίς γυναῖκες τῶν κατοίκων τῆς πόλης καί ζητοῦσε νά συνευρεθεῖ μ' αὐτές εἴτε πρωί εἴτε βράδυ, χρησιμοποιώντας ἄπρεπα λόγια καί πείθοντάς τες ὅτι δέν εἶναι ἁμαρτία τό νά πορνεύει κανείς χωρίς νά τόν ἀντιληφθοῦν. Αὐτά λοιπόν ὁ δαίμονας ὄχι μιά καί δυό, ἀλλά πολλές φορές τά ἔκανε· ὅπου ἔβλεπε γυναίκα νά βαδίζει μόνη, ἄλλαζε μορφή καί τή συντρόφευε. Καί οἱ



Ἄλσος τῶν κέδρων τοῦ Λιβάνου

«Δίκαιος... ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται»

ἀνδράσιν ἀνήγγειλαν ταῦτα καὶ διεφημίσθη ὅλως ἐν τῇ πόλει.

Καὶ συνηθροίσθησαν οἱ ἄνδρες ἐν τῷ Κυριακῷ καὶ προσκαλεσάμενος ὁ περιοδευτὴς τὰς γυναῖκας, ἠρώτα μαθεῖν τὸ ἀληθὲς εἰ ἆρα οὕτως ἔχει. Αἱ δὲ γυναῖκες πλείους τῶν εἴκοσι ὑπῆρχον, αἵτινες διεβεβαιοῦντο λέγουσαι· Οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πολλάκις ἐβιάσατο ἡμᾶς συγγενέσθαι ἡμῖν. Ταῦτα ἀκούων ὁ περιοδευτὴς σὺν τῷ κλήρῳ, μὴ νοήσας πανουργίαν εἶναι τοῦ δαίμονος, ἀπέστειλεν νεανίσκους πρὸς τὸ κακὴν κακῶς ἐκδιῶξαι τὸν Γέροντα. Ἀπελθόντες δὲ οἱ νεανίσκοι, ἔπαιον τὸν Γέροντα ῥοπάλοις καὶ τίλαντες ἀνέσπασαν τὰς τρίχας τοῦ πώγωνος αὐτοῦ καὶ σύραντες ἐξέβαλον αὐτὸν τοῦ σπηλαίου. Καὶ τύψαντες αὐτὸν σφοδρῶς, κατέλιπον αὐτὸν μέσον τῆς ὁδοῦ ἡμιθανῆ.

Παρερχόμενοι δέ τινες τῶν ἀπὸ τῆς Βηρυττοῦ, εὗρον τὸν Γέροντα ἐρριμμένον καὶ τὸ αἷμα ἐκ τῶν πληγῶν ποταμηδὸν περιρρέον· οἱ δὲ ἠρώτων αὐτὸν μαθεῖν τὰ συμβάντα αὐτῷ· ὁ δὲ Γέρων παρεκάλεσεν αὐτούς, ὅπως βαστάσαντες αὐτὸν ἀπενέγκωσιν ἐν τῷ σπηλαίῳ. Οἱ δὲ ἄνδρες εἴξαντες τῷ λόγῳ αὐτοῦ βαστάσαντες ἀνήνεγκαν αὐτὸν ἔνθα ἦν τὸ πρότερον. Οἱ δὲ τῆς κώμης ἄνδρες μαθόντες αὐτὸν ἐν τῷ σπηλαίῳ ὑπάρχειν, ἐρχόμενοι ὕβριζον καὶ ἐλοιδόρουν αὐτόν· Ἐγὼ δέ, φησίν, ὑπέμενον εὐχαριστῶν τῷ Θεῷ.

Ποιήσας οὖν ἐν τῷ σπηλαίῳ μῆνας δεκαοκτὼ ὑπὸ πάντων χλευαζόμενος καὶ ὑβριζόμενος καὶ εὐχόμενος ὑπὲρ

---

52. Κυριακόν ἤ Καθολικόν λέγεται ὁ κεντρικός ναός τῆς Μονῆς ἤ μοναστικῶν οἰκισμῶν, ὅπου συγκεντρώνονταν οἱ μοναχοί τό Σαββατοκύριακο καί τίς γιορτές γιά τήν κοινή λατρεία καί ἐπικοινωνία. Ἐδῶ πρόκειται μᾶλλον γιά τόν κεντρικό ναό τῆς κωμόπολης.

53. Περιοδευτής: Ἔτσι ὀνομαζόταν ὁ ἐκπρόσωπος τῆς Ἐκκλησίας πού ἔστελνε ὁ Ἐπίσκοπος στά χωριά καί στίς κωμοπόλεις γιά νά ἐπιτηρεῖ ὡς περιοδεύων τήν τάξη στήν ἐκκλησία καί νά διδάσκει τούς πιστούς (Κανών 57 τῆς ἐν Λαοδικείᾳ Συνόδου).

γυναῖκες τό ἀνέφεραν αὐτό στούς συζύγους τους, ὁπότε κυκλοφόρησε σ' ὁλόκληρη τήν πόλη.

Συγκεντρώθηκαν κάποια μέρα λοιπόν οἱ ἄνδρες στό Κυριακό[52] καί ἐκεῖ κάλεσε ὁ περιοδευτής[53] τίς γυναῖκες καί τίς ρωτοῦσε νά μάθει τήν ἀλήθεια, ἄν ἔτσι ἔχουν τά πράγματα. Καί οἱ γυναῖκες, ἦταν περισσότερες ἀπό εἴκοσι πού ἔλεγαν μέ βεβαιότητα: «Ὄχι μιά καί δυό, ἀλλά πολλές φορές μᾶς πίεσε νά συνευρεθεῖ μαζί μας». Μόλις τ' ἄκουσε αὐτό ὁ περιοδευτής καί οἱ κληρικοί, δέν ἔβαλαν στό μυαλό τους ὅτι εἶναι πανουργία τοῦ δαίμονα αὐτό, καί ἔστειλαν μερικούς νεαρούς νά διώξουν κακήν κακῶς ἀπ' ἐκεῖ τόν Γέροντα. Πῆγαν λοιπόν οἱ νεαροί καί ἄρχισαν νά χτυποῦν τόν Γέροντα μέ ρόπαλα. Τοῦ μάδησαν τά γένια τραβώντας τα, τόν ἔβγαλαν ἔξω ἀπ' τή σπηλιά σέρνοντάς τον καί ἀφοῦ τόν ξυλοκόπησαν, τόν ἐγκατέλειψαν καταμεσίς τοῦ δρόμου μισοπεθαμένο.

Κάποιοι περαστικοί πού ἔρχονταν ἀπό τή Βηρυτό, βρῆκαν τόν Γέροντα πεταμένο καί τό αἷμα νά τρέχει ποτάμι ἀπό τίς πληγές του καί τόν ρωτοῦσαν νά μάθουν τί τοῦ συνέβη. Ὁ Γέροντας τούς παρακάλεσε νά τόν πάρουν στά χέρια καί νά τόν μεταφέρουν στή σπηλιά. Οἱ ἄνδρες ὑπάκουσαν στόν λόγο του, τόν σήκωσαν καί τόν μετέφεραν ὅπου ἔμενε πρίν. Ἀλλά οἱ ἄνδρες τῆς κωμόπολης, ὅταν πληροφορήθηκαν ὅτι βρίσκεται στή σπηλιά, πήγαιναν ἐκεῖ, τόν ἔβριζαν καί τόν ἐξευτέλιζαν. Καί ἐγώ —ἔλεγε— τά ὑπέμενα εὐχαριστώντας τόν Θεό.

Πέρασε ἔτσι στή σπηλιά δεκαοχτώ μῆνες μέ ἐμπαιγμούς καί μέ βρισιές ἀπό ὅλους, ἐνῶ αὐτός προσευχόταν γι'

αὐτῶν τῷ Θεῷ, ὅπως αἱ ψυχαὶ αὐτῶν σωθῶσιν, μετὰ ταῦτα ἀπεκαλύφθη τῷ περιοδευτῇ δι' ὀνείρων τὰ τῆς φαντασίας· ἤρξαντο δὲ καὶ οἱ νεανίσκοι καὶ αἱ γυναῖκες δαιμονᾶν καὶ ἀφρίζειν. Καὶ γνόντες οἱ τῆς κώμης ἐξῆλθον σὺν γυναιξὶ καὶ παιδίοις πρὸς τὸ εὐλογηθῆναι παρ' ἐμοῦ. Ἐγὼ δὲ ἀποδράσας ἐξ αὐτῶν, ἐλθὼν κατῴκησα ἐν τῷ ὄρει τῆς Νιτρίας.

Καὶ ἔλεγέ μοι ὁ Γέρων· Ἀββᾶ Θεωνᾶ, εἰ βούλει ἀνενοχλήτως παρελθεῖν τὰς ἡμέρας καὶ μὴ εὑρεῖν τοὺς δαίμονας πρόφασιν κατὰ σοῦ, μὴ οἰκήσῃς πλησίον πόλεως ἢ κώμης καὶ ἀναπαύῃ.

40. Γέρων τις ἦν ἐν τῇ Λαύρᾳ τῶν Πυργίων ὀνόματι Μυρογένης καὶ εἰς τοσαύτην ἤλασε σκληραγωγίαν, ὥστε αὐτὸν ὑδρωπικὸν γενέσθαι. Ἔλεγε δὲ συνεχῶς τοῖς παραβάλλουσιν αὐτῷ Γέρουσι πρὸς θεραπείαν· Εὔξασθε, Πατέρες, ἵνα μὴ ὑδρωπικὸς γένηται ὁ ἔσω ἄνθρωπος· ἐγὼ γὰρ ἐπὶ πολὺ τῇ τοιαύτῃ ἐπιμεῖναι νόσῳ εὔχομαι τῷ Θεῷ.

Περὶ τούτου τοῦ ἀββᾶ Μυρογένους ἀκούσας ὁ ἀρχιεπίσκοπος Ἱεροσολύμων Εὐστόχιος, ἠθέλησε πέμψαι αὐτῷ τὰς χρείας. Ὁ δὲ οὐδέποτε ἐδέξατο παρ' αὐτοῦ τίποτε· ἐδήλωσε δὲ αὐτῷ τοῦτο· Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, ἵνα τῆς αἰωνίου ῥυσθῶ κολάσεως.

41. Ἀδελφὸς ἠρώτησέ τινα τῶν Πατέρων λέγων· Πῶς

54. Λαύρα Πυργίων: βρίσκεται στήν Ἔρημο Καλαμῶνος, βόρεια τῆς Νεκρᾶς θάλασσας.

55. Ὑδρωπικός: Αὐτός πού πάσχει ἀπό τήν ἀρρώστια ὑδρωπικία κοινῶς, κατά τήν ὁποία ἔχουμε μή φυσιολογική συλλογή ὀρώδους ὑγροῦ σέ κοιλότητες ἤ σέ κοῖλα ὄργανα τοῦ σώματος ἤ στούς διάμεσους ἱστούς κλπ. πού ὀφείλεται σέ γενική διαταραχή τοῦ μεταβολισμοῦ.

αὐτούς στόν Θεό, ὥστε νά σωθοῦν οἱ ψυχές τους. Μετά ἀπό αὐτά ἀποκαλύφθηκε στόν περιοδευτή μέ ὄνειρο ὅτι ὅλα ὅσα ἀπέδωσαν στόν Γέροντα ἦταν δαιμονική φαντασία. Ἐπιπλέον ἄρχισαν καί οἱ νεαροί καί οἱ γυναῖκες νά δαιμονίζονται καί νά βγάζουν ἀφρούς. Τό 'μαθαν οἱ κάτοικοι τῆς κωμόπολης (εἶπε ὁ Γέροντας) καί σύν γυναιξί καί τέκνοις πῆραν τόν δρόμο νά ρθοῦν γιά νά εὐλογηθοῦν ἀπό μένα. Κι ἐγώ ἔφυγα κρυφά ἀπ' ὅλους καί ἦλθα στό ὄρος τῆς Νιτρίας ὅπου καί ἔμεινα.

Μοῦ ἔλεγε λοιπόν ὁ Γέροντας: «Ἀββᾶ Θεωνᾶ, ἐάν θέλεις νά ἔχεις ζωή ἤρεμη καί νά μή βρίσκουν οἱ δαίμονες καμιά πρόφαση ἐναντίον σου, νά μή κατοικήσεις κοντά σέ πόλη ἤ χωριό καί θά βρεῖς ἀνάπαυση».

40. Ἕνας Γέροντας πού ὀνομαζόταν Μυρογένης καί ἔμενε στή Λαύρα τῶν Πυργίων[54], ἔφτασε σέ τέτοιο σημεῖο σκληρῆς ἄσκησης, ὥστε νά γίνει ὑδρωπικός[55]. Καί ἔλεγε συνεχῶς στούς Γέροντες πού πήγαιναν γιά νά τόν περιποιηθοῦν: «Νά προσεύχεστε, Πατέρες, νά μήν ὑδρωπιάσει ὁ μέσα ἄνθρωπος. Ἐγώ προσεύχομαι στόν Θεό νά μένω γιά πολύν καιρό σ' αὐτή τήν ἀρρώστια».

Γι' αὐτόν τόν ἀββᾶ Μυρογένη ὅταν πληροφορήθηκε ὁ ἀρχιεπίσκοπος Ἱεροσολύμων Εὐστόχιος, θέλησε νά τοῦ στείλει ὅ,τι τοῦ χρειάζεται. Ἐκεῖνος ὅμως ποτέ δέν δέχτηκε ἀπ' αὐτόν κάτι. Καί τοῦ δήλωσε: «Προσευχήσου γιά μένα, πάτερ, νά γλυτώσω ἀπό τήν αἰώνια κόλαση».

41. Ἕνας ἀδελφός ρώτησε κάποιον ἀπό τούς Πατέρες:

ὁ διάβολος τοὺς πειρασμοὺς φέρει ἐπάνω τῶν ἁγίων; Καὶ λέγει αὐτῷ ὁ Γέρων ὅτι ἦν τις τῶν Πατέρων ὀνόματι Νίκων οἰκῶν εἰς τὸ ὄρος τὸ Σινᾶ· καὶ ἰδού τις ἀπελθὼν εἰς σκηνὴν Φαρανίτου τινὸς καὶ εὑρὼν τὴν θυγατέρα αὐτοῦ μόνην, ἔπεσεν μετ' αὐτῆς καὶ λέγει αὐτῇ· Εἰπὲ ὅτι ὁ ἀββᾶς Νίκων ἐποίησέ με τοῦτο. Καὶ ἡνίκα ἦλθεν ὁ πατὴρ αὐτῆς καὶ ἔμαθε, λαβὼν τὸ ξίφος ἀπῆλθεν ἐπάνω τοῦ Γέροντος. Καὶ κρούσαντος αὐτοῦ ἐξῆλθεν ὁ Γέρων· καὶ ἐκτείναντος αὐτοῦ τὸ ξίφος τοῦ φονεῦσαι αὐτόν, ἀπεξηράνθη ἡ χεὶρ αὐτοῦ· καὶ ἀπελθὼν ὁ Φαρανίτης εἶπε τοῖς πρεσβυτέροις.

Καὶ ἔπεμψαν ἐπ' αὐτὸν καὶ ἦλθεν ὁ Γέρων καὶ ἐπιθέντες αὐτῷ πολλὰς πληγάς, ἤθελον διῶξαι· καὶ παρεκάλεσε λέγων· Ἄφετέ με ὧδε διὰ τὸν Θεόν, ἵνα μετανοήσω· καὶ χωρίσαντες αὐτὸν τρία ἔτη, ἔδωκαν ἐντολήν, ἵνα μηδεὶς αὐτῷ παραβάλῃ. Καὶ ἐποίησε τρία ἔτη μετανοῶν κατὰ Κυριακὴν εἰς τὴν ἐκκλησίαν καὶ παρεκάλει πάντας λέγων· Εὔξασθε ὑπὲρ ἐμοῦ. Ὕστερον δὲ ἐδαιμονίσθη ὁ ποιήσας τὴν ἁμαρτίαν καὶ τὸν πειρασμὸν ἐπάνω τοῦ ἀναχωρητοῦ βαλών. Καὶ ὡμολόγησεν εἰς τὴν ἐκκλησίαν ὅτι· Ἐγὼ ἐποίησα τὴν ἁμαρτίαν καὶ εἶπον συκοφαντῆσαι τὸν δοῦλον τοῦ Θεοῦ. Καὶ ἀπελθὼν πᾶς ὁ λαὸς μετενόησαν τῷ Γέροντι λέγοντες· Συγχώρησον ἡμῖν, ἀββᾶ· καὶ λέγει αὐτοῖς· Τὸ μὲν συγχωρῆσαι, συγκεχώρηται ὑμῖν· τὸ δὲ μεῖναι οὐκέτι μένω ὧδε μεθ' ὑμῶν· ὅτι οὐχ εὑρέθη οὐδὲ εἷς ἔχων διάκρισιν συμπαθῆσαι μετ' ἐμοῦ. Καὶ οὕτως ἀνεχώρησεν ἐκεῖθεν.

Καὶ εἶπεν ὁ Γέρων· Θεωρεῖς πῶς ὁ διάβολος φέρει τοὺς πειρασμοὺς ἐπάνω τῶν ἁγίων;

«Πῶς φέρνει τούς πειρασμούς ὁ διάβολος πάνω στούς ἁγίους;» Καί ὁ Γέροντας τοῦ εἶπε ὅτι ἦταν ἕνας Πατέρας πού τόν ἔλεγαν Νίκωνα καί κατοικοῦσε στό ὄρος Σινᾶ. Καί νά πού πῆγε κάποιος στή σκηνή ἑνός Φαρανίτη (κατοίκου τῆς Φαράν) καί καθώς βρῆκε μόνη τή θυγατέρα του, ἁμάρτησε μ' αὐτήν. Τῆς εἶπε κατόπιν: Νά πεῖς ὁ ἀββᾶς Νίκων μοῦ τό 'κανε αὐτό. Ὅταν ἦρθε ὁ πατέρας της καί τό 'μαθε, πῆρε τό ξίφος καί πῆγε κατευθείαν στόν Γέροντα. Χτύπησε τήν πόρτα. Μόλις βγῆκε ὁ Γέροντας, ἔστρεψε τό ξίφος γιά νά τόν σκοτώσει, ἀλλά ἔμεινε ξερό τό χέρι του. Πῆγε τότε ὁ Φαρανίτης καί τό ἀνέφερε στούς πρεσβυτέρους.

Αὐτοί ἔστειλαν καί κάλεσαν τόν Γέροντα καί μόλις ἦρθε, τόν ξυλοκόπησαν καί ἤθελαν νά τόν διώξουν. Ἀλλ' ἐκεῖνος τούς παρεκάλεσε λέγοντάς τους: Ἀφῆστε με ἐδῶ, γιά τ' ὄνομα τοῦ Θεοῦ, γιά νά μετανοήσω. Τόν ἀφόρισαν γιά τρία χρόνια καί ἔδωσαν ἐντολή νά μήν τόν ἐπισκέπτεται κανείς. Καί ἔκανε τρία χρόνια βάζοντας μετάνοια κάθε Κυριακή στήν ἐκκλησία καί παρακαλοῦσε ὅλους λέγοντας: Προσευχηθεῖτε γιά μένα.

Κατόπιν ὅμως δαιμονίσθηκε αὐτός πού ἔκανε τήν ἁμαρτία καί προκάλεσε τήν δοκιμασία στόν ἀναχωρητή. Ἦρθε καί ὁμολόγησε στήν ἐκκλησία: Ἐγώ διέπραξα τήν ἁμαρτία καί εἶπα νά συκοφαντήσει τόν δοῦλο τοῦ Θεοῦ. Πῆγαν τότε ὅλοι οἱ κάτοικοι τῆς πόλης καί ἔβαλαν μετάνοια στόν Γέροντα λέγοντας: Συγχώρεσέ μας, ἀββᾶ. Καί ἐκεῖνος τούς εἶπε: Ὡς πρός τήν συγχώρηση, σᾶς ἔχω ἤδη συγχωρήσει· ἀλλά γιά νά μείνω, δέν μένω πιά ἐδῶ μαζί σας· γιατί δέ βρέθηκε οὔτε ἕνας πού νά ἔχει διάκριση καί νά πονέσει μαζί μου. Καί ἔτσι ἔφυγε ἀπό 'κεῖ.

«Βλέπεις λοιπόν —εἶπε ὁ Γέροντας— πῶς ρίχνει τούς πειρασμούς ὁ διάβολος πάνω στούς ἁγίους;»

42. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ὅτι ἡ καρδία μου παρειμένη ἐστίν, ἐὰν καταλάβῃ με μικρὸν καμεῖν; Λέγει αὐτῷ ὁ Γέρων· Οὐ θαυμάζομεν τὸν Ἰωσὴφ μειράκιον μικρὸν ἐν Αἰγύπτῳ ἐν γῇ εἰδωλολατρῶν, πῶς ὑπέμεινε τὸν πειρασμὸν καὶ ὁ Θεὸς ἐδόξασεν αὐτὸν εἰς τέλος; Ὁρῶμεν δὲ καὶ τὸν Ἰὼβ ὅτι οὐκ ἐνέδωκε κατέχων τὸν Θεὸν ἕως τέλους καὶ οὐκ ἠδυνήθησαν αὐτὸν παρασαλεῦσαι τῆς ἐλπίδος αὐτοῦ.

43. Εἶπε πάλιν ὅτι ὁ ἀββᾶς Ἰσίδωρος ὁ πρεσβύτερος τῆς Σκήτεως, ἐλάλησέ ποτε τῷ λαῷ λέγων· Ἀδελφοί, οὐχὶ ἕνεκεν κόπου ἤλθομεν εἰς τὸν τόπον τοῦτον; Καὶ νῦν οὐκέτι ἔχει κόπον. Ἐγὼ οὖν σκευάσας τὴν μηλωτήν μου ἀπέρχομαι, ὅπου ἐστὶ κόπος καὶ ἐκεῖ εὑρίσκω ἀνάπαυσιν.

44. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ποιμένα λέγων· Ὁρῶ ἐμαυτὸν ὅτι, ὅπου δ᾽ ἂν ἀπέλθω, εὑρίσκω ἀντίληψιν. Λέγει αὐτῷ ὁ Γέρων ὅτι· Καὶ οἱ μετὰ χεῖρας ἔχοντες τὸ ξίφος, ἔχουσι τὸν Θεὸν ἐν τῷ παρόντι καιρῷ. Ἐὰν οὖν ὦμεν ἀνδρεῖοι, ποιεῖ μεθ᾽ ἡμῶν τὸ ἔλεος αὐτοῦ.

45. Ἠρωτήθη ὁ ἀββᾶς Ποιμὴν ὅτι· Εἰς τίνα ἔρχεται ὁ λόγος ὁ γεγραμμένος ὅτι μὴ φροντίσητε περὶ τῆς αὔριον; Λέγει αὐτῷ ὁ Γέρων· Πρὸς ἄνθρωπον ὄντα ἐν πειρασμῷ καὶ ὀλιγωροῦντα ἐρρέθη, ἵνα μὴ φροντίσῃ λέγων· Πόσον χρόνον ἔχω ἐν τῷ πειρασμῷ τούτῳ; Ἀλλὰ μᾶλλον λογίσηται λέγων καθ᾽ ἑκάστην· Τὸ σήμερον.

---

56. Γεν. 39, 1-23 καί 41, 37-46.
57. Βλ. ΣΤ ὑποσημ. 9 σελ. 258.
58. Ἀνάπαυση: Βλ. Ε ὑποσημ. 25 σελ. 146.
59. Ματθ. 6, 34.

42. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα*: «Τί νά κάνω, πού ἡ καρδιά μου παραλύει, ἐάν μέ βρεῖ λίγη στενοχώρια;» Κι ὁ Γέροντας τοῦ εἶπε: «Δέν θαυμάζουμε τόν Ἰωσήφ, πού ἦταν μικρό παλληκαράκι, πῶς ὑπέμεινε τόν πειρασμό στήν Αἴγυπτο[56], σέ χώρα εἰδωλολατρική, καί ὁ Θεός κατόπιν τόν δόξασε μέ τήν πιό μεγάλη δόξα; Βλέπουμε καί τόν Ἰώβ πού δέν ἔπαψε μέχρι τέλους νά κρατάει γερά τόν Θεό καί δέν μπόρεσαν οἱ δοκιμασίες νά τόν μετακινήσουν ἀπό τό στήριγμά του».

43. Εἶπε ἐπίσης ὅτι ὁ ἀββᾶς Ἰσίδωρος ὁ πρεσβύτερος τῆς Σκήτης μίλησε κάποια φορά σέ σύναξη μοναχῶν καί εἶπε: «Ἀδελφοί, δέν ἤρθαμε στόν τόπο αὐτόν, γιά νά κοπιάσουμε; Ὅμως τώρα πιά δέν ὑπάρχει ἐδῶ κόπος. Γι' αὐτό κι ἐγώ διπλώνω τή μηλωτή μου[57] καί φεύγω σ' ὅποιον τόπο ὑπάρχει κόπος κι ἐκεῖ θά βρῶ ἀνάπαυση[58]».

44. Εἶπε ἕνας ἀδελφός στόν ἀββᾶ Ποιμένα: «Βλέπω ὅτι ὅπου κι ἄν πάω, βρίσκει ὁ ἑαυτός μου προστασία καί βοήθεια». Κι ὁ Γέροντας τοῦ λέει: «Κι αὐτοί πού κρατοῦν στά χέρια τό ξίφος, ἔχουν τόν Θεό προστάτη στόν κόσμο αὐτόν. Ἀρκεῖ νά εἴμαστε ἀνδρεῖοι καί θά μᾶς ἐλεήσει ὁ Θεός».

45. Ρώτησαν τόν ἀββᾶ Ποιμένα: «Σέ ποιόν ἀναφέρεται ὁ λόγος τῆς ἁγίας Γραφῆς: Νά μή φροντίσετε γιά τήν αὔριανή ἡμέρα[59];»

«Αὐτό ἐλέχθη —εἶπε ὁ Γέροντας— γιά ἄνθρωπο πού βρίσκεται σέ πειρασμό καί εἶναι ἀμελής, ὥστε νά μήν ἀγωνιᾶ λέγοντας: πόσο καιρό θά κάνω στόν πειρασμό αὐτό; Ἀλλά τό σωστό εἶναι νά σκέπτεται καί νά λέει κάθε μέρα τό: Σήμερα».

46. Εἶπεν ὁ ἀββᾶς Παῦλος ὁ μέγας, ὁ Γαλάτης ὅτι· Μοναχὸς ἔχων μικρὰν χρείαν ἐν τῷ κελλίῳ αὐτοῦ καὶ ἐξερχόμενος φροντίσαι ἄλλων, ἀπὸ δαιμόνων χλευάζεται· καὶ γὰρ κἀγὼ αὐτὸ ἔπαθον.

47. Ἀδελφός τις Ῥωμαῖος διηγήσατο λέγων ὅτι ἦν τις Γέρων ἔχων καλὸν μαθητήν· καὶ ἀπὸ ὀλιγωρίας ἔβαλεν αὐτὸν ἔξω τῆς θύρας μετὰ τῆς μηλωτῆς αὐτοῦ. Ὁ δὲ ἀδελφὸς ὑπέμενεν ἔξω τῆς θύρας καθήμενος. Καὶ ἀνοίξας ὁ Γέρων εὑρὼν αὐτὸν καθήμενον, ἔβαλεν αὐτῷ μετάνοιαν λέγων· Ὦ τέκνον, ἡ ταπείνωσις τῆς μακροθυμίας σου ἐνίκησε τὴν ἐμὴν ὀλιγωρίαν. Δεῦρο ἔσω, ἀπὸ τοῦ νῦν σὺ Γέρων εἶ καὶ πατήρ, ἐγὼ δὲ νεώτερος καὶ μαθητής.

48. Ἠρώτησέ τις τῶν Πατέρων τὸν ἀββᾶν Σισόην λέγων· Ἐὰν κάθημαι ἐν τῇ ἐρήμῳ καὶ ἔλθῃ βάρβαρος φονεῦσαί με θέλων καὶ δυνηθῶ πρὸς αὐτόν, φονεύσω αὐτόν; Καὶ εἶπεν ὁ Γέρων· Οὐχί, ἀλλὰ παράδος αὐτὸν τῷ Θεῷ· οἷος γὰρ ἂν πειρασμὸς ἔλθῃ ἀνθρώπῳ, λεγέτω ὅτι· Διὰ τὰς ἁμαρτίας μου τοῦτό μοι συνέβη· ἐὰν δὲ ἀγαθόν, οἰκονομίαν Θεοῦ.

49. Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Ἀβραάμ, ὁ μαθητὴς τοῦ ἀββᾶ Σισόη, εἰς διακονίαν καὶ ἐπὶ ἡμέρας οὐκ ἦλθε καὶ οὐ κατεδέξατο ὁ Γέρων διακονηθῆναι ὑπὸ ἄλλου τινὸς λέγων· Οὐκ ἔχω ἀφεῖναι ἄλλον ἄνθρωπον ποιῆσαι συνήθειαν μετ' ἐμοῦ ἐκτὸς τοῦ ἀδελφοῦ μου. Καὶ οὐ κατεδέξατο, ἕως οὗ ἦλθεν ὁ μαθητὴς αὐτοῦ, ὑπομείνας τὸν κόπον.

60. Βλ. Ζ ὑποσημ. 5 σελ. 292.

46. Εἶπε ὁ ἀββᾶς Παῦλος ὁ μέγας ἀπό τή Γαλατία: «Μοναχός πού ἔχει λίγη προμήθεια στό κελί του γιά τά ἀπαραίτητα καί βγαίνει νά φροντίσει γιά ἄλλα, ἐμπαίζεται ἀπό τούς δαίμονες. Ἀκριβῶς κι ἐγώ τό ἴδιο ἔπαθα».

47. Κάποιος ἀδελφός πού ἡ καταγωγή του ἦταν ἀπό τή Ρώμη, διηγήθηκε ὅτι ἦταν ἕνας Γέροντας πού εἶχε ἕναν καλό μαθητή καί ἀπό ὀλιγωρία[60] τόν πέταξε ἔξω ἀπό τήν πόρτα μέ τή μηλωτή του. Καί ὁ ἀδελφός τό ὑπέμεινε καί καθόταν ἔξω ἀπό τήν πόρτα. Ὅταν ἄνοιξε ὁ Γέροντας καί τόν βρῆκε νά κάθεται, τοῦ ἔβαλε μετάνοια καί τοῦ 'πε: «Παιδί μου, ἡ ταπείνωση πού ἔδειξες μέ τή μακροθυμία σου, νίκησε τή δική μου ὀλιγωρία. Ἔλα μέσα, καί ἀπό τή στιγμή αὐτή ἐσύ θά εἶσαι Γέροντας καί πατέρας καί ἐγώ νέος μοναχός καί μαθητής».

48. Ρώτησε κάποιος ἀπό τούς Πατέρες τόν ἀββᾶ Σισόη: «Ἐάν μένω στήν ἔρημο καί ἔλθει ἕνας βάρβαρος νά μέ σκοτώσει καί τόν καταβάλω, νά τόν φονεύσω;»
Ὁ Γέροντας τοῦ εἶπε: «Ὄχι· παράδωσέ τον στόν Θεό. Γιατί ὅποιος πειρασμός κι ἄν ἔλθει στόν ἄνθρωπο, πρέπει νά λέει: Ἐξαιτίας τῶν ἁμαρτιῶν μου μοῦ συνέβη αὐτό. Καί ἄν τοῦ ἔρθει κάποιο καλό, νά λέει ὅτι εἶναι οἰκονομία Θεοῦ».

49. Ἔφυγε κάποτε ὁ ἀββᾶς Ἀβραάμ, ὁ μαθητής τοῦ ἀββᾶ Σισόη, γιά κάποιο διακόνημα καί ἔκανε μέρες. Σ' αὐτό τό διάστημα ὁ Γέροντας δέν δέχθηκε κάποιος ἄλλος νά τόν διακονεῖ καί ἔλεγε: «Δέν μπορῶ νά ἀφήσω ἄλλον νά ἐξοικειωθεῖ μαζί μου ἐκτός τοῦ ἀδελφοῦ μου» Δέν δέχθηκε λοιπόν καί ὑπέμεινε τήν ταλαιπωρία, ἕως ὅτου ἐπέστρεψε ὁ μαθητής του.

50. Ἔλεγον περὶ τῆς ἀμμᾶς Σάρρας ὅτι ἐπάνω τοῦ ποταμοῦ ἔμεινεν ἑξήκοντα ἔτη οἰκοῦσα καὶ οὐ παρέκυψέ ποτε ἰδεῖν αὐτόν.

51. Εἶπεν ἡ μακαρία Συγκλητική· Ἐὰν ἐν κοινοβίῳ τυγχάνῃς, μὴ μεταλλάξῃς τὸν τόπον· βλαβήσῃ γὰρ μεγάλως. Ὥσπερ γὰρ ὄρνις ἐξανισταμένη τῶν ᾠῶν, οὔρια ταῦτα καὶ ἄγονα παρασκευάζει, οὕτω καὶ μοναχὸς ἢ παρθένος ψύχεται καὶ νεκροῦται τῆς πίστεως, τόπον ἐκ τόπου περιερχόμενος.

52. Εἶπε πάλιν· Πολλὰ τοῦ διαβόλου τὰ ἔνεδρα. Διὰ πενίας οὐ μετεκίνησε ψυχήν; Πλοῦτον προσάγει δέλεαρ. Δι' ὕβρεων καὶ ὀνειδισμῶν οὐκ ἴσχυσεν; Ἔπαινον καὶ δόξαν προβάλλεται. Δι' ὑγείας ἡττήθη; Νοσοποιεῖ τὸ σῶμα. Ταῖς γὰρ ἡδοναῖς μὴ δυνηθεὶς ἀπατῆσαι, διὰ τῶν ἀκουσίων πόνων τὴν παρατροπὴν τῆς ψυχῆς πειρᾶται ποιῆσαι. Νόσους γάρ τινας βαρυτάτας ἐξ αἰτήσεως προσάγει πρὸς τὸ διὰ τούτων ὀλιγωρήσαντας, ἐπιθολῶσαι αὐτῶν τὴν πρὸς Θεὸν ἀγάπην. Ἀλλὰ καὶ κατατέμνεται τὸ σῶμα πυρετῷ σφοδροτάτῳ καὶ δίψῃ ἀσχέτῳ ἀνιᾶται.

Εἰ μὲν ἁμαρτωλὸς ὢν ταῦτα ὑφίστασαι, ὑπομνήσθητι τῆς μελλούσης κολάσεως καὶ τοῦ αἰωνίου πυρὸς καὶ τῶν δικαστικῶν τιμωριῶν καὶ οὐ μὴ ὀλιγωρήσῃς πρὸς τὰ παρόντα. Χαῖρε δὲ ὅτι ἐπεσκέψατό σε ὁ Θεός· καὶ τὸ εὔφημον δὲ ῥητὸν ἐπὶ τῆς γλώττης ἔχε ὡς· Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με. Σίδηρος ἐτύγχανες, ἀλλὰ διὰ τοῦ πυρὸς τὸν ἰὸν ἀποβάλλεις. Εἰ δὲ καὶ δίκαιος

61. Πρβλ. Ἰώβ 2, 5-10. 62. Ψαλμ. 117, 18.

50. Ἔλεγαν γιά τήν ἀμμᾶ Σάρρα ὅτι ἔμενε ἐπί ἑξήντα χρόνια σέ κελί πάνω ἀπό ἕνα ποτάμι καί δέν ἔσκυψε ποτέ νά τό δεῖ.

51. Εἶπε ἡ μακαρία Συγκλητική*: «Ἐάν βρίσκεσαι σέ κάποιο κοινόβιο, μήν τ' ἀφήσεις νά πᾶς σ' ἄλλον τόπο· σίγουρα θά βλαφτεῖς πολύ. Γιατί ὅπως τό πτηνό πού σηκώνεται ἀπό τά αὐγά του, τά κάνει κλούβια καί ἄγονα, τό ἴδιο καί ὁ μοναχός ἤ ἡ μοναχή πού γυρνάει ἀπό τόπο σέ τόπο, ψυχραίνεται καί νεκρώνεται ἡ πίστη του».

52. Εἶπε ἐπίσης: «Πολλές εἶναι οἱ ἐνέδρες πού στήνει ὁ διάβολος. Μέ τή φτώχια δέν μπόρεσε νά κλονίσει τήν ψυχή; Παρουσιάζει τά πλούτη γιά νά τήν δελεάσει. Μέ τήν καταφρόνια καί τούς ἐμπαιγμούς δέν ἔφερε ἀποτέλεσμα; Προβάλλει τόν ἔπαινο καί τή δόξα. Μέ τήν ὑγεία νικήθηκε; Ἀρρωσταίνει τό σῶμα. Μή μπορώντας λοιπόν νά ἐξαπατήσει μέ τά εὐχάριστα μέσα, ἐπιχειρεῖ νά ἐκτροχιάσει τήν ψυχή μέ τίς ἀθέλητες δυσκολίες. Κατόπιν θείας παραχωρήσεως φέρνει στόν ἄνθρωπο βαρύτατες ἀρρώστιες[61] μέ σκοπό νά μικροψυχήσει μέσα σ' αὐτές τίς δοκιμασίες καί νά θολώσει ἡ ἀγάπη του γιά τόν Θεό. Ἀκόμη καί μέ ὑψηλό πυρετό καταβασανίζει τό σῶμα καί μέ ἀκατάσχετη δίψα τό ταλαιπωρεῖ.

Ἄν λοιπόν τά ὑφίστασαι αὐτά ἐπειδή εἶσαι ἁμαρτωλός, νά 'χεις ὑπόψιν σου πάντα τήν μελλοντική κόλαση καί τό αἰώνιο πῦρ καί τίς τιμωρίες τῆς κρίσεως καί δέν θά ὀλιγωρήσεις γιά τά παρόντα. Νά χαίρεσαι μάλιστα, πού σέ ἐπισκέφθηκε ὁ Θεός· καί νά ἔχεις στά χείλη σου πάντοτε τό εὐλογημένο ρητό: Μέ παιδαγώγησε ὁ Κύριος μέ διάφορες δοκιμασίες ἀλλά δέν μέ παρέδωσε στόν θάνατο[62]. Ἤσουν σιδερένιος ἀλλά μέ τή φωτιά διώχνεις τή σκουριά.

ὢν ἀρρωστεῖς, ἀπὸ τῶν μεγάλων ἐπὶ τὰ μείζονα προκόπτεις. Χρυσὸς εἶ; Ἀλλὰ διὰ τοῦ πυρὸς δοκιμώτερος γίνῃ. Ἐδόθη σοι ἄγγελος σατᾶν τῇ σαρκί; Ἀγαλλιῶ. Βλέπε τίνι ὅμοιος γέγονας· τῆς γὰρ Παύλου μερίδος κατηξιώθης. Διὰ τοῦ πυρετοῦ δοκιμάζῃ, διὰ τοῦ ῥίγους παιδεύῃ; Ἀλλά φησιν ἡ Γραφή· Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Ἔτυχες τοῦ πρώτου; Προσδόκα τὸ δεύτερον. Πράττων τὴν ἀρετὴν βόα τὰ τοῦ ἁγίου Δαβὶδ ῥήματα· φησὶ γάρ· Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ. Τέλειος γὰρ γενήσει διὰ ταύτης τῶν θλίψεων τῆς δυάδος· φησὶ γάρ· Ἐν θλίψει ἐπλάτυνάς με. Ἐν τούτοις μᾶλλον τοῖς γυμνασίοις τὰς ψυχὰς ἀσκηθῶμεν· ἐπ᾽ ὀφθαλμῶν γὰρ ὁρῶμεν τὸν ἀντίπαλον.

53. Εἶπε πάλιν· Ἐὰν ἀσθένεια ἐνοχλῇ, μὴ λυπηθῶμεν ὡς διὰ τὴν ἀσθένειαν καὶ τὴν πληγὴν τοῦ σώματος μὴ δυνάμενοι εἰς εὐχὴν στῆναι ἢ ψάλλειν μετὰ φωνῆς. Ταῦτα πάντα ἡμῖν ἠνύετο πρὸς καθαίρεσιν ἐπιθυμιῶν. Καὶ γὰρ νηστεία καὶ χαμευνία διὰ τὰς αἰσχίστους ἡδονὰς ἡμῖν νενομοθέτηται. Εἰ οὖν ἡ νόσος ταύτας ἤμβλυνε, περιττὸς ὁ λόγος. Τί δὲ λέγω περιττός; Ὡς γὰρ μείζονι καὶ ἰσχυροτέρῳ φαρμάκῳ τῇ νόσῳ τὰ ὀλεθριοφόρα συμπτώματα κεκοίμηται. Καὶ αὕτη ἐστὶν ἡ μεγάλη ἄσκησις, τὸ ἐν ταῖς νόσοις ἐγκαρτερεῖν καὶ εὐχαριστηρίους ὕμνους ἀναπέμπειν τῷ κρείττονι. Ἀφαιρούμεθα ὀφθαλμούς; Μὴ βαρέως ἐνέγκωμεν. Τὰ γὰρ τῆς ἀπληστίας ἀπεβάλομεν ὄργανα, ἀλλὰ

63. Β΄ Κορ. 12, 7. 64. Ψαλμ. 65, 12. 65. Ψαλμ. 68, 30.
66. Ψαλμ. 4, 1. 67. Βλ. Δ ὑποσημ. 33 σελ. 58.

Ἄν, ἀντίθετα, ἀρρωστήσεις, ἐνῶ εἶσαι δίκαιος, προχωρεῖς ἀπό τά μεγάλα στά μεγαλύτερα. Εἶσαι χρυσός; Περνώντας ὅμως μέσα ἀπό τή φωτιά, θά γίνεις πιό δόκιμος. Σοῦ δόθηκε ὑπηρέτης τοῦ Σατανᾶ νά σοῦ ταλαιπωρεῖ τή σάρκα[63]; Νά ἀγάλλεσαι. Δές μέ ποιόν ἐξομοιώθηκες· ἔγινες ἄξιος τῆς μερίδος τοῦ Παύλου.

Δοκιμάζεσαι μέ πυρετό καί ταλαιπωρεῖσαι μέ τό ρίγος; Ἡ ἁγία Γραφή λέει: Περάσαμε μέσα ἀπό φωτιά καί νερό, ἀλλά μᾶς ἔβγαλες σέ ἀναψυχή[64]. Σέ βρῆκε τό πρῶτο; Περίμενε τό δεύτερο.

Ἐπιδιώκοντας τήν ἀρετή κραύγαζε τά ρήματα τοῦ ἁγίου Δαβίδ πού λέει: Φτωχός καί πονεμένος εἶμαι ἐγώ[65]. Καί μ᾽ αὐτό τό ζευγάρι τῶν θλίψεων θά γίνεις τέλειος. Γιατί διαβεβαιώνει: Μέσα στή θλίψη, ἔδωσες ἄνεση στήν καρδιά μου[66]. Μ᾽ αὐτά τά γυμνάσματα συμφέρει νά ἀσκοῦμε τίς ψυχές μας, γιατί βλέπουμε νά στέκει ὁ ἐχθρός ἀπέναντί μας».

53. Εἶπε πάλι: «Ἐάν μᾶς ἐνοχλεῖ ἀρρώστια, ἄς μή λυπόμαστε, ἐπειδή ἐξαιτίας τῆς ἀρρώστιας καί τῆς σωματικῆς κατάπτωσης δέν ἀντέχουμε νά σταθοῦμε ὀρθοί γιά προσευχή ἤ νά ψάλλουμε μέ ὑψωμένη φωνή. Ὅλα αὐτά τά κάμναμε γιά τήν νέκρωση τῶν ἐπιθυμιῶν. Ἄλλωστε ἡ νηστεία καί ἡ χαμαικοιτία[67] ἔχουν καθιερωθεῖ ἐξαιτίας τῶν ἡδονῶν. Ἄν λοιπόν ἡ ἀρρώστια τίς ἔχει καταστείλει, περιττεύει ἡ συζήτηση. Καί τί λέω περιττεύει; Τά καταστροφικά συμπτώματα τῶν ἡδονῶν νεκρώνονται μέ τήν ἀρρώστια σάν μ᾽ ἕνα ἀνώτερο καί δραστικότερο φάρμακο. Καί νά ἡ μεγάλη ἄσκηση: νά ὑπομένουμε καρτερικά τίς ἀρρώστιες καί νά ἀναπέμπουμε ὕμνους εὐχαριστίας στόν Πανάγαθο.

Χάνουμε τήν ὅραση; Μήν τό φέρουμε βαριά. Γιατί χάσαμε τά ὄργανα τῆς ἀπληστίας, ἐνῶ μέ τά ἐσωτερικά μάτια

τοῖς ἔνδοθεν ὀφθαλμοῖς τὴν δόξαν Κυρίου κατοπτριζόμεθα. Ἐκωφεύσαμεν; Εὐχαριστήσωμεν τὴν ματαίαν ἀκοὴν τέλεον ἀποβαλόντες. Τὰς χεῖρας πεπόνθαμεν; Ἀλλὰ τὰς ἔνδοθεν ἔχομεν εὐτρεπισθείσας πρὸς τὸν κατὰ τοῦ ἐχθροῦ πόλεμον. Ἀρρωστία καθ' ὅλον τὸ σῶμα κρατεῖ; Ἀλλὰ κατὰ τὸν ἔσω ἄνθρωπον ὑγεία μᾶλλον αὔξει.

54. Εἶπε πάλιν· Ἐν τῷ κόσμῳ πταίοντες καὶ μὴ βουλόμενοι ἐν φυλακῇ βαλλόμεθα. Καὶ ἡμεῖς διὰ τὰς ἁμαρτίας ἡμῶν ἑαυτοὺς φυλακίσωμεν, ἵνα τὸ ἑκούσιον τῆς γνώμης τὴν μέλλουσαν κόλασιν ἀποσοβήσῃ.

55. Εἶπε πάλιν· Νηστεύων μὴ προφασίσῃ νόσον· καὶ γὰρ οἱ μὴ νηστεύοντες, τοῖς αὐτοῖς πολλάκις περιέπεσον νοσήμασιν. Ἦρξω τοῦ καλοῦ; Μὴν ἀναχαιτίσῃς τοῦ ἐχθροῦ σε ἐκκόπτοντος· αὐτὸς γὰρ τῇ ὑπομονῇ σου καταργεῖται. Καὶ γὰρ οἱ πλεῖν ἀρχόμενοι, πρῶτον μὲν δεξιοῦ πνεύματος τυγχάνουσιν ἁπλώσαντες τὰ ἱστία, αὖθις ἐναντίος αὐτοῖς ἄνεμος ἀπαντᾷ, ἀλλ' οἱ ναῦται διὰ τὸ παρεμπεσὸν πνεῦμα οὐκ ἀποσκευάζουσι τὴν ναῦν· μικρὸν δὲ ἡσυχάσαντες ἢ καὶ ἀπομαχησάμενοι τῇ ζάλῃ, πάλιν τὸν πλοῦν ποιοῦνται. Οὕτω καὶ ἡμεῖς· ἐναντίου πνεύματος προσπεσόντος, τὸν σταυρὸν ἀντὶ ἱστίου τανύσαντες, ἀδεῶς τὸν πλοῦν ἐκτελέσωμεν.

56. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· Ὕμνος πνευματικὸς

68. Πρβλ. Β' Κορ. 3, 18.

βλέπουμε σάν σέ καθρέφτη[68] τή δόξα τοῦ Κυρίου. Χάσαμε τήν ἀκοή μας; Ἄς εἴμαστε εὐγνώμονες πού χάσαμε ὁλοκληρωτικά τά μάταια ἀκούσματα. Πάθανε τά χέρια μας; Ἔχουμε ὅμως τά ἐσωτερικά χέρια πού εἶναι ἕτοιμα γιά τόν πόλεμο ἐναντίον τοῦ ἐχθροῦ. Ἐξουσιάζει ἡ ἀρρώστια ὅλο τό σῶμα; Στόν μέσα ἄνθρωπο ὅμως ἡ ὑγεία αὐξάνει ὅλο καί περισσότερο[69]».

54. Εἶπε ἀκόμη: «Σ' αὐτόν τόν κόσμο ὅταν πέφτουμε σέ κάποιο παράπτωμα, μᾶς ρίχνουν στή φυλακή ἔστω κι ἄν δέν τό θέλουμε. Καί ἐμεῖς ἄς φυλακίσουμε τόν ἑαυτό μας γιά τίς ἁμαρτίες μας, ὥστε ἡ ἑκούσια προαίρεσή μας νά ματαιώσει τή μελλοντική κόλαση».

55. Εἶπε πάλι: «Ὅταν νηστεύεις, μή χρησιμοποιεῖς τήν ἀρρώστια σάν πρόφαση· γιατί κι αὐτούς πού δέν νηστεύουν, οἱ ἴδιες ἀρρώστιες πολλές φορές τούς βρίσκουν.

Ἄρχισες ἕνα καλό ἔργο; Μήν τό σταματᾶς, ἐπειδή ὁ ἐχθρός σοῦ φέρνει ἐμπόδια. Αὐτός θά παραιτηθεῖ βλέποντας τήν ὑπομονή σου. Εἶναι γνωστό ὅτι αὐτοί πού ξεκινοῦν νά ταξιδέψουν στή θάλασσα, καταρχήν ἐπωφελοῦνται τόν εὐνοϊκό ἄνεμο ξεδιπλώνοντας τά πανιά, ξαφνικά ὅμως τούς βρίσκει ἀντίθετος ἄνεμος. Ἀλλά οἱ ναῦτες δέν ξαρματώνουν τό καράβι, ἐπειδή τούς βρῆκε ὁ ξαφνικός ἄνεμος· περιμένουν λίγο ἤ ἀκόμη καί παλεύοντας μέ τή θύελλα συνεχίζουν τό ταξίδι τους. Ἔτσι κι ἐμεῖς· ὅταν μᾶς βρεῖ ἀντίθετος ἄνεμος, τόν σταυρό θά τεντώσουμε γιά κατάρτι καί ἄφοβα θά κάνουμε τό ταξίδι μας».

56. Εἶπε ὁ ἀββᾶς Ὑπερέχιος: «Ἄς βρίσκεται πάντα ὁ

69. Πρβλ. Β' Κορ. 4, 16.

ἤτω ἐν τῷ στόματί σου καὶ μελέτη ἐπικουφιζέτω τὸ βάρος τῶν ἐπερχομένων σοι πειρασμῶν. Ὑπόδειγμα δὲ τοῦτο σαφές, ὁδοιπόρος βαρυαχθήσας καὶ ᾄσμασι κλέπτων τῆς ὁδοιπορίας τὸν πόνον.

57. Εἶπε πάλιν· Δέον ἐστὶν ἡμᾶς πρὸ τῶν πειρασμῶν ἑαυτοὺς καθοπλίζειν· οὕτω γὰρ ἐπερχομένων αὐτῶν, δόκιμοι ἀναφανησόμεθα.

58. Εἶπεν ὁ ἀββᾶς Φορτᾶς· Εἰ θέλει με ὁ Θεὸς ζῆν, οἶδε πῶς οἰκονομήσει με. Εἰ δὲ οὐ θέλει, ἵνα τί μοι τὸ ζῆν; Οὐ γὰρ παρὰ παντὸς ἐδέχετό τι, καίτοι κλινήρης ὤν. Ἔλεγε γάρ· Ἐὰν προσφέρῃ μοί τίς τί ποτε καὶ οὐχὶ διὰ τὸν Θεόν, οὔτε ἐγὼ ἔχω τι δοῦναι αὐτῷ οὔτε παρὰ τῷ Θεῷ λαμβάνει μισθόν· οὐ γὰρ διὰ τὸν Θεὸν προσήνεγκε καὶ ἀδικεῖται ὁ προσενέγκας. Δεῖ γὰρ τοὺς ἀνακειμένους τῷ Θεῷ καὶ πρὸς αὐτὸν βλέποντας μόνον, οὕτως εὐλαβῶς διακεῖσθαι, ὡς μήτε ὕβριν τινὰ ἡγεῖσθαι, κἂν μυριάκις ἀδικούμενοι τύχοιεν.

59. Ἔλεγον περὶ τοῦ ἀββᾶ Χαιρέμωνος εἰς Σκήτην ὅτι ἀπεῖχε τὸ σπήλαιον αὐτοῦ ἀπὸ τῆς ἐκκλησίας μίλια τεσσαράκοντα, ἀπὸ δὲ τοῦ ἕλους καὶ τοῦ ὕδατος μίλια δώδεκα καὶ οὕτως εἰσέφερε τὸ ἐργόχειρον αὐτοῦ εἰς τὸ σπήλαιον αὐτοῦ καὶ δύο λαγήνια ἓν παρ' ἓν βαστάζων, καὶ ἐκαθέζετο καὶ ἡσύχαζε.

70. Βλ. Ζ 36 ὑποσημ. 51 σελ. 356.
71. Ἕλος: Λειμώνας βαλτώδης ἀπ' ὅπου προμηθευόταν ὑλικό γιά τό ἐργόχειρό του.

πνευματικός ὕμνος στά χείλη σου καί ἡ μελέτη νά ξαλαφρώνει τό βάρος τῶν πειρασμῶν πού σοῦ 'ρχονται. Παράδειγμα σαφές εἶναι τοῦτο· ὁ ὁδοιπόρος ὁ βαριά φορτωμένος πού τραγουδώντας ἀφαιρεῖ τόν κόπο τῆς ὁδοιπορίας».

57. Εἶπε ἐπίσης: «Εἶναι ἀνάγκη νά ἑτοιμάζουμε τήν ἁρματωσιά μας πρίν ἔλθουν οἱ πειρασμοί. Γιατί ἔτσι, ὅταν θά ἔρχονται, θά ἀποδειχθοῦμε σίγουρα δόκιμοι».

58. Εἶπε ὁ ἀββᾶς Φορτᾶς: «Ἐάν ὁ Θεός θέλει νά ζῶ, γνωρίζει πῶς θά μέ ἐξοικονομήσει. Ἐάν ὅμως δέν θέλει, τί σκοπό ἔχει γιά μένα ἡ ζωή;» Δέν δεχόταν τίποτε ἀπό κανένα, ἄν καί ἦταν κρεβατωμένος. Καί ἔλεγε: «Ἐάν προσφέρει κανείς κάποια φορά κάτι σέ μένα καί δέν τό κάνει γιά τόν Θεό, οὔτε ἐγώ ἔχω κάτι νά τοῦ δώσω οὔτε θά 'χει μισθό ἀπό τόν Θεό, ἐφόσον δέν τό πρόσφερε γιά τόν Θεό· καί ἔτσι ἀδικεῖται αὐτός πού πρόσφερε.

Ὅσοι ἔχουν ἀφιερωθεῖ στόν Θεό καί σ' Αὐτόν ἀποβλέπουν μόνο, πρέπει νά ἔχουν τέτοια εὐλάβεια, ὥστε τίποτε νά μήν ἐκλαμβάνουν ὡς καταφρόνια, ἔστω κι ἄν συμβεῖ ἄπειρες φορές νά ἀδικοῦνται».

59. Ἔλεγαν γιά τόν ἀββᾶ Χαιρέμονα τῆς Σκήτης ὅτι ἡ σπηλιά του ἀπεῖχε ἀπό τήν ἐκκλησία σαράντα μίλια[70] καί ἀπό τό Ἕλος[71] καί τό νερό ἀπεῖχε δώδεκα μίλια. Καί ἀπό τόση ἀπόσταση ἔφερνε στή σπηλιά του τό ὑλικό γιά τό ἐργόχειρό του καί δύο στάμνες πού τίς κουβαλοῦσε μιά τή μία, μιά τήν ἄλλη. Ἔτσι ἔμενε στή σπηλιά αὐτή καί ἔκανε τήν ἡσυχαστική του ζωή.

60. Ἦλθέ τίς ποτε δαιμονιζόμενος εἰς Σκήτην. Καὶ πολλῷ τῷ χρόνῳ οὐκ ἐθεραπεύθη. Σπλαγχνισθεὶς δὲ εἷς τῶν Γερόντων, ἐσφράγισεν τὸν δαιμονιζόμενον καὶ ἐθεράπευσεν αὐτόν. Διαπονηθεὶς δὲ ὁ δαίμων εἶπε τῷ Γέροντι· Ἰδοὺ ἐξέβαλές με, ἐπάνω σου ἔρχομαι· λέγει αὐτῷ ὁ Γέρων· Δεῦρο, ἡδέως ἔχω. Ἐποίησεν οὖν ὁ Γέρων δώδεκα ἔτη ἔχων τὸν δαίμονα καὶ συντρίβων αὐτόν, ἐσθίων καθ' ἑκάστην ἡμέραν ὀστέα φοινίκων δώδεκα· ἐκπηδήσας δὲ ὁ δαίμων ἐξῆλθεν ἀπ' αὐτοῦ. Καὶ ἰδὼν ὁ Γέρων ἐξελθόντα αὐτὸν ἀπ' αὐτοῦ, εἶπεν αὐτῷ· Τί φεύγεις; Ἔτι παράμεινον. Ἀποκριθεὶς δὲ ὁ δαίμων εἶπεν αὐτῷ· Καταργήσοι σε ὁ Θεὸς ὅτι εἰ μὴ αὐτὸς μόνος δύναται πρὸς σέ.

61. Εἶπε Γέρων· Ἐὰν ἔλθῃ ἀνθρώπῳ πειρασμός, πανταχόθεν πληθύνονται αὐτῷ αἱ θλίψεις, ἵνα ὀλιγωρήσῃ καὶ γογγύσῃ. Καὶ διηγήσατο ὁ Γέρων οὕτως· Ἀδελφός τις ἦν εἰς τὰ Κελλία καὶ ἦλθεν ἐπ' αὐτὸν πειρασμός. Καὶ εἰ ἔβλεπέ τις αὐτόν, οὔτε ἀσπάσασθαι αὐτὸν ἤθελεν, οὔτε εἰς κελλίον εἰσαγαγεῖν. Καὶ εἰ ἔχρῃζεν ἄρτον, οὐδεὶς αὐτῷ ἐκίχρα. Καὶ ἀπὸ τοῦ θερισμοῦ ἐρχόμενον οὐδὲ εἰς τὴν ἐκκλησίαν προετρέπετο δι' ἀγάπην, ὡς ἐστὶν ἔθος. Ἦλθε δὲ μίαν ἀπὸ τοῦ θέρους καὶ οὐδὲ ἄρτον εἶχεν εἰς τὴν κέλλαν αὐτοῦ καὶ σὺν τούτοις πᾶσιν εὐχαρίστει τῷ Θεῷ. Ἰδὼν δὲ ὁ Θεὸς τὴν ὑπομονὴν αὐτοῦ ἦρε τὸν πόλεμον τοῦ πειρασμοῦ ἀπ' αὐτοῦ. Καὶ ἰδού τις ἦλθε τὴν θύραν κρούων, κάμηλον ἔχων ἀπ' Αἰγύπτου μεστὴν ἄρτων· καὶ ἤρξατο ὁ ἀδελφὸς κλαίειν καὶ λέγειν· Κύριε, οὐκ ἤμην ἄξιος θλιβῆναι μικρὸν διὰ τὸ

60. Ἦλθε κάποτε στή Σκήτη ἕνας δαιμονισμένος. Ἄν καί ἔμεινε πολύν καιρό, δέν θεραπεύτηκε. Τόν πόνεσε ἕνας ἀπ' τούς Γέροντες καί σφραγίζοντάς τον μέ τόν σταυρό τόν θεράπευσε.

Ἀλλά ὁ δαίμονας τό 'φερε βαριά αὐτό καί εἶπε στόν Γέροντα: «Μ' ἔδιωξες λοιπόν καί ἐγώ θά 'ρθῶ σέ σένα». «Ἔλα —τοῦ λέει ὁ Γέροντας— χαίρομαι». Καί ἔκανε ὁ Γέροντας δώδεκα χρόνια ἔχοντας τόν δαίμονα καί συντρίβοντάς τον, γιατί τό φαγητό του ἦταν κάθε μέρα δώδεκα κουκούτσια ἀπό χουρμάδες. Ἔτσι ὁ διάβολος πήδηξε καί βγῆκε ἔξω ἀπ' αὐτόν· καί ὅταν τόν εἶδε ὁ Γέροντας νά βγαίνει, τοῦ εἶπε: «Γιατί φεύγεις; Μεῖνε κι ἄλλο». Καί ὁ δαίμονας ἀπάντησε: «Νά σέ καταργήσει ὁ Θεός, γιατί κανείς δέν μπορεῖ νά τά βάλει μαζί σου παρά μόνο Αὐτός».

61. Εἶπε κάποιος Γέροντας: «Ἄν βρεῖ τόν ἄνθρωπο ἕνας πειρασμός, πληθαίνουν οἱ στενοχώριες ἀπό παντοῦ, ὥστε νά ἀθυμήσει καί νά γογγύσει». Καί διηγήθηκε ὁ Γέροντας τό ἑξῆς: «Ἦταν ἕνας ἀδελφός στά Κελλία καί τόν βρῆκε κάποιος πειρασμός. Καί ἄν τόν συναντοῦσε κανείς, οὔτε νά τόν χαιρετήσει ἤθελε οὔτε καί στό κελί του νά τόν βάλει. Καί ὅταν εἶχε ἀνάγκη ἀπό ψωμί, κανείς δέν τοῦ δάνειζε· καί ὅταν γυρνοῦσε ἀπό τό θέρος, οὔτε στήν ἐκκλησία δέν τόν καλοῦσαν γιά τήν τράπεζα τῆς ἀγάπης, ὅπως συνηθιζόταν.

Κάποια φορά γύρισε ἀπό τό θέρος καί δέν εἶχε οὔτε ψωμί στό κελί του. Καί μ' ὅλα αὐτά εὐχαριστοῦσε τόν Θεό. Ὁ Θεός λοιπόν βλέποντας τήν ὑπομονή του, ἔπαυσε τόν ἀγώνα τῆς δοκιμασίας του. Καί νά, ἔρχεται κάποιος καί τοῦ χτυπᾶ τήν πόρτα ἔχοντας μαζί του μιά καμήλα ἀπό τήν Αἴγυπτο φορτωμένη ψωμιά. Ὁ ἀδελφός ἄρχισε νά κλαίει καί νά λέει: Κύριε, δέν ἤμουν ἄξιος νά στενοχωρηθῶ λίγο

ὄνομά σου; Καὶ ὡς παρῆλθεν ὁ πειρασμός, ἐκράτουν αὐτὸν οἱ ἀδελφοὶ καὶ ἀνέπαυον εἰς τὰ κελλία ἑαυτῶν καὶ εἰς τὴν ἐκκλησίαν.

62. Παρέβαλόν τινες ἀδελφοὶ ἐν τῇ ἐρήμῳ μεγάλῳ Γέροντι καὶ εἶπον αὐτῷ· Πῶς καρτερεῖς ὧδε, ἀββᾶ, ὑπομένων τὸν κόπον τοῦτον; Καὶ εἶπεν ὁ Γέρων· Ὅλος ὁ κόπος τοῦ χρόνου μου οὗ ποιῶ ὧδε, οὔπω ἡμέρας μιᾶς τῆς κολάσεώς ἐστι.

63. Εἶπε Γέρων ὅτι· Οἱ ἀρχαῖοι οὐ ταχέως μετέβαινον ἐκ τοῦ τόπου αὐτῶν ἐκτὸς τῶν τριῶν πραγμάτων τούτων· ἐάν τις εὑρεθῇ ἔχων τινὰ λυπούμενον κατ' αὐτοῦ καὶ πάντα ποιῶν τὰ πρὸς θεραπείαν αὐτοῦ, μὴ δύναται αὐτὸν μεταβαλεῖν· ἢ πάλιν, ἐὰν συμβῇ ἀπὸ πολλῶν δοξάζεσθαι ἢ πειρασμῷ πορνείας περιπεσεῖν.

64. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω ὅτι οἱ λογισμοὶ θλίβουσί με λέγοντες· Οὐ δύνασαι νηστεύειν οὐδὲ ἐργάζεσθαι, κἂν ἐπισκέπτου τοὺς ἀσθενοῦντας· καὶ τοῦτο ἀγάπη ἐστί. Λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε, φάγε, πίε, κοιμῶ· μόνον τοῦ κελλίου σου μὴ ἀποστῇς· εἰδὼς ὅτι ἡ ὑπομονὴ τοῦ κελλίου φέρει τὸν μοναχὸν εἰς τὴν τάξιν αὐτοῦ. Καὶ ὡς ἐποίησε τρεῖς ἡμέρας ἠκηδίασε· καὶ εὑρὼν μικρὰ θαλλία, ἔσχισεν αὐτά. Καὶ πάλιν τῇ ἑξῆς ἤρξατο πλέκειν αὐτὰ καὶ πεινάσας εἶπεν· Ἰδοὺ ἄλλα μικρὰ θαλλία εἰσί, ποιήσω αὐτὰ καὶ ἐσθίω· καὶ ὡς ἐποίησε τὰ θαλλία, εἶπε πάλιν· Ἀναγινώσκω μικρὸν καὶ οὕτως ἐσθίω. Καὶ ὡς ἀνέγνω,

---

72. Βλ. Δ 78 ὑποσημ. 41 σελ. 68.

73. Βλ. Ζ 19 ὑποσημ. 35 σελ. 338.

γιά τ' ὄνομά σου;" Ἔτσι ἀφοῦ πέρασε ὁ πειρασμός πού εἶχε, τόν κρατοῦσαν οἱ ἀδελφοί καί τόν περιποιοῦνταν στά κελιά τους καί στήν ἐκκλησία».

62. Ἐπισκέφθηκαν κάποιοι ἀδελφοί στήν ἔρημο ἕνα φημισμένο Γέροντα καί τοῦ εἶπαν: «Πῶς μένεις καρτερικά ἐδῶ, ἀββᾶ, σηκώνοντας τήν κακοπάθεια αὐτή;» Καί ὁ Γέροντας ἀποκρίθηκε: «Ὅλη ἡ κακοπάθειά μου ὅσον χρόνο βρίσκομαι ἐδῶ, δέν συγκρίνεται οὔτε μέ μιά μέρα τῆς κόλασης».

63. Εἶπε ἕνας Γέροντας: «Οἱ παλαιοί μοναχοί δέν ἄφηναν εὔκολα τόν τόπο τους νά πᾶνε ἀλλοῦ, ἐκτός τῶν ἑξῆς τριῶν περιπτώσεων: Ἐάν συνέβαινε ἕνας ἀδελφός νά ἔχει κάποιον πού ἦταν λυπημένος ἐξαιτίας του καί ἐνῶ ἔκανε τό πᾶν γιά νά τόν θεραπεύσει, δέν μποροῦσε νά τόν μεταβάλει· ἢ ἐπίσης ἂν συνέβαινε νά τόν τιμᾶ πλῆθος ἀνθρώπων ἢ ἂν ἔπεφτε στόν πειρασμό τῆς πορνείας».

64. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Τί νά κάνω πού μέ θλίβουν οἱ λογισμοί καθώς μοῦ λένε: Δέν μπορεῖς νά νηστεύεις οὔτε νά ἐργάζεσαι· τουλάχιστον κάνε ἐπισκέψεις στούς ἀρρώστους· καί αὐτό εἶναι ἀγάπη». Καί ὁ Γέροντας τοῦ εἶπε: «Πήγαινε, φάγε, πιές, κοιμήσου· μόνο μήν ἀπομακρύνεσαι ἀπ' τό κελί σου». Γιατί ἤξερε καλά ὁ Γέροντας ὅτι ἡ ὑπομονή τοῦ κελιοῦ ὁδηγεῖ τόν μοναχό στήν τάξη του[72]. Μόλις συμπληρώθηκαν ὅμως τρεῖς μέρες, ἔπεσε σέ ἀκηδία[73]. Βρῆκε τότε λίγους φοινικοβλαστούς καί τούς ἔσχισε. Τήν ἑπομένη ἄρχισε νά τούς πλέκει. Ὅταν ἦρθε ἡ ὥρα καί πείνασε εἶπε: Νά, ὑπάρχουν μερικά ἀκόμη βλαστάρια· νά τά πλέξω κι αὐτά καί θά φάω. Ἀφοῦ τά τελείωσε, εἶπε πάλι: Ἂς διαβάσω λίγο καί μετά τρώω. Καί

λέγει· Ποιῶ μου τοὺς μικροὺς ψαλμοὺς καὶ μετὰ ἀμεριμνίας ἐσθίω· καὶ οὕτως κατὰ μικρὸν αὐτῷ προέκοπτε τοῦ Θεοῦ συνεργοῦντος, ἕως οὗ ἦλθεν εἰς τὴν τάξιν αὐτοῦ καὶ θάρσος λαβὼν κατὰ τῶν λογισμῶν ἐνίκα αὐτούς.

65. Ἠρωτήθη Γέρων· Διατί ἀκηδιῶ καθεζόμενος ἐν τῷ κελλίῳ μου; Καὶ ἀπεκρίθη ὅτι· Οὐχ ἑώρακας ἀκμὴν οὔτε τὴν ἐλπιζομένην ἀνάπαυσιν οὔτε τὴν ἐσομένην κόλασιν· εἰ γὰρ ταῦτα ἀκριβῶς ἑώρακας, εἰ σκωλήκων ἔγεμε τὸ κελλίον σου, ὥστε ἐν αὐτοῖς ἕως τραχήλου δεδυκέναι, ὑπέμεινας ἂν μὴ ἀκηδιῶν.

66. Τινὰ τῶν Γερόντων παρεκάλουν οἱ ἀδελφοὶ παύσασθαι τῶν μεγάλων πόνων. Ὁ δὲ ἀπεκρίθη αὐτοῖς· Λέγω ὑμῖν, τέκνα, ὅτι Ἀβραὰμ ἔχει μετανοῆσαι ὁρῶν τὰς δωρεὰς τοῦ Θεοῦ τὰς μεγάλας, διότι μὴ πλέον ἠγωνίσατο.

67. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Οἱ λογισμοί μου ῥέμβονται καὶ θλίβομαι. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Σὺ κάθου εἰς τὸ κελλίον σου καὶ αὐτοὶ πάλιν ἔρχονται· ὥσπερ γὰρ ἡ ὄνος, ἐὰν ᾖ δεδεμένη καὶ ὁ πῶλος αὐτῆς σκιρτᾷ ὧδε κἀκεῖ καὶ ὅπου δι' ἂν ἀπέρχηται πρὸς τὴν μητέρα αὐτοῦ

74. Στήν παράκληση τῶν ἀδελφῶν πρός τόν ἀββᾶ νά ἐλαττώσει πιά τόν μεγάλο κόπο τῆς ἄσκησης, ὁ ἀββᾶς καταθέτει μέ χαριτωμένη ἁπλότητα τή διαβεβαίωσή του γιά τόν πατριάρχη Ἀβραάμ, ὅτι κατά τήν τελική κρίση καί ἀπόδοση δικαιοσύνης στούς ἀνθρώπους, βλέποντας ὁ πατριάρχης τίς

σάν τελείωσε ἡ ἀνάγνωση εἶπε: Θά ψάλω λίγο καί μετά θά φάω ξένοιαστος.

Καί μ' αὐτόν τόν τρόπο λίγο-λίγο πρόκοβε μέ τή συνεργία τοῦ Θεοῦ, ἕως ὅτου ἔφτασε στή σωστή πορεία τῆς μοναχικῆς ζωῆς. Καί στό ἑξῆς μέ θάρρος ἀντιμετώπιζε τούς λογισμούς καί τούς νικοῦσε».

65. Ρώτησε κάποιος ἕνα Γέροντα: «Γιατί μέ πιάνει ἀκηδία τίς ὧρες πού βρίσκομαι στό κελί μου;» Καί ἀποκρίθηκε ὁ Γέροντας: «Δέν εἶδες ἀκόμη οὔτε τήν ἀνάπαυση πού μᾶς περιμένει οὔτε τήν κόλαση πού θά ἀκολουθήσει. Γιατί ἄν τά 'βλεπες αὐτά σωστά, κι ἄν ἀκόμη τό κελί σου θά γέμιζε ἀπό σκουλήκια, ὥστε νά εἶχες βυθιστεῖ μέσα σ' αὐτά μέχρι τό λαιμό, θά 'κανες ὑπομονή χωρίς νά σέ πιάνει ἀκηδία».

66. Κάποιον ἀπό τούς Γέροντες τόν παρακαλοῦσαν οἱ ἀδελφοί νά σταματήσει πιά τούς μεγάλους κόπους τῆς ἄσκησης. Κι ἐκεῖνος τούς ἀποκρίθηκε: «Σᾶς διαβεβαιώνω, παιδιά μου, ὅτι ὁ Ἀβραάμ[74] βλέποντας τίς δωρεές τίς μεγάλες τοῦ Θεοῦ θά μετανοήσει γιατί δέν ἀγωνίσθηκε περισσότερο».

67. Κάποιος ἀδελφός ρώτησε ἕναν Γέροντα: «Οἱ λογισμοί μου περιπλανῶνται ἐδῶ κι ἐκεῖ καί στενοχωροῦμαι». Καί ὁ Γέροντας τοῦ εἶπε: «Ἐσύ νά κάθεσαι στό κελί σου καί αὐτοί θά ἐπιστρέψουν. Ὅπως ἀκριβῶς ἡ ὄνος ἐάν εἶναι δεμένη κάπου, τό πουλαράκι της πηδάει ἐδῶ κι ἐκεῖ καί ὅπου κι ἄν πάει, κοντά στή μητέρα του ἐπιστρέφει, ἔτσι

μεγάλες δωρεές τοῦ Θεοῦ, θά μετανιώσει γιατί δέν ἀγωνίσθηκε περισσότερο γι' αὐτές. Πρβλ. Ἑβρ. 11, 39-40.

ἔρχεται, οὕτω καὶ οἱ λογισμοὶ τοῦ διὰ τὸν Θεὸν ἐγκαρτεροῦντος εἰς τὸ κελλίον αὐτοῦ. Εἰ καὶ πρὸς μικρὸν ἐέμβονται, ἀλλὰ πάλιν πρὸς αὐτὸν ἀναστρέφουσι.

68. Γέρων τις ἐκάθητο ἐν τῇ ἐρήμῳ ἔχων τὸ διάστημα ἀπὸ τοῦ ὕδατος μίλια δώδεκα· καὶ ἀπερχόμενος καθάπαξ γεμίσαι, ὀλιγώρησε καὶ εἶπε· Τίς χρεία τοῦ κόπου τούτου; Ἔρχομαι καὶ μένω πλησίον τοῦ ὕδατος. Καὶ τοῦτο εἰπὼν ἐστράφη καὶ θεωρεῖ τινα ἀκολουθοῦντα καὶ ἀριθμοῦντα τὰ βήματα αὐτοῦ. Ἠρώτησε δὲ αὐτόν· Σύ, τίς εἶ; Ὁ δὲ εἶπεν· Ἄγγελος Κυρίου εἰμί· καὶ ἀπεστάλην μετρῆσαι τὰ βήματά σου καὶ δοῦναί σοι τὸν μισθόν. Καὶ τοῦτο ἀκούσας ὁ Γέρων, εὔψυχος ἐγένετο καὶ προθυμότερος καὶ προσέθηκεν ἐσωτέρω μίλια πέντε.

69. Ἔλεγον οἱ Πατέρες, ἐὰν συμβῇ σοι πειρασμὸς ἐν τῷ τόπῳ ἐν ᾧ οἰκεῖς, μὴ καταλίπῃς τὸν τόπον ἐν τῷ καιρῷ τοῦ πειρασμοῦ· εἰ δὲ μή, ὅπου ἐὰν ἀπέλθῃς, εὑρίσκεις ἔμπροσθέν σου ὃ φεύγεις· ἀλλ' ὑπόμεινον, ἕως οὗ παρέλθῃ ὁ πειρασμός, ἵνα ἀσκανδάλιστος γένηται ἡ ἀναχώρησίς σου καὶ ἐν καιρῷ εἰρήνης, ὅπως μηδὲ τοῖς κατοικοῦσιν τὸν τόπον θλῖψίν τινα ποιήσῃ ὁ χωρισμός σου.

70. Ἀδελφός τις ἦν ἐν κοινοβίῳ ἡσυχαστὴς καὶ συνεχῶς ἐκινεῖτο εἰς ὀργήν. Λέγει οὖν ἐν ἑαυτῷ· Ἀπέρχομαι κατὰ μόνας ἀναχωρῶν. Καὶ ἐν τῷ μὴ ἔχειν με τίποτε μετά τινος, παύεται ἀπ' ἐμοῦ τὸ πάθος. Ἐξελθὼν οὖν ᾤκησεν ἐν σπηλαίῳ μόνος. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν γεμίσας τὸ βαυκάλιον ὕδατος, ἔθηκε χαμαὶ καὶ ἐξαίφνης ἐστράφη. Λαβὼν δὲ

συμβαίνει καί μέ τούς λογισμούς τοῦ ἀνθρώπου, πού ἀπό ἀγάπη γιά τόν Θεό μένει καρτερικά στό κελί του. Ἔστω κι ἄν γιά λίγο πᾶν ἐδῶ κι ἐκεῖ, πάλι ἐπιστρέφουν σ' αὐτόν».

68. Ἕνας Γέροντας μόναζε στήν ἔρημο καί τό διάστημα πού περπατοῦσε γιά νά προμηθεύεται τό νερό ἦταν δώδεκα μίλια. Κάποια φορά λοιπόν πού πῆγε νά πάρει νερό, βαρέθηκε καί εἶπε: «Τί χρειάζεται αὐτός ὁ κόπος; Θά ρθῶ νά μείνω κοντά στό νερό». Μόλις τό 'πε αὐτό, στρέφει τό κεφάλι καί βλέπει κάποιον νά τόν ἀκολουθεῖ καί νά μετράει τά βήματά του. Τόν ρωτάει εὐθύς: «Ποιός εἶσαι σύ;» «Ἄγγελος Κυρίου —τοῦ ἀπαντᾶ— σταλμένος νά μετρήσω τά βήματά σου γιά νά σοῦ δώσω τόν μισθό σου». Μόλις τ' ἄκουσε αὐτό ὁ Γέροντας, ἐνθαρρύνθηκε, ἔγινε προθυμότερος καί πῆγε ἄλλα πέντε μίλια πιό βαθιά στήν ἔρημο.

69. Ἔλεγαν οἱ Πατέρες, ἐάν σοῦ συμβεῖ πειρασμός στόν τόπο πού μένεις, μήν ἐγκαταλείπεις τόν τόπο σου κατά τόν καιρό τοῦ πειρασμοῦ. Ἀλλιῶς ὅπου κι ἄν πᾶς, θά βρίσκεις μπροστά σου ἐκεῖνο πού πᾶς νά ξεφύγεις. Νά κάνεις ὑπομονή μέχρις ὅτου περάσει ὁ πειρασμός, ὥστε ἡ ἀναχώρησή σου σέ καιρό ἠρεμίας νά μή σκανδαλίσει κανέναν καί νά μή προκαλέσει ὁ χωρισμός κάποια θλίψη σ' ὅσους κατοικοῦν ἐκεῖ.

70. Κάποιος ἀδελφός πού ἦταν ἡσυχαστής σέ κοινόβιο καί συχνά ἔπεφτε στό πάθος τῆς ὀργῆς, εἶπε τελικά μέσα του: «Θά πάω νά ζήσω μόνος, μακριά ἀπό ἀνθρώπους. Καί καθώς δέν θά ἔχω καμιά σχέση μέ κανέναν, θά παύσει καί τό πάθος». Ἔφυγε πράγματι καί κατοίκησε σέ μιά σπηλιά μόνος. Κάποια μέρα γέμισε τό σταμνί του νερό, τό 'βαλε καταγῆς καί ξαφνικά ἀναποδογύρισε. Τό πῆρε καί τό ξα-

ἐγέμισεν αὐτὸ ἐκ δευτέρου καὶ πάλιν ἐστράφη. Εἶτα τὸ τρίτον γεμίσας αὐτὸ ἐστράφη καὶ θυμωθεὶς ἐδράξατο αὐτοῦ καὶ ἔκλασεν αὐτό. Εἰς ἑαυτὸν δὲ ἐλθὼν ἔγνω ὅτι ἐνεπαίχθη ὑπὸ τοῦ δαίμονος καὶ εἶπεν· Ἰδοὺ καὶ κατὰ μόνας ἀνεχώρησα καὶ ἡττήθην· ἀπέρχομαι οὖν εἰς τὸ κοινόβιον, πανταχοῦ γὰρ ἀγῶνος χρεία καὶ ὑπομονῆς καὶ τῆς τοῦ Θεοῦ βοηθείας. Καὶ ἀναστὰς ὑπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

71. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω, πάτερ, ὅτι οὐδὲν ἐργάζομαι μοναχοῦ· ἀλλ' ἐν ἀμελείᾳ πολλῇ εἰμι· ἐσθίων καὶ πίνων καὶ κοιμώμενος καὶ ἐν αἰσχροῖς λογισμοῖς καὶ ἐν ταραχῇ πολλῇ εἰμι, μετερχόμενος ἀπὸ ἔργου εἰς ἔργον καὶ ἀπὸ λογισμῶν εἰς λογισμούς. Εἶπε δὲ ὁ Γέρων· Σύ κάθου εἰς τὸ κελλίον σου καὶ ὃ δύνασαι ποίει ἐκτὸς ταραχῆς· θέλω γὰρ τὸ μικρὸν ὃ σὺ ποιεῖς, ποίησον ἄρτι ὡς ὅτε ὁ ἀββᾶς Ἀντώνιος ἐποίει τὰ μεγάλα εἰς τὸ ὄρος· καὶ πιστεύω ὅτι ὁ καθήμενος ἐν τῷ κελλίῳ διὰ τὸ ὄνομα τοῦ Θεοῦ καὶ τηρῶν τὴν ἑαυτοῦ συνείδησιν εὑρίσκεται καὶ αὐτὸς εἰς τὸν τόπον τοῦ ἀββᾶ Ἀντωνίου.

72. Ἠρωτήθη Γέρων πῶς δεῖ σπουδαῖον ἀδελφὸν μὴ σκανδαλισθῆναι, ἐὰν ἴδῃ τινὰς ἀνακάμπτοντας ἐν τῷ κόσμῳ. Καὶ εἶπεν· Ὀφείλει σκοπεῖν τοὺς κύνας τοὺς θηρεύοντας τοὺς λαγωούς· καθάπερ εἷς ἐξ αὐτῶν ἑωρακὼς τὸν λαγωὸν ἐπιδιώκει, οἱ δὲ λοιποὶ ὁρῶσι μόνον τὸν κύνα τὸν ἐπιδιώκοντα· καὶ ἕως μέν τινος σὺν αὐτῷ τρέχουσιν, ὕστερον δὲ ἀνακάμπτουσιν εἰς τὰ ὀπίσω, μόνος δὲ ἐκεῖνος ὁ ἑω-

ναγέμισε ἀλλά καί πάλι ἔπεσε. Ἔπειτα καί γιά τρίτη φορά τό γέμισε καί ἔπεσε. Θύμωσε τότε, τό ἅρπαξε καί τό 'σπασε.

Ὅταν συνῆλθε, ἀναγνώρισε ὅτι ἐμπαίχθηκε ἀπό τόν δαίμονα καί εἶπε: «Νά, λοιπόν, ἦρθα νά ζήσω ξεμοναχιασμένος ἀλλά καί πάλι νικήθηκα. Θά ἐπιστρέψω στό κοινόβιο. Γιατί παντοῦ χρειάζεται νά ἀγωνίζεσαι καί νά ὑπομένεις καί νά 'χεις τή βοήθεια τοῦ Θεοῦ». Σηκώθηκε λοιπόν καί γύρισε στόν τόπο του.

71. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Τί νά κάνω, πάτερ, πού δέν εἶμαι συνεπής σέ κανένα ἀπό τά μοναχικά μου καθήκοντα ἀλλά βρίσκομαι σέ μεγάλη ἀμέλεια. Τρώω, πίνω, κοιμᾶμαι, ἔχω αἰσχρούς λογισμούς καί ταραχή μεγάλη, ἀφήνω τή μιά δουλειά καί πιάνω ἄλλη, καί πάω ἀπό λογισμό σέ λογισμό».

Ὁ Γέροντας τοῦ εἶπε: «Ἐσύ νά κάθεσαι στό κελί σου καί νά κάνεις αὐτό πού μπορεῖς χωρίς ταραχή. Θέλω δηλαδή τή λίγη ἐργασία πού ἐσύ κάνεις τώρα, νά τήν κάνεις, μέ ὅποια διάθεση ἔκανε ὁ ἀββᾶς Ἀντώνιος τότε τά μεγάλα ἔργα στό ὄρος. Καί πιστεύω ὅτι ἐκεῖνος ὁ ὁποῖος μένει στό κελί του γιά τό ὄνομα τοῦ Θεοῦ καί ἐπαγρυπνεῖ στή συνείδησή του, βρίσκεται στόν χῶρο τόν πνευματικό πού βρισκόταν ὁ ἀββᾶς Ἀντώνιος».

72. Ρώτησαν κάποιον Γέροντα πῶς θά μποροῦσε ἕνας ἀγωνιστής μοναχός νά μή σκανδαλιστεῖ, ἐάν δεῖ κάποιους νά ἐπιστρέφουν στόν κόσμο. Κι ὁ Γέροντας εἶπε: «Δέν ἔχει παρά νά παρατηρήσει τά σκυλιά πού κυνηγοῦν τούς λαγούς. Τό ἕνα ἀπ' αὐτά πού ἔχει δεῖ τόν λαγό, τόν παίρνει ἀπό πίσω, ἐνῶ τά ἄλλα κοιτοῦν μόνο τό σκυλί πού κυνηγάει τόν λαγό. Βέβαια μέχρι ἑνός σημείου τρέχουν μαζί του· ἀλλά ὕστερα γυρίζουν πίσω καί μονάχο τό σκυλί πού ἔχει

ρακῶς ἐπιδιώκει, ἕως οὗ φθάσῃ μὴ ἐμποδισθεὶς ἐν τῷ σκοπῷ τοῦ δρόμου ὑπὸ τῶν ἀνακαμψάντων μήτε τῶν κρημνῶν καὶ ὑλῶν καὶ κέντρων φροντίζων ἀλλὰ καὶ ἀκάνθαις μεσάζων, πολλάκις δὲ καὶ ξεόμενος οὐ παύεται. Οὕτω καὶ ὁ τὸν Δεσπότην Χριστὸν ἐπιζητῶν, τῷ σταυρῷ ἀδιαλείπτως προσέχων, πάντα ὑπερβαίνει τὰ συναντῶντα σκάνδαλα, ἕως οὗ φθάσῃ τὸν σταυρωθέντα.

73. Εἶπε Γέρων· Ὥσπερ δένδρον καρποφορῆσαι ἀδύνατον συνεχῶς μεταφυτευόμενον, οὕτως οὐδὲ μοναχὸς μεταβαίνων ἀπὸ τόπου εἰς τόπον ἀρετὴν ἐπιτελέσαι δύναται.

74. Ἀδελφὸς ὀχλούμενος ὑπὸ λογισμῶν ὥστε ἐξελθεῖν ἐκ τῆς μονῆς, ἀνήγγειλε τῷ ἀββᾷ· ὁ δὲ λέγει πρὸς αὐτόν· Ὕπαγε, κάθου εἰς τὸ κελλίον σου καὶ παράσχου ἐνέχυρον τῷ τοίχῳ τῆς κέλλης σου τὸ σῶμα καὶ μὴ ἐξέλθῃς ἐκεῖθεν. Ἄφες τὸν λογισμὸν λογίσασθαι ὃ βούλεται· μόνον μὴ ἐκβάλῃς ἐκ τῆς κέλλης τὸ σῶμα.

75. Εἶπε Γέρων· Ἡ κέλλα τοῦ μοναχοῦ ἐστιν ἡ κάμινος Βαβυλῶνος, ὅπου οἱ τρεῖς παῖδες τὸν Υἱὸν τοῦ Θεοῦ εὗρον καὶ ὁ στύλος τῆς νεφέλης, ὅθεν ὁ Θεὸς τῷ Μωυσῇ ἐλάλησεν.

76. Ἀδελφὸς ἔμεινεν ἐννέα ἔτη πολεμούμενος ἐξελθεῖν ἀπὸ κοινοβίου. Καὶ καθ' ἡμέραν ἡτοίμαζε τὸ μηλωτάριον αὐτοῦ, ἵνα ἐξέλθῃ· καὶ ὡς ἐγίνετο ὀψέ, ἔλεγεν ἐν ἑαυτῷ·

75. Δαν. 3.

76. Ἐξ. 33, 9.

δεῖ τόν λαγό τόν κυνηγάει, ὥσπου νά τόν φτάσει, χωρίς νά ἐπηρεασθεῖ ἀπό τά σκυλιά πού γύρισαν πίσω. Δέν νιάζεται οὔτε γιά γκρεμούς οὔτε γιά ἀγκαθωτούς θάμνους, ἀλλά κι ἄν ἀκόμη βρεθεῖ μέσα σέ ἀγκάθια καί πολλές φορές ξεσχίζεται ἀπ' αὐτά, δέν τά παρατάει.

Ἔτσι καί ἐκεῖνος πού ἀναζητεῖ τόν Δεσπότη του Χριστό μέ τήν προσοχή στραμμένη ἀδιάλειπτα στό σταυρό, ξεπερνᾶ ὅλα τά ἐμπόδια πού συναντᾶ, μέχρις ὅτου φθάσει τόν Ἐσταυρωμένο».

73. Εἶπε ἕνας Γέροντας: «Ὅπως ἕνα δέντρο πού συνεχῶς μεταφυτεύεται, εἶναι ἀδύνατο νά φέρει καρπό, τό ἴδιο καί ὁ μοναχός πού πηγαίνει ἀπό τόπο σέ τόπο δέν μπορεῖ νά ἀποκτήσει ἀρετή».

74. Κάποιος ἀδελφός πού ἐνοχλοῦνταν ἀπό λογισμούς γιά νά φύγει ἀπό τή μονή, τό ἀνέφερε στόν ἀββᾶ. Κι ἐκεῖνος τοῦ λέει: «Πήγαινε, κάθισε στό κελί σου καί δῶσε στούς τοίχους τοῦ κελιοῦ τό σῶμα σου γιά ἐνέχυρο καί μή βγεῖς ἀπ' ἐκεῖ. Ἄσε τόν λογισμό νά σκέπτεται αὐτό πού θέλει· ἀρκεῖ νά μή βγάλεις τό σῶμα σου ἀπ' τό κελί».

75. Εἶπε ἕνας Γέροντας: «Τό κελί τοῦ μοναχοῦ εἶναι τό καμίνι τῆς Βαβυλώνας[75], ὅπου οἱ τρεῖς παῖδες βρῆκαν τόν Υἱό τοῦ Θεοῦ· εἶναι ἐπίσης ὁ στύλος τῆς νεφέλης ἀπ' ὅπου ὁ Θεός μίλησε στόν Μωυσῆ[76]».

76. Ἕνας ἀδελφός πέρασε ἐννιά χρόνια μέ τόν πειρασμό νά φύγει ἀπό τό κοινόβιο. Καί κάθε μέρα ἑτοίμαζε τή μηλωτή του[77] γιά νά φύγει. Ἀλλά ὅταν ἄρχιζε νά σκοτει-

77. Βλ. ΣΤ 26 ὑποσημ. 9 σελ. 258.

Αὔριον ἀναχωρῶ ἐκ τῶν ὧδε. Καὶ πρωίας ἔλεγε τῷ λογισμῷ· Βιασώμεθα ἑαυτοὺς καρτερῆσαι καὶ τὴν σήμερον διὰ τὸν Κύριον. Καὶ ὡς ἐπλήρωσεν ἐννέα ἔτη οὕτω ποιῶν, ἐκούφισεν ὁ Θεὸς πάντα πειρασμὸν ἀπ' αὐτοῦ καὶ ἀνεπάη.

77. Ἀδελφός τις ἐμπεσὼν εἰς πειρασμόν, ἀπὸ τῆς θλίψεως ἀπώλεσε τὸν μοναχικὸν κανόνα καὶ θέλων βαλεῖν ἀρχὴν διὰ τὴν θλῖψιν ἐνεποδίζετο λέγων ἐν ἑαυτῷ· Πότε ἔχω εὑρεῖν ἐμαυτόν, ὥσπερ ἤμην ποτέ; Καὶ ὀλιγωρῶν οὐκ ἴσχυεν ἄρξασθαι τοῦ μοναχικοῦ ἔργου. Ἐλθὼν δὲ πρός τινα Γέροντα, διηγήσατο αὐτῷ τὰ καθ' ἑαυτὸν καὶ ὁ Γέρων ἀκούσας τὰ τῆς θλίψεως αὐτοῦ, προσήνεγκεν αὐτῷ ὑπόδειγμα τοιοῦτον λέγων· Ἄνθρωπός τις εἶχε χωρίον καὶ ἐξ ἀμελείας αὐτοῦ ἐχερσώθη καὶ ἐπληρώθη θρύων καὶ ἀκανθῶν· ἔδοξε δὲ αὐτῷ ὕστερον φιλοκαλῆσαι αὐτό. Καὶ λέγει τῷ υἱῷ αὐτοῦ· Ὕπαγε, καθάρισον τὸ χωρίον· καὶ ἀπελθὼν ὁ υἱὸς αὐτοῦ καθαρίσαι αὐτὸ καὶ θεωρήσας τὸ πλῆθος τῶν θρύων καὶ τῶν ἀκανθῶν, ὠλιγώρησε λέγων ἐν ἑαυτῷ· Πότε ἔχω ὅλα ταῦτα ἀνασπάσαι καὶ καθαρίσαι τὰ ὧδε; Καὶ ἀναπεσὼν ἤρξατο κοιμᾶσθαι. Τοῦτο δὲ ἐποίησε ἐπὶ πολλὰς ἡμέρας. Μετὰ δὲ ταῦτα ἔρχεται ὁ πατὴρ αὐτοῦ ἰδεῖν τί ἐποίησε· καὶ εὗρεν αὐτὸν μηδὲν ἐργασάμενον. Καὶ εἶπεν αὐτῷ· Τί ὅτι ἕως τοῦ νῦν οὐδὲν εἰργάσω; Καὶ εἶπεν ὁ νεώτερος τῷ πατρὶ αὐτοῦ· Μόνον ὡς ἠρχόμην ἐργάσασθαι, πάτερ, βλέπων τὸ πλῆθος τῶν θρύων καὶ τῶν ἀκανθῶν, συνειχόμην καὶ ἀπὸ τῆς θλίψεως ἐτίθουν ἐμαυτὸν καὶ ἐκοιμώμην. Λέγει αὐτῷ ὁ πατὴρ αὐτοῦ· Τέκνον, ἴσον τοῦ πλάτους τοῦ στρώματός σου ποίει καθ' ἡμέραν. Καὶ οὕτω προκό-

νιάζει, μονολογοῦσε: «Αὔριο θά ἀναχωρήσω»· καί τό πρωί ἔλεγε: «Ἄς βιάσουμε τόν ἑαυτό μας νά κάνουμε ὑπομονή καί σήμερα γιά τόν Κύριο». Καί ὅταν συμπλήρωσε ἐννιά χρόνια μ' αὐτόν τόν τρόπο, ὁ Θεός τόν ἀνακούφισε ἀπό κάθε πειρασμό καί βρῆκε ἀνάπαυση.

77. Κάποιος ἀδελφός πού ἔπεσε σ' ἕναν πειρασμό, ἀπό τή μεγάλη του στενοχώρια ἔχασε τή σειρά τῆς μοναχικῆς του ζωῆς. Καί ἐνῶ ἤθελε νά βάλει ἀρχή, ἐμποδιζόταν ἐξαιτίας τῆς θλίψεως καί ἔλεγε μέσα του: «Πότε θά μπορέσω νά βρῶ τόν ἑαυτό μου, ὅπως ἤμουν κάποτε;» Λιποψυχοῦσε λοιπόν καί δέν εἶχε τό κουράγιο νά ἀρχίσει τή μοναχική ἐργασία.

Πῆγε τελικά σ' ἕναν Γέροντα καί τοῦ ἐξέθεσε τήν κατάστασή του. Ὁ Γέροντας ἀφοῦ ἄκουσε τόν λόγο τῆς θλίψεώς του, τοῦ ἔφερε τό παρακάτω παράδειγμα: «Κάποιος εἶχε ἕνα χωράφι καί ἀπό τήν ἀμέλειά του κατάντησε ξερό καί ἄγονο, γεμάτο βοῦρλα καί ἀγκάθια. Μετά ἀπό καιρό πῆρε τήν ἀπόφαση νά τό περιποιηθεῖ καί λέει στόν γιό του: Πήγαινε καί καθάρισε τό χωράφι. Πράγματι ὁ γιός πῆγε νά τό καθαρίσει, ἀλλά μόλις τό εἶδε γεμάτο ἀπό βοῦρλα καί ἀγκάθια, λιποψύχησε λέγοντας: Πότε θά μπορέσω ὅλα αὐτά νά τά ξεριζώσω καί νά καθαρίσω τόν τόπο; Ξάπλωσε λοιπόν καί τόν πῆρε ὁ ὕπνος. Τό ἴδιο ἔκανε πολλές μέρες. Κάποτε πῆγε ὁ πατέρας του νά δεῖ τί ἔκανε, καί διαπίστωσε ὅτι δέν ἔκανε τίποτε. Τόν ρώτησε: Γιά ποιόν λόγο τόσες μέρες δέν δούλεψες καθόλου; Καί ὁ νεαρός εἶπε στόν πατέρα του: Καί μόνο πού ἔκαμνα ν' ἀρχίσω τή δουλειά, πατέρα, βλέποντας πόσα πολλά ἦταν τά χόρτα καί τά ἀγκάθια, μ' ἔπιανε κατάθλιψη καί ἀπό τή στενοχώρια μου ἔπεφτα καί κοιμόμουν. Τοῦ λέει τότε ὁ πατέρας του: Παιδί μου, κάνε κάθε μέρα ὅση εἶναι ἡ ἐπιφάνεια ἀπό τό στρῶμα σου. Μ'

πτει τὸ ἔργον σου, καὶ οὐκ ὀλιγωρεῖς. Ὁ δὲ ἀκούσας ἐποίησεν οὕτω καὶ ἐν ὀλίγῳ χρόνῳ ἐκαθαρίσθη τὸ χωρίον.

Οὕτως οὖν καὶ σύ, ἀδελφέ, κατ᾽ ὀλίγον ἐργάζου καὶ οὐκ ὀλιγωρεῖς. Καὶ ὁ Θεὸς τῇ χάριτι αὐτοῦ πάλιν ἀποκαθιστᾷ σε εἰς τὴν ἀρχαίαν σου τάξιν. Ὁ δὲ ἀδελφὸς ἀπελθὼν καὶ καθίσας μεθ᾽ ὑπομονῆς, ἐποίει ὡς ἐδιδάχθη ὑπὸ τοῦ Γέροντος καὶ εὗρεν ἀνάπαυσιν χάριτι Χριστοῦ.

78. Γέρων τις ἦν καὶ συνεχῶς ἐκακοῦτο καὶ ἠσθένει· συνέβη δὲ ἕνα ἐνιαυτὸν μὴ κακωθῆναι· καὶ ἐδυσφόρει δεινῶς καὶ ἔκλαιε λέγων· Ἐγκατέλιπέ με ὁ Θεὸς καὶ οὐκ ἐπεσκέψατό με.

79. Εἶπε Γέρων ὅτι ἀδελφός τις ἐπειράζετο ὑπὸ λογισμῶν δεινῶς ἐπὶ ἔτη ἐννέα, ὥστε αὐτὸν ἀπολέγεσθαι τὴν σωτηρίαν ἑαυτοῦ. Καὶ ἀπὸ εὐλαβείας κατέκρινεν ἑαυτὸν λέγων· Ἀπώλεσά μου τὴν ψυχήν· ὑπάγω εἰς τὸν κόσμον, παρ᾽ ὃ ἀπωλόμην. Ἀπερχομένου δὲ αὐτοῦ, ἦλθεν αὐτῷ φωνὴ κατὰ τὴν ὁδὸν λέγουσα· Ταῦτα τὰ ἐννέα ἔτη, ἃ ἐπειράσθης, στέφανοί σου ἦσαν· ἐπίστρεψον εἰς τὸν τόπον σου καὶ κουφίζω σε ἀπὸ τῶν λογισμῶν.

Βλέπεις ὅτι οὐκ ἔστι καλὸν ἀπελπίζειν τινὰ ἑαυτοῦ διὰ τοὺς λογισμούς; Μᾶλλον δὲ οὗτοι στεφάνους ἡμῖν προξενοῦσιν, ἐὰν αὐτοὺς καλῶς διεξερχώμεθα.

80. Γέρων τις ἦν ἐν Θηβαΐδι καθήμενος ἐν σπηλαίῳ· καὶ εἶχε μαθητὴν δόκιμον· ἔθος δὲ ἦν καθ᾽ ἑσπέραν τῷ Γέ-

αὐτόν τόν τρόπο θά προχωρεῖ ἡ ἐργασία σου καί δέν θά χάνεις τό κουράγιο σου. Τό παιδί ἄκουσε καί ἔκανε ὅπως τοῦ εἶπε ὁ πατέρας του, καί μέσα σέ λίγο χρονικό διάστημα, καθαρίστηκε τό χωράφι.

Ἔτσι λοιπόν, ἀδελφέ, νά ἐργάζεσαι καί ἐσύ λίγο-λίγο μέ ὑπομονή καί δέν θά ἀμελεῖς. Καί ὁ Θεός μέ τή χάρη του θά σέ ἀποκαταστήσει στήν τάξη πού εἶχες παλιά». Ὁ ἀδελφός ἔφυγε καί ἄρχισε τήν μοναχική του ζωή μέ ὑπομονή, κάνοντας ὅπως τοῦ δίδαξε ὁ Γέροντας. Ἔτσι μέ τή χάρη τοῦ Θεοῦ, βρῆκε τήν ἀνάπαυσή του».

78. Ἦταν ἕνας Γέροντας πού ὅλο τόν καιρό ὑπέφερε ἀπό ἀρρώστιες. Συνέβη ὅμως στή διάρκεια ἑνός ἔτους νά μήν ἀρρωστήσει. Αὐτό τόν ἔκανε νά νιώθει πολύ ἄσχημα καί κλαίγοντας ἔλεγε: «Μέ ἐγκατέλειψε ὁ Θεός καί δέν μέ ἐπισκέφθηκε».

79. Εἶπε ἕνας Γέροντας ὅτι κάποιος ἀδελφός ὑπέφερε ἀπό λογισμούς ἐπί ἐννιά χρόνια τόσο πολύ, ὥστε ἀπελπίσθηκε γιά τή σωτηρία του. Καί ἀπό εὐαισθησία κατεδίκασε τόν ἑαυτό του καί εἶπε: «Ἔχασα τήν ψυχή μου. Θά γυρίσω στόν κόσμο, ἀφοῦ εἶμαι χαμένος». Καί καθώς πῆρε τόν δρόμο τῆς ἐπιστροφῆς, ἐκεῖ πού βάδιζε τοῦ ἦρθε μιά φωνή πού ἔλεγε: «Αὐτά τά ἐννιά χρόνια πού ὑπέμεινες τόν πειρασμό, εἶναι στεφάνια σου. Γύρισε στόν τόπο σου καί θά σέ ἀνακουφίσω ἀπό τούς λογισμούς».

Βλέπεις ὅτι δέν εἶναι σωστό νά ἀπελπίζεται κανείς γιά τή σωτηρία του ἐξαιτίας τῶν λογισμῶν; Μᾶλλον αὐτοί μᾶς προξενοῦν στεφάνια, ἐάν σωστά τούς ἀντιμετωπίζουμε.

80. Ἦταν ἕνας Γέροντας στή Θηβαΐδα πού ἔμενε σ᾽ ἕνα σπήλαιο καί εἶχε ἕναν ὑποτακτικό μαθητευόμενο. Συ-

ροντι παραινεῖν αὐτῷ τὰ πρὸς ὠφέλειαν· καὶ μετὰ τὴν παραίνεσιν, ἐποίει εὐχὴν καὶ ἀπέλυεν αὐτὸν κοιμηθῆναι. Συνέβη δέ ποτε κοσμικούς τινας εὐλαβεῖς εἰδότας τὴν πολλὴν ἄσκησιν τοῦ Γέροντος παραβαλεῖν καὶ ποιῆσαι αὐτοῖς παράκλησιν· καὶ μετὰ τὸ ἀπελθεῖν αὐτούς, ἐκάθησε πάλιν ὁ Γέρων τῇ ἑσπέρᾳ κατὰ τὸ ἔθος νουθετῶν τὸν ἀδελφὸν καὶ ὁμιλῶν αὐτῷ κατηνέχθη εἰς ὕπνον. Ὁ δὲ ἀδελφὸς παρέμενεν, ἕως οὗ ὁ Γέρων ἐξυπνισθῇ καὶ ποιήσῃ αὐτῷ τὴν εὐχήν. Ἐπὶ πολὺ οὖν καθεζόμενος μὴ ἐξυπνιζομένου τοῦ Γέροντος, ὠχλήθη ὑπὸ τῶν λογισμῶν ἀπελθεῖν κοιμηθῆναι ἐκτὸς ἀπολύσεως· καὶ βιασάμενος ἑαυτόν, ἀντέστη τῷ λογισμῷ καὶ ἔμεινε· πάλιν δὲ ὠχλήθη καὶ οὐκ ἀπῆλθεν· ὡσαύτως δὲ ἕως ἑπτάκις ὀχληθείς, ἀντέστη τῷ λογισμῷ. Μετὰ δὲ ταῦτα τῆς νυκτὸς προκοψάσης, διϋπνίσθη ὁ Γέρων καὶ εὗρεν αὐτὸν παρακαθήμενον καὶ λέγει αὐτῷ· Οὐκ ἀνεχώρησας ἕως ἄρτι; Ὁ δὲ εἶπεν· Οὐχί· οὐ γὰρ ἀπέλυσάς με, ἀββᾶ. Ὁ δὲ Γέρων εἶπε· Καὶ διατί οὐκ ἐξύπνισάς με; Ὁ δέ φησιν· Οὐκ ἐτόλμησά σε νύξαι, ἵνα μὴ σε παραλύσω.

Ἀναστάντες δὲ ἔβαλον τὰ ὀρθρινά. Καὶ μετὰ τὴν σύναξιν, ἀπέλυσε ὁ Γέρων τὸν ἀδελφόν. Καὶ ἐκάθητο καθ' ἑαυτόν. Γίνεται οὖν ἐν ἐκστάσει· καὶ ἰδού τις δεικνύων αὐτῷ τόπον ἔνδοξον καὶ θρόνον ἐν αὐτῷ· καὶ ἐπάνω τοῦ θρόνου ἑπτὰ στεφάνους. Ἠρώτα δὲ τὸν δεικνύοντα αὐτῷ λέγων· Τίνος ταῦτα; Ὁ δὲ εἶπεν αὐτῷ· Τοῦ μαθητοῦ σου· καὶ τὸν μὲν τόπον καὶ τὸν θρόνον ἐχαρίσατο αὐτῷ ὁ Θεὸς διὰ τὴν ὑπακοὴν αὐτοῦ· τοὺς δὲ ἑπτὰ στεφάνους ἐν τῇ νυκτὶ ταύτῃ ἔλαβε. Τοῦτο δὲ ἀκούσας ὁ Γέρων ἐθαύμασεν καὶ

νήθιζε ὁ Γέροντας κάθε βράδυ νά τοῦ δίνει ὠφέλιμες συμβουλές καί μετά ἀπό τή νουθεσία, ἔκανε προσευχή καί τόν ἔστελνε νά κοιμηθεῖ.

Κάποτε συνέβη μερικοί εὐλαβεῖς λαϊκοί, ἐπειδή γνώριζαν τή μεγάλη ἄσκηση τοῦ Γέροντα, νά τούς ἐπισκεφθοῦν καί νά προσφέρουν σ' αὐτούς κάποιο φαγητό νά φᾶνε. Ἀφοῦ ἔφυγαν αὐτοί, κάθισε πάλι ὁ Γέροντας τό βραδάκι, ὅπως τό συνήθιζε, καί νουθετοῦσε τόν ἀδελφό. Τήν ὥρα ὅμως πού τοῦ μιλοῦσε, τόν πῆρε ὁ ὕπνος. Καί ὁ ἀδελφός ἔμεινε κοντά του, ἕως ὅτου ξυπνήσει καί τοῦ κάνει τήν εὐχή. Καθώς λοιπόν καθόταν πολλή ὥρα καί ὁ Γέροντας δέν ξυπνοῦσε, ἐνοχλήθηκε ἀπό τούς λογισμούς του νά πάει νά κοιμηθεῖ χωρίς νά τοῦ κάνει τήν ἀπόλυση. Ἀλλά βίασε τόν ἑαυτό του καί ἀντιστάθηκε στόν λογισμό καί παρέμεινε. Πάλι ὅμως ἐνοχλήθηκε καί δέν ἔφυγε. Κατά τόν ἴδιο τρόπο ἐνοχλήθηκε ἑπτά φορές καί ἀντιστάθηκε στόν λογισμό. Ἀργότερα, ἀφοῦ εἶχε προχωρήσει ἡ νύκτα, ξύπνησε ὁ Γέροντας καί τόν βρῆκε νά κάθεται δίπλα του καί τοῦ λέει: «Δέν ἔφυγες μέχρι αὐτή τήν ὥρα;» Κι ἐκεῖνος εἶπε: «Ὄχι, ἀββᾶ, γιατί δέν μοῦ 'κανες ἀπόλυση». «Καί γιατί —τόν ρωτάει ὁ Γέροντας— δέν μέ ξύπνησες;» «Δέν τόλμησα —απαντᾶ ὁ μαθητής— νά σέ σκουντήσω γιά νά μή σοῦ διακόψω τόν ὕπνο».

Σηκώθηκαν εὐθύς, ἄρχισαν τόν ὄρθρο καί ὅταν τελείωσε ἡ ἀκολουθία, ἀπέλυσε τόν ἀδελφό ὁ Γέροντας. Καί τήν ὥρα πού καθόταν μόνος, ἦρθε σέ ἔκσταση καί βλέπει κάποιον νά τοῦ δείχνει ἕναν τόπο λαμπρό στόν ὁποῖο ὑπῆρχε ἕνας θρόνος καί ἐπάνω στόν θρόνο ἦταν τοποθετημένα ἑπτά στεφάνια. Καί ρώτησε αὐτόν πού τοῦ τά ἔδειχνε: «Τίνος εἶναι αὐτά;» Κι ἐκεῖνος εἶπε: «Τοῦ μαθητῆ σου. Τόν τόπο καί τόν θρόνο τοῦ τά χάρισε ὁ Θεός γιά τήν ὑπακοή του. Καί τά ἑπτά στεφάνια τά κέρδισε αὐτή τή νύκτα».

γενόμενος ἔμφοβος καλεῖ τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ· Εἰπέ μοι, τί ἐποίησας τὴν νύκτα ταύτην; Ὁ δέ εἶπε· Συγχώρησόν μοι, ἀββᾶ, ὅτι οὐδὲν ἐποίησα. Ὁ δὲ Γέρων νομίσας ὅτι ταπεινοφρονῶν οὐχ ὁμολογεῖ, εἶπεν αὐτῷ· Οὐ παραχωρῶ σοι, εἰ μὴ εἴπῃς μοι τί ἐποίησας ἢ τί ἐνεθυμήθης τῇ νυκτὶ ταύτῃ. Ὁ δὲ ἀδελφὸς μηδὲν ἑαυτῷ συνειδὼς πεπραχέναι, ἠπόρει εἰπεῖν. Λέγει δὲ τῷ πατρί· Ἀββᾶ, οὐδὲν ἐποίησα, εἰ μὴ μόνον τοῦτο, ὅτι ὀχληθεὶς ὑπὸ τῶν λογισμῶν ἑπτάκις ἀναχωρῆσαι χωρὶς τῆς σῆς ἀπολύσεως, οὐκ ἀπῆλθον.

Ἀκούσας δὲ τοῦτο ὁ Γέρων, ἐννόησεν ὅτι ὁσάκις ἀντεμαχήσατο τῷ λογισμῷ, ἐστεφανοῦτο ὑπὸ τοῦ Θεοῦ. Καὶ τῷ μὲν ἀδελφῷ οὐδὲν ἐλάλησεν· ὠφελείας δὲ χάριν διηγήσατο ταῦτα ἀνδράσι πνευματικοῖς, ἵνα μάθωμεν ὅτι μικρῶν ἐνθυμήσεων στεφάνους ἡμῖν ὁ Θεὸς χαρίζεται. Καλὸν οὖν τὸ διάζεσθαι ἑαυτὸν ἐν παντὶ διὰ τὸν Θεόν· διαστὴ γάρ ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν καὶ διασταὶ ἁρπάζουσιν αὐτήν.

81. Ἠσθένησέ τις Γέρων ποτὲ εἰς τὰ Κελλία καθεζόμενος κατὰ μόνας. Καὶ μὴ ἔχων τὸν ὑπηρετοῦντα αὐτῷ, ἀνιστάμενος εἴ τι εὕρισκεν ἐν τῷ κελλίῳ ἤσθιε μετ᾽ εὐλαβείας. Μείναντος οὖν αὐτοῦ ἐπὶ πολλὰς ἡμέρας οὐδεὶς ἤρχετο εἰς ἐπίσκεψιν αὐτοῦ. Πληρωθεισῶν δὲ ἡμερῶν τριάκοντα καὶ μηδενὸς ἐλθόντος πρὸς αὐτόν, ἀπέστειλεν ὁ Θεὸς ἄγγελον ὑπηρετεῖν αὐτῷ. Καὶ ὡς ἔμεινεν ἡμέρας ἑπτά, ἐμνήσθησαν οἱ Πατέρες τοῦ Γέροντος καὶ εἶπον πρὸς ἀλλήλους· Μήπως ἀπέθανεν ὁ δεῖνα Γέρων; Ὡς οὖν ἦλθον καὶ ἔκρουσαν, ὑπεχώρησεν ὁ

78. Ματθ. 11, 12.

Ἀπόρησε ὁ Γέροντας γι᾽ αὐτό πού ἄκουσε καί γεμάτος ἀπό δέος καλεῖ τόν ἀδελφό καί τοῦ λέει: «Πές μου, τί ἔκανες τή νύκτα αὐτή;» «Συγχώρα με, ἀββᾶ —ἀπάντησε ἐκεῖνος— δέν ἔκανα τίποτε». Ὁ Γέροντας νομίζοντας ὅτι ἀπό ταπεινοφροσύνη δέν ὁμολογεῖ, τοῦ εἶπε: «Δέν θά σ᾽ἀφήσω νά φύγεις, ἐάν δέν μοῦ πεῖς τί ἔκανες ἤ τί σκέφτηκες τή νύκτα αὐτή». Ἀλλά ὁ ἀδελφός ἐπειδή γνώριζε καλά ὅτι τίποτε δέν ἔχει κάνει, δέν εἶχε τί νά πεῖ. Καί λέει στόν πατέρα: «Ἀββᾶ, δέν ἔκανα τίποτε, παρά μόνο ὅτι ἐνοχλήθηκα ἀπό λογισμούς ἑπτά φορές νά φύγω χωρίς νά μοῦ κάνεις τήν ἀπόλυση, ἀλλά δέν ἔφυγα».

Ὅταν τ᾽ ἄκουσε αὐτό ὁ Γέροντας, κατάλαβε ὅτι κάθε φορά πού πάλευε καί νικοῦσε τόν λογισμό του, κέρδιζε ἕνα στεφάνι ἀπό τόν Θεό. Στόν ἀδελφό βέβαια δέν εἶπε τίποτε, ἀλλά τά διηγήθηκε αὐτά σέ ἀνθρώπους πνευματικούς χάριν ὠφελείας, γιά νά γνωρίζουμε ὅτι καί γιά λογισμούς πού δέν ἔχουν ἰδιαίτερη σπουδαιότητα ὁ Θεός μᾶς στεφανώνει. Καλό λοιπόν εἶναι νά διάζουμε πάντοτε τόν ἑαυτό μας ἀπό ἀγάπη γιά τόν Θεό. Γιατί ἡ Βασιλεία τῶν Οὐρανῶν διάζεται καί τήν ἁρπάζουν αὐτοί πού ἀγωνίζονται[78].

81. Κάποτε ἕνας Γέροντας πού ἔμενε στά Κελλία μόνος, ἀρρώστησε. Καί ἐπειδή δέν εἶχε κανέναν νά τόν ἐξυπηρετεῖ, σηκωνόταν καί ὅ,τι ἔβρισκε στό κελί του τό ἔτρωγε μέ διάκριση. Ἔμεινε ἄρρωστος πολλές μέρες καί κανείς δέν ἦρθε νά τόν ἐπισκεφθεῖ. Ὅταν πέρασαν τριάντα μέρες καί κανείς δέν εἶχε ἔρθει, ἔστειλε ὁ Θεός ἕναν ἄγγελο νά τόν ὑπηρετεῖ.

Ἔμεινε ἐκεῖ ὁ ἄγγελος ἑπτά μέρες καί τότε θυμήθηκαν οἱ Πατέρες τόν Γέροντα καί εἶπαν μεταξύ τους: «Μήπως πέθανε ὁ τάδε Γέροντας;» Πῆγαν πράγματι καί μόλις χτύπησαν τήν πόρτα, ἔφυγε ὁ ἄγγελος. Ὁ Γέροντας φώναζε

ἄγγελος. Ὁ δὲ Γέρων ἔκραζεν ἔσωθεν· Ὑπάγετε ἐντεῦθεν, ἀδελφοί. Καταβαλόντες δὲ τὴν θύραν, εἰσῆλθον καὶ ἠρώτων αὐτὸν διὰ τί ἔκραζεν. Ὁ δὲ εἶπεν αὐτοῖς ὅτι· Τριάκοντα ἡμέρας εἶχον κοπιῶν καὶ οὐδεὶς ἐπεσκέψατό μοι· καὶ ἰδοὺ ἑπτὰ ἡμέραι εἰσίν, ἐξ οὗ ἀπέστειλεν ὁ Θεὸς ἄγγελον ὑπηρετεῖν μοι· καὶ ὡς ἤλθετε, ἀπέστη ἀπ' ἐμοῦ. Καὶ ταῦτα εἰπὼν ἐκοιμήθη. Οἱ δὲ ἀδελφοὶ θαυμάσαντες ἐδόξασαν τὸν Θεὸν ὅτι οὐκ ἐγκαταλιμπάνει τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.

82. Εἶπε Γέρων· Ἐὰν φθάσῃ ἀρρωστία σώματος, μὴ ὀλιγώρει. Εἰ γὰρ θέλησεν ὁ Δεσπότης σου κακοῦσθαι τῷ σώματι, σὺ τίς εἶ ὁ δυσχεραίνων; Οὐκ αὐτός σου φροντίζει ἐν πᾶσι; Μὴ πάρεξ αὐτοῦ ζῇς; Ἀνεξικάκει οὖν καὶ παρακάλει αὐτὸν παρασχεῖν σοι τὰ συμφέροντα· τουτέστι τὸ θέλημα αὐτοῦ. Κάθου μετὰ μακροθυμίας, φάγε ἀγάπην.

83. Μοναχὸς ἐν πᾶσιν ἀγωνιζόμενος κατὰ τοῦ Σατανᾶ, ἐξεκόπη τοὺς ὀφθαλμοὺς ὑπ' αὐτοῦ. Καὶ οὐκ ηὔξατο ἀναβλέψαι, ἀλλ' ὑπομονὴν ἔχειν· καὶ διὰ τὴν ὑπομονὴν αὐτοῦ ἐχαρίσατο αὐτῷ ὁ Θεὸς τὴν ὅρασιν καὶ ἀνέβλεψε.

84. Διηγήσατό τις τῶν Πατέρων λέγων ὅτι· Ὄντος μου ἐν Ὀξυρρύγχῳ, ἦλθον ἐκεῖ πτωχοὶ ἐν Σαββάτῳ ὀψέ, ἵνα λάβωσιν ἀγάπην. Καὶ κοιμωμένων αὐτῶν, ἦν ἐκεῖ εἷς ἔχων ψιάθιον μόνον, τὸ ἥμισυ ὑποκάτω καὶ τὸ ἥμισυ ἐπάνω αὐ-

79. Ὀξύρρυγχος: Ἀρχαία πόλη στό δυτικό ἄκρο τῆς κοιλάδας τοῦ Νείλου, γνωστή ἀπό τούς πολυάριθμους παπύρους πού βρέθηκαν τέλη τοῦ 19ου

δυνατά ἀπό μέσα: «Φύγετε ἀπ' ἐδῶ, ἀδελφοί». Ἀλλά παραβίασαν τήν πόρτα καί μπῆκαν καί τόν ρώτησαν γιατί φώναζε. Κι ἐκεῖνος τούς εἶπε: «Τριάντα μέρες ἤμουν ἄρρωστος καί κανείς δέν ἦρθε νά μέ δεῖ. Καί νά, ἐδῶ καί ἑπτά μέρες ἔστειλε ὁ Θεός τόν ἄγγελό του νά μέ ὑπηρετεῖ. Καί μόλις ἤλθατε, ἔφυγε ἀπό κοντά μου». Μετά τό λόγο αὐτό, ἐκοιμήθη. Καί οἱ ἀδελφοί θαύμασαν καί δόξασαν τόν Θεό, πού δέν ἐγκαταλείπει αὐτούς πού ἐλπίζουν σ' Αὐτόν.

82. Εἶπε ἕνας Γέροντας: «Ἐάν σέ βρεῖ ἀρρώστια σωματική, μή χάνεις τό θάρρος σου. Γιατί ἄν θέλησε ὁ Κύριός σου νά ὑποφέρεις στό σῶμα, ποιός εἶσαι σύ πού θά δυσφορήσεις; Αὐτός δέν σέ φροντίζει γιά ὅλα; Μήπως ζεῖς ἐν τῇ ἀπουσίᾳ του; Νά εἶσαι καρτερικός λοιπόν καί νά τόν παρακαλεῖς νά σοῦ δίνει αὐτά πού σοῦ συμφέρουν, δηλαδή νά γίνεται τό θέλημά του. Νά ζεῖς μέ καρτερία καί νά τρέφεσαι ἀπό ἐλεημοσύνη (ὅσο εἶσαι ἄρρωστος)».

83. Κάποιος μοναχός πού πάντοτε ἀγωνιζόταν ἐναντίον τοῦ Σατανᾶ, τυφλώθηκε ἀπ' αὐτόν. Καί δέν προσευχήθηκε νά ξαναβρεῖ τό φῶς του ἀλλά νά ἔχει ὑπομονή. Καί γιά τήν ὑπομονή του, τοῦ χάρισε ὁ Θεός τήν ὅραση καί ξαναβρῆκε τό φῶς του.

84. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες τό ἑξῆς: «Ὅταν ἤμουν στήν Ὀξύρρυγχο[79], ἦλθαν ἐκεῖ κάποιο Σάββατο ἀργά, φτωχοί γιά νά πάρουν ἐλεημοσύνη.

Κι ὅταν ἔπεσαν νά κοιμηθοῦν στό ὕπαιθρο, ἦταν ἐκεῖ ἕνας πού εἶχε ἕνα ψαθί μόνο καί ἔβαλε τό μισό ἀπό κάτω

καί ἀρχές τοῦ 20οῦ αἰ. Στή θέση τῆς ἀρχαίας πόλης βρίσκεται σήμερα τό χωριό ἀλ-Μπάχνασα.

τοῦ· ἦν δὲ ψύχρα πολλή. Καὶ ἐξελθὼν πρὸς ὕδωρ, ἤκουσα αὐτοῦ ὀδυνωμένου ὑπὸ τοῦ πολλοῦ ψύχους καὶ παρεκάλει ἑαυτὸν λέγων· Εὐχαριστῶ σοι, Κύριε. Πόσοι εἰσὶν ἄρτι ἐν τῇ φυλακῇ πλούσιοι σιδηροφοροῦντες· ἄλλοι δὲ τοὺς πόδας ἠσφαλισμένοι εἰς ξύλον, μηδὲ τὸ ὕδωρ αὐτῶν δυνάμενοι ποιῆσαι· ἐγὼ δὲ ὡς βασιλεύς εἰμι ἐκτείνων τοὺς πόδας μου καὶ ὅπου θέλω πορεύομαι.

Καὶ ταῦτα αὐτοῦ λέγοντος ἔστην ἀκροώμενος. Εἰσελθὼν δὲ διηγησάμην ταῦτα τοῖς ἀδελφοῖς καὶ ὠφελήθησαν.

85. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Ἐὰν ἔλθῃ μοι θλῖψις καὶ μὴ ἔχω εἴς τινα πληροφορίαν τοῦ ἀναγγεῖλαι, τί ποιήσω; Καὶ λέγει ὁ Γέρων· Πιστεύω τῷ Θεῷ ὅτι πέμπει τὴν χάριν αὐτοῦ καὶ βοηθεῖ σοι, ἐὰν ἐν ἀληθείᾳ δεηθῇς· ἤκουσα γὰρ ὅτι γέγονεν ἐν Σκήτει πρᾶγμα τοιοῦτον. Ἦν τις ἀγωνιστὴς καὶ μὴ ἔχων πληροφορίαν πρός τινα ἀπελθεῖν, ἡτοίμασεν ἀπὸ ὀψὲ τὸ μηλωτάριον αὐτοῦ ἀναχωρῆσαι. Καὶ ἰδοὺ τῇ νυκτὶ ἐκείνῃ ἐφάνη αὐτῷ ἡ χάρις τοῦ Θεοῦ ὡς παρθένος· καὶ παρεκάλεσεν αὐτὸν λέγουσα· Μηδαμοῦ ἀπέλθῃς, ἀλλὰ κάθου ὧδε μετ' ἐμοῦ· οὐδὲν γὰρ γέγονεν κακὸν ὧν ἤκουσας. Πεισθεὶς δὲ ἐκάθησε καὶ εὐθέως ἐθεραπεύθη αὐτοῦ ἡ καρδία.

86. Γέρων τις ἀπῄει πωλῆσαι τὰ μαλάκια αὐτοῦ· τούτῳ δαίμων ἀπαντήσας ἄφαντα αὐτὰ πεποίηκεν· ὁ δὲ Γέρων ἐτράπη εἰς εὐχὴν καὶ ἔλεγεν· Εὐχαριστῶ σοι, ὁ Θεός, ὅτι

80. Βλ. Ζ 11 ὑποσημ. 8 σελ. 298.

καί τό ἄλλο μισό ἀπό πάνω του. Καί ἔκανε πολλή ψύχρα. Ὅταν ἀργότερα βγῆκα γιά σωματική ἀνάγκη, ἀντιλήφθηκα ὅτι ὑπέφερε ἀπό τό πολύ κρύο καί παρηγοροῦσε τόν ἑαυτό του λέγοντας: Σ' εὐχαριστῶ, Κύριε. Πόσοι πλούσιοι αὐτή τήν ὥρα εἶναι στή φυλακή μέ τά σίδερα δεμένοι, κι ἄλλοι πού τά πόδια τους εἶναι ἀσφαλισμένα στό τιμωρητικό ξύλο[80] καί οὔτε τήν σωματική τους ἀνάγκη δέν μποροῦν νά κάνουν. Ἐνῶ ἐγώ εἶμαι βασιλιάς, ἁπλώνω τά πόδια μου καί πηγαίνω ὅπου θέλω.

Καθώς τά 'λεγε αὐτά, στάθηκα καί τά ἄκουα. Καί ὅταν μπῆκα μέσα τά διηγήθηκα στούς ἀδελφούς καί ὠφελήθηκαν».

85. Κάποιος ἀδελφός ρώτησε ἕνα Γέροντα: «Ἐάν μέ βρεῖ μιά στενοχώρια μεγάλη καί δέν ἔχω ἐμπιστοσύνη σέ κάποιον νά τό ἀναφέρω, τί νά κάνω;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἔχω πεποίθηση στόν Θεό ὅτι θά στείλει τή χάρη του καί θά σέ βοηθήσει, ἐάν εἰλικρινά τόν παρακαλέσεις. Ἔμαθα ὅτι στή Σκήτη ἔγινε κάτι τέτοιο. Ὑπῆρχε κάποιος ἀγωνιστής ἀδελφός κι ἐπειδή δέν εἶχε ἐμπιστοσύνη νά καταφύγει σέ κάποιον, ἑτοίμασε ἀποβραδίς τή μηλωτή του γιά νά φύγει. Καί νά, τήν ἴδια βραδιά παρουσιάστηκε ἡ χάρη τοῦ Θεοῦ σάν μιά παρθένος καί τόν παρεκάλεσε λέγοντας: Μήν πηγαίνεις πουθενά. Μεῖνε ἐδῶ μαζί μου. Γιατί κανένα κακό δέν ἔγινε ἀπ' ὅσα ἄκουσες νά λέγονται.

Ἔτσι πείσθηκε καί κάθισε καί εὐθύς θεραπεύτηκε ἡ καρδιά του».

86. Ἕνας Γέροντας καθώς πήγαινε νά πουλήσει τά καλαθάκια του, τόν συνάντησε ἕνας δαίμονας καί τοῦ τά ἐξαφάνισε. Καί ὁ Γέροντας κατέφυγε στήν προσευχή καί ἔλεγε: «Σ' εὐχαριστῶ, Θεέ μου, γιατί μέ ἀπάλλαξες ἀπό τόν

ἀπήλλαξάς με πειρασμοῦ. Ὁ δὲ δαίμων μὴ ὑπομείνας τὴν φιλοσοφίαν τοῦ Γέροντος ἔκραζε λέγων· Ἰδοὺ τὰ μαλάκιά σου, κακόγηρε. Ὁ δὲ Γέρων λαβὼν ἐπώλησεν αὐτά.

87. Ἔλεγέ τις τῶν Γερόντων περὶ Λαζάρου τοῦ πτωχοῦ ὅτι· Οὐχ εὑρίσκομεν αὐτὸν οὐδὲ μίαν ἀρετὴν ποιήσαντα· πλὴν εὑρίσκομεν αὐτὸν ὅτι οὐδέποτε κατὰ τοῦ Θεοῦ ἐγόγγυσεν ὡς μὴ ποιοῦντος μετ' αὐτοῦ ἔλεος, ἀλλὰ μετ' εὐχαριστίας τὸν πόνον αὐτοῦ ἐβάσταζε καὶ τὸν πλούσιον οὐ κατέκρινε, διὰ τοῦτο αὐτὸν ὁ Θεὸς προσελάβετο.

88. Εἶπέ τις τῶν Πατέρων· Εἰ μὴ σαλευθῇ τὸ δένδρον ὑπὸ ἀνέμων, οὔτε αὐξάνει οὔτε δίδωσι ῥίζας· οὕτω καὶ ὁ μοναχός· ἐὰν μὴ πειρασθῇ καὶ ὑπομείνῃ, οὐ γίνεται ἀνδρεῖος.

89. Εἶπε Γέρων· Διὰ τοῦτο οὐ προκόπτομεν, ὅτι οὐκ ἐπιστάμεθα τὰ μέτρα ἑαυτῶν, οὐδὲ ἔχομεν ὑπομονὴν ἐν ᾧ ἀρχόμεθα ἔργῳ· ἀλλὰ ἀπόνως θέλομεν ἀρετὴν κτήσασθαι. Καὶ ἀπὸ τόπων εἰς τόπους μεταβαίνομεν νομίζοντες ὅτι εὑρίσκομεν τόπον, ὅπου οὐκ ἔστι διάβολος.

90. Εἶπε Γέρων· Μοναχὸς ἐὰν ὀλίγας ἡμέρας κοπιᾷ καὶ πάλιν χαυνοῦται καὶ πάλιν κοπιᾷ καὶ πάλιν ἀμελῇ, ὁ τοιοῦτος οὐδὲν ποιεῖ, οὐδὲ κτᾶται ὑπομονήν.

91. Εἶπε Γέρων· Ἐὰν εὑρεθῇς ἐπὶ ξένης καὶ μηδείς σε ὑποδέξηται, μὴ λυπηθῇς· ἀλλὰ λέγε· Εἰ ἤμην ἄξιος, ὁ Θεὸς ἐποίει μοι ἀνάπαυσιν.

πειρασμό». Ὁ δαίμονας ὅμως δέν ἄντεξε τή φιλοσοφημένη ἀντιμετώπιση τοῦ Γέροντα καί τοῦ λέει κραυγάζοντας: «Πάρτα τά καλάθια σου, κακόγερε». Κι ὁ Γέροντας τά πῆρε καί τά πούλησε.

87. Ἔλεγε κάποιος ἀπό τούς Γέροντες γιά τόν φτωχό Λάζαρο: «Δέν βρίσκουμε νά 'χει κάνει αὐτός καμιά ἀρετή, μόνο πού δέν γόγγυσε ποτέ κατά τοῦ Θεοῦ ὅτι δέν τόν σπλαχνίστηκε· ἀντίθετα, σήκωσε τόν πόνο του μέ εὐγνωμοσύνη καί δέν κατέκρινε τόν πλούσιο. Γι' αὐτό ὁ Θεός τόν δέχθηκε ὡς δικό του».

88. Εἶπε κάποιος ἀπό τούς Πατέρες: «Ἐάν δέν κουνηθεῖ τό δέντρο ἀπό τούς ἀνέμους, οὔτε μεγαλώνει οὔτε ρίχνει βαθιά τίς ρίζες. Ἔτσι καί ὁ μοναχός ἐάν δέν δεχθεῖ καί δέν ὑπομείνει πειρασμούς, δέν γίνεται ἀνδρεῖος».

89. Εἶπε ἄλλος Γέροντας: «Ὁ λόγος γιά τόν ὁποῖο δέν προκόβουμε εἶναι ὅτι δέν γνωρίζουμε τά μέτρα μας, οὔτε ἔχομε ὑπομονή στό ἔργο πού ἀρχίζουμε ἀλλά θέλουμε ἄκοπα νά ἀποκτοῦμε ἀρετή. Ἐπιπλέον πηγαίνουμε ἀπό τόπο σέ τόπο νομίζοντας ὅτι θά βροῦμε κάποιον τόπο πού δέν ὑπάρχει διάβολος».

90. Ἕνας Γέροντας εἶπε: «Ἕνας μοναχός ἐάν λίγες μέρες κοπιάζει καί ὕστερα χαλαρώνει καί ξαναρχίζει τόν ἀγώνα ἀλλά καί πάλι ἀμελεῖ, αὐτός δέν κάνει τίποτε, οὔτε ἀποκτᾶ ποτέ ὑπομονή».

91. Εἶπε κάποιος Γέροντας: «Ἐάν βρεθεῖς σέ ξένο τόπο καί κανείς δέν σέ ὑποδεχθεῖ, νά μή λυπηθεῖς ἀλλά νά λές: Ἐάν τό ἄξιζα, ὁ Θεός θά μοῦ ἑτοίμαζε ἀνάπαυση».

92. Εἶπε Γέρων· Ἔπαρον τοὺς πειρασμοὺς καὶ οὐδεὶς ἅγιος· ὁ γὰρ φεύγων πειρασμὸν ἐπωφελῆ, φεύγει ζωὴν αἰώνιον.

93. Τῶν Πατέρων τις περιόρισεν ἑαυτὸν πρὸ χρόνου τῇ ἁγίᾳ Τεσσαρακοστῇ τῶν ἁγίων νηστειῶν. Ὁ δὲ διάβολος, ὁ ἀεὶ τοῖς ἀγωνιζομένοις φθονῶν, ἐπλήρωσεν ὅλον τὸ σπήλαιον αὐτοῦ ἀπὸ ἐδάφους ἕως τῆς στέγης κορίδων καὶ τὸ ὕδωρ καὶ τὸν ἄρτον καὶ πάντα τὰ αὐτοῦ, ὥστε μὴ ὁρᾶσθαι τὸ σύνολον δάκτυλον ἐν τῷ σπηλαίῳ γυμνόν. Ὑπομείνας οὖν οὗτος ὁ γενναῖος τὸν πειρασμόν, ἔλεγεν ὅτι· Ἐάν με δῇ ἀποθανεῖν, οὐκ ἐξέρχομαι ἕως τῆς ἁγίας ἑορτῆς. Τῇ δὲ τρίτῃ ἑβδομάδι τῶν ἁγίων νηστειῶν, ἰδοὺ ὁρᾷ ἀπὸ πρωίας πλῆθος ἀδιήγητον μυρμήκων τελείων εἰσερχομένων ἐν τῷ σπηλαίῳ ἐπ' ἀπωλείᾳ τῶν κορίδων. Καὶ καθάπερ ἐπὶ πολέμου ἐν τῷ ἐξωτέρῳ ἐκβαλόντες, πάσας ἐφόνευσαν· καὶ βαστάσαντες τοῦ σπηλαίου ἐξήγαγον. Διὸ καλὴ ἡ τῶν πειρασμῶν ὑπομονή· εἰς ἀγαθὸν γὰρ πέρας πάντα ἔρχεται.

94. Εἶπε Γέρων· Ὃν τρόπον μὴ θερμανθεὶς ἢ μαλαχθεὶς ὁ κηρὸς οὐ δύναται τὴν ἐπιτιθεμένην αὐτῷ σφραγίδα δέξασθαι, οὕτω καὶ ὁ ἄνθρωπος, ἐὰν μὴ διὰ πόνων καὶ ἀσθενειῶν δοκιμασθῇ, οὐ δύναται δέξασθαι τὴν σφραγίδα τοῦ Πνεύματος. Διὰ τοῦτο ὁ μὲν Κύριος λέγει τῷ θεσπεσίῳ Παύλῳ· Ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου ἐν ἀσθε-

92. Εἶπε ἕνας Γέροντας: «Σήκωσε ἀπ' τή μέση τούς πειρασμούς καί κανείς δέν θά ἁγιάσει. Γιατί αὐτός πού ἀποφεύγει τόν ὠφέλιμο πειρασμό, ἀποφεύγει τήν αἰώνια ζωή».

93. Κάποιος ἀπό τούς Πατέρες ἔβαλε κανόνα στόν ἑαυτό του ἀπό καιρό νά μείνει ἔγκλειστος κατά τή διάρκεια τῆς Μεγάλης Τεσσαρακοστῆς τῶν ἁγίων νηστειῶν. Ὁ διάβολος ὅμως, ὁ ὁποῖος πάντοτε φθονεῖ αὐτούς πού ἀγωνίζονται, γέμισε τή σπηλιά του ἀπό τή γῆ μέχρι τήν ὀροφή κοριούς· ἀκόμη καί τό νερό καί τό ψωμί καί κάθε τι πού ὑπῆρχε, ὥστε νά μή φαίνεται γυμνό μέρος πουθενά μέσα στή σπηλιά, οὔτε ὅσο ἕνα δάκτυλο. Ἀλλά αὐτός ὁ γενναῖος ὑπέμεινε τόν πειρασμό καί μάλιστα ἔλεγε: «Κι ἄν χρειαστεῖ νά πεθάνω, δέν βγαίνω ἀπ' ἐδῶ μέχρι τή γιορτή τοῦ Πάσχα». Καί τήν τρίτη ἑβδομάδα τῆς ἁγίας Σαρακοστῆς, ξαφνικά βλέπει ἕνα πρωινό νά ὁρμᾶ μέσα στή σπηλιά ἀναρίθμητο πλῆθος ἀπό μεγάλα μυρμήγκια γιά νά καταστρέψουν τούς κοριούς. Καί ὅπως γίνεται στόν πόλεμο, ἀφοῦ τούς ξετρύπωσαν, τούς φόνευσαν ὅλους καί κατόπιν τούς πῆραν καί τούς ἔβγαλαν ἔξω ἀπ' τή σπηλιά. Εἶναι λοιπόν ὠφέλιμη ἡ ὑπομονή στούς πειρασμούς, γιατί πάντοτε φθάνει σέ ἀγαθό ἀποτέλεσμα.

94. Εἶπε ἕνας Γέροντας: «Ὅπως τό κερί ἐάν δέν θερμανθεῖ καί δέν μαλακώσει, δέν μπορεῖ νά δεχθεῖ τή σφραγίδα πού βάζουμε ἐπάνω του, ἔτσι καί ὁ ἄνθρωπος, ἐάν δέν δοκιμασθεῖ μέ κόπους καί ἀρρώστιες, δέν εἶναι σέ θέση νά δεχθεῖ τή σφραγίδα πού θέλει τό ἅγιο Πνεῦμα νά ἐπιθέσει σ' αὐτόν.

Γι' αὐτό ὁ Κύριος λέει στόν θεῖο Παῦλο: Σοῦ ἀρκεῖ ἡ χάρη μου· γιατί ἡ δύναμή μου μέσα σ' αὐτή τήν ἀδυναμία σου φανερώνεται στήν πληρότητά της.

νείᾳ τελειοῦται. Αὐτὸς δὲ ὁ ἀπόστολος καυχᾶται λέγων· Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

95. Ἔλεγον περί τινος ἁγίου ὅτι ὡμολόγησεν ἐν διωγμῷ καὶ πολλὰ ἐβασανίσθη, ὥστε καὶ καθίσαι εἰς θρόνον χαλκοῦν πεπυρωμένον. Καὶ ἐν τῷ μεταξὺ ἐγένετο ὁ μακάριος Κωνσταντῖνος βασιλεὺς καὶ ἀπελύθησαν οἱ χριστιανοί. Καὶ θεραπευθεὶς ὁ ἅγιος οὗτος ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ, καὶ ὡς εἶδε τοῦτο ἀπὸ μακρόθεν, εἶπεν· Οἴμοι, εἰς πολλὰ κακὰ πάλιν ἔρχομαι. Τοῦτο δὲ εἶπε διὰ τοὺς ἀγῶνας καὶ τὴν πάλην τὴν πρὸς τοὺς δαίμονας.

96. Διηγήσαντο Πατέρες ὅτι ἦν τις κοινοβίου πατὴρ καὶ συνέβη τὸν τούτου διακονητὴν ὀλιγωρήσαντα ἐξελθεῖν ἐκ τῆς μονῆς καὶ ἀπελθεῖν εἰς ἄλλον τόπον. Ὁ δὲ Γέρων δι' ὅλου σχεδὸν ἀπῄει πρὸς αὐτὸν δυσωπῶν, ἵνα ὑποστρέψῃ. Ὁ δὲ οὐκ ἐβούλετο. Τοῦτο δὲ ἐποίησεν ὁ Γέρων ἐπὶ τρία ἔτη· καὶ οὕτω πεισθεὶς ὁ διακονητὴς ὑπέστρεψεν.

Ἐπιτάσσει οὖν αὐτῷ ὁ Γέρων ἐξελθεῖν καὶ συναγαγεῖν στοιβήν. Καὶ δὴ τοῦτο ποιήσας ὁ διακονητής, κατ' ἐνέργειαν τοῦ Σατανᾶ τὸν ὀφθαλμὸν ἀπώλεσεν. Καὶ μαθὼν ὁ Γέρων ἐλυπήθη σφόδρα, καὶ ἄρχεται νουθετεῖν αὐτὸν ὀδυνώμενον. Καὶ λέγει ὁ διακονητής· Ἐγώ εἰμι ὁ αἴτιος· διὰ γὰρ τοὺς κόπους οὓς παρέσχον σοι τοῦτο ὑπέστην. Μετὰ χρόνον ἀπαλλάσσεται τῆς ὀδύνης, τοῦ πάθους μείναντος· καὶ πάλιν ἐπιτάσσει ὁ Γέρων ἐξελθεῖν καὶ τῖλαι βαΐα. Ἐρ-

81. Β' Κορ. 12, 9-10. 82. Βλ. Ζ ὑποσημ. 5 σελ. 292.

Καί ὁ ἴδιος ὁ ἀπόστολος μέ καύχηση λέει: Μέ περισσότερη εὐχαρίστηση λοιπόν θά καυχηθῶ γιά τίς ἀρρώστιες μου, γιά νά κατασκηνώσει σέ μένα ἡ δύναμη τοῦ Χριστοῦ[81]».

95. Ἔλεγαν γιά κάποιον ἅγιο ὅτι σέ καιρό διωγμοῦ ὁμολόγησε τήν πίστη του καί ὑπέστη πολλά βασανιστήρια, μέχρι καί σέ πυρωμένο χάλκινο θρόνο τόν κάθισαν. Ἀλλά σ' αὐτό τό χρονικό διάστημα ἔγινε βασιλιάς ὁ μακαριστός Κωνσταντῖνος καί οἱ χριστιανοί ἀπέκτησαν τήν ἐλευθερία τους. Καί ὁ ἅγιος αὐτός θεραπεύτηκε καί γύρισε στό κελί του. Καί μόλις τό ἀντίκρυσε ἀπό μακρυά, εἶπε: «Ἀλίμονο, σέ μεγάλα κακά πάλι ἐπιστρέφω». Αὐτό τό εἶπε γιά τούς ἀγῶνες καί τήν πάλη πού θά εἶχε νά κάνει ἐναντίον τῶν δαιμόνων.

96. Κάποιοι Πατέρες διηγήθηκαν ὅτι ὑπῆρχε ἕνας πατέρας κοινοβίου καί συνέβη ὁ διακονητής του νά πέσει σέ κατάσταση ὀλιγωρίας[82], μέ ἀποτέλεσμα νά φύγει ἀπό τό μοναστήρι καί νά πάει σ' ἄλλον τόπο. Καί ὁ Γέροντας πήγαινε σχεδόν ὅλο τόν καιρό καί προσπαθοῦσε μέ παρακάλια νά τόν πείσει νά ἐπιστρέψει. Ἀλλά αὐτός δέν ἤθελε. Αὐτό τό ἔκανε ὁ Γέροντας ἐπί τρία χρόνια καί τελικά πείσθηκε ὁ διακονητής καί ἐπέστρεψε.

Κάποια μέρα τοῦ δίνει ἐντολή ὁ Γέροντας νά βγεῖ καί νά μαζέψει ἄχυρα. Καθώς ἔκανε τήν ἐργασία αὐτή ὁ διακονητής, ἀπό ἐνέργεια τοῦ Σατανᾶ ἔχασε τό ἕνα μάτι του. Ὅταν τό 'μαθε ὁ Γέροντας λυπήθηκε πάρα πολύ καί ἄρχισε νά τόν παρηγορεῖ καθώς πονοῦσε, καί ὁ διακονητής τοῦ λέει: «Ἐγώ φταίω. Τό ἔπαθα γιά τήν ταλαιπωρία πού σοῦ προκάλεσα». Μετά ἀπό λίγο καιρό σταμάτησε ὁ πόνος, ἀλλά ἡ ζημιά ἔμεινε. Καί πάλι ὁ Γέροντας τοῦ παραγγέλλει νά βγεῖ καί νά κόψει κλαδιά ἀπό φοινικιές. Καθώς ὅμως

γαζομένου οὖν αὐτοῦ, κατ' ἐνέργειαν τοῦ ἐχθροῦ, πάλιν ῥαβδίου πηδήσαντος ἀπόλλει καὶ τὸν ἕτερον ὀφθαλμόν.

Ἔρχεται οὖν εἰς τὴν μονὴν καὶ ἡσυχάζει, μηδὲν ἔτι ποιῶν. Ὁ δὲ ἀββᾶς πάλιν ἐδυσφόρει. Καὶ ὡς ἦλθεν αὐτοῦ ἡ κλῆσις, προγινώσκει καὶ μεταστέλλεται πάντας τοὺς ἀδελφοὺς καὶ λέγει αὐτοῖς· Ἐγγύς ἐστιν ἡ κλῆσίς μου, βλέπετε ἑαυτούς. Ἄρχεται ἕκαστος λέγειν· Τίνι ἐᾷς ἡμᾶς, ἀββᾶ; Ὁ δὲ Γέρων ἐσιώπα καὶ μεταστέλλεται τὸν τυφλὸν μοναχὸν καὶ λέγει αὐτῷ περὶ τῆς κλήσεως. Ὁ δὲ ἐδάκρυσε λέγων· Τίνι με ἐᾷς τὸν τυφλόν; Ὁ δὲ Γέρων λέγει· Εὖξαι, ἵνα σχῶ παρρησίαν ἐνώπιον τοῦ Θεοῦ, καὶ ἐλπίζω ὅτι τῇ Κυριακῇ ποιεῖς τὴν σύναξιν. Καὶ κοιμηθέντος αὐτοῦ μετ' ὀλίγας ἡμέρας ἀνέβλεψε καὶ γέγονε τοῦ μοναστηρίου πατήρ.

97. Ἦν τις τῶν Πατέρων καθήμενος ἐν τόπῳ καλῶς πολιτευσάμενος. Ὑπῆρχε δὲ αὐτῷ ἀδελφὸς ἡγούμενος Λαύρας. Λέγει οὖν εἰς ἑαυτόν· Τί κάθημαι ὧδε κοπιῶν; Ἀπέρχομαι πρὸς τὸν ἀδελφόν μου καὶ παρέχει μοι τὰς χρείας. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν ἀδελφὸν αὐτοῦ. Καὶ ἰδὼν ὁ ἀδελφὸς αὐτοῦ ἐχάρη. Καὶ λέγει αὐτῷ ἐκεῖνος· Ὧδε θέλω μεῖναι, ἀλλὰ δός μοι κελλίον, ἵνα μείνω καθ' ἑαυτόν. Καὶ ἔδωκεν αὐτῷ. Καὶ ἀπὸ τῆς ὥρας ἐκείνης ἔλαθεν ὅτι ἦλθεν ἐκεῖ.

Οἱ δὲ τῆς Λαύρας ἰδόντες ὅτι ὁ ἀδελφὸς τοῦ ἡγουμένου ἐστίν, νομίσαντες ὅτι ὁ ἀδελφὸς αὐτοῦ παρέχει τὰς χρείας, οὐκ ἀπήνεγκαν αὐτῷ τίποτε οὐδὲ ἐκάλεσαν αὐτὸν εἰς κελλίον, ἵνα δοθῆναι αὐτὸν ἕως ἄρτον. Αὐτὸς δὲ εὐλα-

δούλευε, ἀπό ἐνέργεια πάλι τοῦ ἐχθροῦ, πετάχτηκε ἕνα κλαδί καί χάνει καί τό ἄλλο μάτι.

Γύρισε στό μοναστήρι καί δόθηκε στή ζωή τῆς ἡσυχίας χωρίς πιά νά κάνει καμιά ἐργασία. Ὁ ἀββᾶς πάλι ἔνιωθε μεγάλη στενοχώρια. Καί ὅταν ἔφτασε ἡ ὥρα νά ἀναχωρήσει ἀπό τόν κόσμο αὐτό, τοῦ ἔγινε γνωστό ἐκ τῶν προτέρων καί γι' αὐτό ἔστειλε καί κάλεσε ὅλους τούς ἀδελφούς καί τούς εἶπε: «Ἡ ὥρα τῆς ἀναχωρήσεώς μου εἶναι κοντά. Προσέχετε τήν ψυχή σας». Ἄρχισε τότε ὁ καθένας νά λέει: «Σέ ποιόν μᾶς ἀφήνεις, ἀββᾶ;» Ὁ Γέροντας σιωποῦσε. Ὕστερα ἔστειλε καί κάλεσε τόν τυφλό μοναχό καί τοῦ μίλησε γιά τόν θάνατό του. Ἐκεῖνος δάκρυσε καί εἶπε: «Σέ ποιόν ἀφήνεις ἐμένα τόν τυφλό;» «Προσευχήσου — εἶπε ὁ Γέροντας— νά βρῶ παρρησία μπροστά στόν Θεό καί ἐλπίζω ὅτι τήν Κυριακή θά κάνεις τή σύναξη». Ἀναπαύθηκε ὁ Γέροντας καί μετά ἀπό λίγες μέρες ἐπανέκτησε τό φῶς του καί ἔγινε πατέρας τοῦ μοναστηριοῦ.

97. Ἕνας ἀπό τούς Πατέρες κατοικοῦσε σέ κάποιον τόπο καί ἔκανε ζωή ὑποδειγματική. Αὐτός εἶχε ἕναν ἀδελφό πού ἦταν ἡγούμενος μιᾶς Λαύρας. Σκέφθηκε λοιπόν κάποια μέρα: «Γιατί νά κάθομαι ἐδῶ καί νά κοπιάζω; Θά πάω στόν ἀδελφό μου καί αὐτός θά μοῦ δίνει τά χρειαζούμενα». Σηκώθηκε καί πῆγε στόν ἀδελφό του, ὁ ὁποῖος μόλις τόν εἶδε χάρηκε. Λέγει λοιπόν τοῦ ἀδελφοῦ του: «Θέλω νά μείνω ἐδῶ ἀλλά δῶσ' μου ἕνα κελί γιά νά μένω μόνος». Τοῦ ἔδωσε, ἀλλά ἀπό τήν ὥρα ἐκείνη καί ὕστερα λησμόνησε ὅτι ὁ ἀδελφός του ἦλθε ἐκεῖ.

Οἱ ἀδελφοί τῆς Λαύρας βλέποντας ὅτι εἶναι ἀδελφός τοῦ ἡγουμένου, νόμιζαν ὅτι ὁ ἀδελφός του τοῦ προσφέρει ὅ,τι χρειάζεται καί δέν τοῦ πῆγαν τίποτε οὔτε τόν κάλεσαν σέ κελί νά πάρει τουλάχιστον ψωμί. Καί αὐτός καθώς ἦταν

δῆς ὢν οὐκ ὤχλει τινί. Τότε λογίζεται ἐν ἑαυτῷ λέγων· Τάχα οὐκ ἔστι θέλημα Θεοῦ, ἵνα μείνω ὧδε. Λαμβάνει οὖν τὸ κλειδὶν τοῦ κελλίου καὶ ἀποφέρει τῷ ἀδελφῷ αὐτοῦ καὶ λέγει αὐτῷ· Συγχώρησόν μοι, οὐ δύναμαι μεῖναι ὧδε. Ἐκεῖνος ἐθαύμασε λέγων· Πότε γὰρ ἦλθες ὧδε; Λέγει αὐτῷ· Οὐ σύ μοι ἔδωκας τὸ κλειδὶν τοῦ κελλίου; Λέγει αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ· Πείσθητί μοι, ὅτι οὐκ ἐμνήσθην ὅτι ἦλθες ὧδε· ἀλλὰ διὰ τὸν Κύριον εἰπέ μοι ποίῳ λογισμῷ ἦλθες. Λέγει αὐτῷ ἐκεῖνος· Τοιαύτην ἐλπίδα ἔχων, ἵνα ἀναπαύωμαι πρὸς σέ. Λέγει αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ· Δικαίως οὖν ἀπέκρυψεν ὁ Θεὸς ἀπ᾽ ἐμοῦ, ὅτι οὐκ εἶχες ἐπ᾽ αὐτόν, ἀλλ᾽ ἐπ᾽ ἐμοί. Καὶ ἀναστὰς ἀπῆλθεν εἰς τὸν πρῶτον τόπον αὐτοῦ.

98. Νεώτερός τις ἀποτάξασθαι βουλόμενος, ἀπήρχετο εἰς τὴν ἔρημον· καὶ θεωρήσας πύργον εἶπεν ἐν ἑαυτῷ ὅτι· Ὃν ἂν εὕρω ἐν τῷ πύργῳ, δουλεύσω αὐτῷ μέχρι θανάτου. Φθάσας οὖν ἔκρουσε καὶ ἐξῆλθε γέρων μοναχός. Εἶπε δὲ αὐτῷ· Τί θέλεις; Ὁ δέ ἀπεκρίθη· χάριν εὐχῆς ἐλήλυθα. Ἐδέξατο οὖν αὐτὸν ὁ γέρων καὶ ἀνέπαυσε καὶ λέγει αὐτῷ· Οὐκ ἔχεις ἀπόκρισιν πώποτε; Ὁ δὲ ἔφη· Οὐχί· ἀλλ᾽ ὧδε βούλομαι μεῖναι. Ἀφῆκεν οὖν αὐτόν. Ἦν δὲ ὁ γέρων πεσὼν εἰς πορνείαν καὶ εἶχε τὴν γυναῖκα μεθ᾽ ἑαυτοῦ. Λέγει οὖν τῷ ἀδελφῷ· Εἰ θέλεις ὠφεληθῆναι, ὕπαγε ἐν μοναστηρίῳ· ἐγὼ γὰρ γυναῖκα ἔχω. Ὁ δὲ ἀδελφὸς εἶπε· Κἄν τε γυναῖκα ἔχῃς κἂν ἀδελφήν, οὐκ οἶδα· ἐγὼ τέως δουλεύσω ὑμῖν, ἕως θανάτου.

Χρόνου δὲ παρελθόντος τῆς ὑπηρεσίας αὐτοῦ, λέγου-

διστακτικός ἀπό σεβασμό, δέν ἐνοχλοῦσε κανέναν. Σκέφθηκε τότε καί εἶπε: «Ἴσως δέν εἶναι θέλημα Θεοῦ νά μείνω ἐδῶ». Παίρνει λοιπόν τό κλειδί τοῦ κελιοῦ, τό ἐπιστρέφει στόν ἀδελφό του καί τοῦ λέει: «Συγχώρα με, δέν μπορῶ νά μένω ἐδῶ». Ἐκεῖνος ἐξεπλάγη καί τοῦ λέει· «Πότε ἦλθες ἐδῶ;» «Ἐσύ δέν μοῦ 'δωσες τό κλειδί τοῦ κελιοῦ;» τόν ρωτάει. «Πίστεψέ με —τοῦ λέει ὁ ἀδελφός του— δέν θυμόμουν ὅτι ἦλθες ἐδῶ. Ἀλλά γιά τ' ὄνομα τοῦ Κυρίου, πές μου ποιός λογισμός σέ ἔκανε καί ἦλθες ἐδῶ;» Κι ἐκεῖνος τοῦ εἶπε: «Ἀκριβῶς μέ τέτοια ἐλπίδα, νά βρῶ δηλαδή ἀνάπαυση κοντά σου». Τότε τοῦ λέει ὁ ἀδελφός του: «Δίκαια λοιπόν μ' ἔκανε ὁ Θεός νά σέ λησμονήσω, γιατί δέν στήριξες τήν ἐλπίδα σου σ' Ἐκεῖνον, ἀλλά σέ μένα». Ἔτσι σηκώθηκε καί ἐπέστρεψε στό τόπο πού κατοικοῦσε πρῶτα.

98. Κάποιος νέος πού ἤθελε νά μονάσει, πῆρε τό δρόμο γιά τήν ἔρημο. Καθώς πήγαινε, εἶδε ἕναν πύργο καί εἶπε μέσα του: «Ὅποιον κι ἄν βρῶ μέσα στόν πύργο, θά τόν ὑπηρετήσω μέχρι θανάτου». Ἔφτασε ἐκεῖ καί χτύπησε τήν πόρτα. Βγῆκε ἕνας γηραλέος μοναχός καί τοῦ λέει: «Τί θέλεις;»

«Γιά νά πάρω εὐχή, ἦρθα» ἀπάντησε. Τόν πῆρε μέσα ὁ Γέροντας καί τόν περιποιήθηκε. Τοῦ ρώτησε κάποια στιγμή: «Δέν ἔχεις καμιά παραγγελία ἀπό πουθενά;» «Ὄχι» τοῦ εἶπε «ἀλλά ἐγώ θέλω νά μείνω ἐδῶ». Καί τόν ἄφησε νά μείνει.

Αὐτός ὅμως ὁ Γέροντας εἶχε πέσει σέ πορνεία καί εἶχε τήν γυναίκα μαζί του. Καί λέει κάποια ὥρα στόν ἀδελφό: «Ἐάν θέλεις νά ὠφεληθεῖς, πήγαινε σέ μοναστήρι. Γιατί ἐγώ ἔχω γυναίκα». Ἀλλά ὁ ἀδελφός τοῦ εἶπε: «Κι ἄν ἔχεις γυναίκα, κι ἄν ἔχεις ἀδελφή, δέν γνωρίζω. Ἐγώ ἀπ' ἐδῶ καί πέρα θά σᾶς ὑπηρετήσω μέχρι θανάτου».

Ἀφοῦ πέρασε ἀρκετό χρονικό διάστημα πού τούς

σι πρὸς ἑαυτούς· Οὐκ ἀρκεῖ ἡμῖν τὸ βάρος ὃ βαστάζομεν ἀλλὰ καὶ τὴν ψυχὴν τούτου ἔχομεν ἀπαιτηθῆναι. Ἀπέλθωμεν τῶν ὧδε καὶ καταλείψωμεν αὐτῷ τὸ κελλίον. Καὶ δὴ λαβόντες εἴ τι ἠδύναντο, λέγουσι τῷ ἀδελφῷ ὅτι· Εἰς εὐχὴν ἀπερχόμεθα· ἀλλὰ φύλαξον ἡμῖν τὸ κελλίον. Ὡς οὖν ἀπῆλθον ὀλίγον διάστημα, νοήσας ὁ ἀδελφὸς τὴν βουλὴν αὐτῶν, ἀπῄει πρὸς αὐτούς. Ἰδόντες οὖν αὐτόν, ἐταράχθησαν καὶ εἶπον· Ἕως πότε κατακρίνεις ἡμᾶς; Ἔχεις τὸ κελλίον· κάθισον καὶ πρόσεχε σεαυτῷ. Ὁ δὲ ἀδελφὸς εἶπεν· Ἐγὼ διὰ τὸ κελλίον οὐκ ἦλθον· ἀλλ᾽ ἵνα ὑμῖν δουλεύσω. Καὶ δὴ ἡ μὲν γυνὴ ἀπῆλθεν εἰς μοναστήριον, ὁ δὲ γέρων εἰς τὸν τόπον αὐτοῦ· καὶ διὰ τῆς ὑπομονῆς τοῦ ἀδελφοῦ ἐσώθησαν ἀμφότεροι.

Τέλος τῆς περὶ ὑπομονῆς καὶ ἀνδρείας πραγματείας.




ὑπηρέτησε, εἶπαν αὐτοί μεταξύ τους: «Δέν μᾶς φτάνει τό βάρος τῆς ἁμαρτίας πού κουβαλᾶμε, νά ᾽χουμε ἐπιπλέον νά δώσουμε λόγο καί γιά τήν ψυχή αὐτοῦ τοῦ ἀνθρώπου; Ἄς φύγουμε ἐμεῖς ἀπ᾽ ἐδῶ καί νά τοῦ ἀφήσουμε τό κελί». Πράγματι πῆραν ὅ,τι μποροῦσαν νά πάρουν καί εἶπαν στόν ἀδελφό: «Ἐμεῖς φεύγουμε γιά προσκύνημα. Ἀλλά ἐσύ φύλαξέ μας τό κελί».

Εἶχαν ἀπομακρυνθεῖ λίγο διάστημα, ὁπότε ὁ ἀδελφός κατάλαβε τήν ἀπόφασή τους καί πῆρε τόν δρόμο νά τούς συναντήσει.

Σάν τόν εἶδαν λοιπόν μπροστά τους, ταράχθηκαν καί εἶπαν: «Ὡς πότε θά μᾶς καταδικάζεις; Ἔχεις τό κελί, μεῖνε ἐκεῖ καί πρόσεχε τήν ψυχή σου». Κι ὁ ἀδελφός εἶπε: «Ἐγώ δέν ἦρθα γιά τό κελί, ἦρθα νά ὑπηρετήσω ἐσᾶς». Καί τότε πιά ἡ γυναίκα πῆγε σ᾽ ἕνα μοναστήρι καί ὁ Γέροντας γύρισε στόν τόπο του. Ἔτσι μέ τήν ὑπομονή τοῦ ἀδελφοῦ σώθηκαν καί οἱ δύο.

Τέλος τῆς πραγματείας περί ὑπομονῆς καί ἀνδρείας.



ΚΕΦΑΛΑΙΟ
Η΄

«Προσέχετε... μὴ ποιεῖν ἔμπροσθεν
τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς·
εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε
παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς».

(Ματθ. 6, 1-5)

Περὶ τοῦ μηδὲν ποιεῖν πρὸς ἐπίδειξιν

Ἤκουσεν ὁ ἀββᾶς Ἀντώνιος περί τινος νεωτέρου μοναχοῦ ποιήσαντος σημεῖον ἐν τῇ ὁδῷ, ὡς τούτου ἑωρακότος Γέροντάς τινας ὁδεύοντας καὶ κάμνοντας ἐν τῇ ὁδῷ καὶ ὀνάγροις ἐπιτάξαντος ἐλθεῖν καὶ βαστάσαι αὐτούς, ἕως φθάσωσι πρὸς αὐτόν. Οἱ οὖν Γέροντες ἀνήγγειλαν τῷ ἀββᾷ Ἀντωνίῳ ταῦτα. Καὶ λέγει αὐτοῖς· Ἔοικέ μοι ὁ μοναχὸς οὗτος πλοῖον εἶναι μεστὸν ἀγαθῶν· οὐκ οἶδα δὲ εἰ ἥξει εἰς τὸν λιμένα.

Καὶ μετὰ χρόνον ἄρχεται ἐξαίφνης ὁ ἀββᾶς Ἀντώνιος κλαίειν καὶ τίλλειν τὰς τρίχας καὶ ὀδύρεσθαι. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Τί κλαίεις, ἀββᾶ; Καὶ εἶπεν ὁ Γέρων· Μέγας στύλος τῆς Ἐκκλησίας ἄρτι ἔπεσεν. Ἔλεγε δὲ περὶ τοῦ νεωτέρου μοναχοῦ. Ἀλλ' ἀπέλθετε, φησίν, ἕως αὐτοῦ καὶ βλέπετε τὸ γεγονός. Ἀπέρχονται οὖν οἱ μαθηταὶ καὶ εὑρίσκουσι τὸν μοναχὸν ἐπὶ ψιαθίου καθήμενον καὶ κλαίοντα τὴν ἁμαρτίαν, ἣν ἠργάσατο. Ἑωρακὼς δὲ τοὺς μαθητὰς τοῦ Γέροντος, λέγει· Εἴπατε τῷ Γέροντι, ἵνα παρακαλέσῃ τὸν Θεὸν δέκα μόνον ἡμέρας ἐνδοῦναί μοι καὶ ἐλπίζω ἀπολογήσασθαι. Καὶ ἐντὸς ἡμερῶν πέντε ἐτελεύτησεν.

---

1. Ὄναγρος = ἄγριος ὄνος (ζέβρος καί ζέβρα).

2. Τό «τίλλειν τάς τρίχας» τῆς κεφαλῆς θεωροῦνταν ὡς ἐκδήλωση θλίψεως· γι' αὐτό καί ἡ φράση παρέμεινε στή γλώσσα μέ μεταφορική σημασία μέχρι καί σήμερα (πρβλ. ἦταν νά τραβᾶς τά μαλλιά σου). Ἰσοδυναμεῖ ἐπομένως μέ ἕνα ἀπό τά ρήματα κόπτεσθαι (= ὅτι χτυπάει τό στῆθος του κάποιος ἀπό θλίψη), τύπτεσθαι (= ὅτι χτυπιέται κάποιος ἀπό τή θλίψη του) κ.ἄ.

Τίποτε δέν πρέπει νά κάνουμε γιά ἐπίδειξη

Ἄκουσε ὁ ἀββᾶς Ἀντώνιος* γιά κάποιον νεαρό μοναχό ὅτι ἔκανε κάποιο θαῦμα καθώς βάδιζε. Εἶχε δεῖ δηλαδή κάποιους Γέροντες νά βαδίζουν καί νά 'ναι κατάκοποι ἀπό τήν πεζοπορία· καί ἔδωσε ἐντολή σέ ὀνάγρους[1] νά πᾶνε καί νά τούς μεταφέρουν, ἕως ὅτου φθάσουν ἐκεῖ πού ἦταν κι αὐτός.

Οἱ Γέροντες λοιπόν τό ἀνέφεραν στόν ἀββᾶ Ἀντώνιο· κι ἐκεῖνος τούς εἶπε: «Μοῦ φαίνεται ὁ μοναχός αὐτός πώς εἶναι καράβι γεμάτο ἀπό ἀγαθά· δέν γνωρίζω ὅμως ἄν θά φθάσει στό λιμάνι».

Καί λίγο καιρό ἀργότερα ἄρχισε ξαφνικά ὁ ἀββᾶς Ἀντώνιος νά κλαίει καί νά χτυπιέται θρηνώντας[2]. Τόν ρώτησαν οἱ μαθητές του: «Γιατί κλαῖς, ἀββᾶ;» Καί ὁ Γέροντας εἶπε: «Ἕνας μεγάλος στύλος τῆς Ἐκκλησίας ἤδη ἔπεσε». Καί ἐννοοῦσε τόν νεαρό μοναχό. «Πηγαίνετε ὅμως —πρόσθεσε— στό κελί του καί δεῖτε αὐτό πού ἔγινε». Πᾶνε λοιπόν οἱ μαθητές καί βρίσκουν τόν μοναχό πάνω σέ ψάθα καθισμένο νά κλαίει γιά τό ἁμάρτημα πού ἔκανε. Σάν εἶδε τούς μαθητές τοῦ Γέροντα, τούς εἶπε: «Πέστε στόν Γέροντα νά παρακαλέσει τόν Θεό μόνο δέκα μέρες νά μοῦ παραχωρήσει καί ἐλπίζω νά ἑτοιμασθῶ γιά τήν ἀπολογία». Ἀλλά μέσα σέ πέντε μέρες πέθανε.

2. Ἐπηνέθη τις μοναχὸς ὑπὸ τῶν ἀδελφῶν πρὸς τὸν ἀββᾶν Ἀντώνιον. Ὁ δέ, παραβαλόντος αὐτοῦ, ἐπείρασεν εἰ φέρει ἀτιμίαν. Καὶ εὑρὼν ὅτι οὐ βαστάζει, εἶπεν αὐτῷ· Ἔοικας κώμῃ τὰ ἔμπροσθεν κεκαλλωπισμένῃ, τὰ δὲ ὄπισθεν ὑπὸ ληστῶν συλουμένῃ.

3. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀρσενίου καὶ τοῦ ἀββᾶ Θεοδώρου τοῦ τῆς Φέρμης ὅτι ὑπὲρ πάντα ἐμίσουν τὴν τῶν ἀνθρώπων δόξαν. Ὁ μὲν οὖν ἀββᾶς Ἀρσένιος οὐχ ὑπήντα ταχέως τινί, ὁ δὲ ἀββᾶς Θεόδωρος ὑπήντα μέν, ἀλλ' ὡς ῥομφαία ἦν.

4. Ἦν τις Γέρων ἐν Σκήτει ὀνόματι Δανιὴλ καὶ εἶχε μαθητήν· συνῴκησε δὲ τῷ μαθητῇ αὐτοῦ ἀδελφὸς ὀνόματι Σέργιος ὀλίγον χρόνον καὶ ἐκοιμήθη ἐν Κυρίῳ. Μετὰ δὲ τὴν τελευτὴν τοῦ ἀδελφοῦ Σεργίου, ἔδωκεν ὁ ἀββᾶς Δανιὴλ τῷ μαθητῇ αὐτοῦ παρρησίαν, ἠγάπα γὰρ αὐτόν. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν λαμβάνει ὁ Γέρων τὸν μαθητὴν αὐτοῦ καὶ ἀνέρχονται ἐν Ἀλεξανδρείᾳ. Ἔθος γάρ ἐστι τῷ ἡγουμένῳ τῆς Σκήτεως ἀνέρχεσθαι πρὸς τὸν πάπαν τῇ μεγάλῃ ἑορτῇ. Καὶ ἔφθασαν εἰς τὴν πόλιν περὶ ὥραν ἑνδεκάτην. Καὶ ὡς περιεπάτουν εἰς τὸν δρόμον, βλέπουσιν ἀδελφὸν γυμνόν, περιεζωσμένον καμψαρικὸν ἐπὶ τῶν ψόων αὐτοῦ. Ἦν δὲ ὁ ἀδελφὸς ἐκεῖνος προσποιούμενος σαλὸν καὶ ἦσαν μετ' αὐτοῦ καὶ ἄλλοι σαλοί· καὶ περιῆγεν ὁ ἀδελφὸς ὡς σαλὸς καὶ

3. Ροΐ = μικρό ἀγγεῖο λαδιοῦ (λαδερό) ἤ καί νεροῦ.

4. Σαλός-σαλότης: Στή ζωή τῆς Ἐκκλησίας εἶναι γνωστοί οἱ «διά Χριστόν σαλοί». Ἦσαν ἅγιοι πού ὑποκρίνονταν τόν ἀνόητο, τόν τρελό. Μέ τόν τρόπο αὐτόν ἐνέπαιζαν τόν κόσμο, ἀπέφευγαν τήν ἀνθρώπινη κενοδοξία

2. Ἐπαίνεσαν στόν ἀββᾶ Ἀντώνιο* κάποιοι ἀδελφοί ἕναν μοναχό. Καί ὁ ἀββᾶς, κάποια φορά πού τόν ἐπισκέφθηκε ὁ μοναχός, τόν δοκίμασε ἄν ὑπομένει τόν ἐξευτελισμό. Διαπίστωσε ὅμως ὅτι δέν τόν ἀντέχει, καί τοῦ εἶπε: «Μοιάζεις μέ τό χωριό πού ἀπό μπροστά εἶναι καταστόλιστο, ἐνῶ ἀπό τήν πίσω μεριά λεηλατεῖται ἀπό ληστές».

3. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀρσένιο* καί γιά τόν ἀββᾶ Θεόδωρο τῆς Φέρμης ὅτι πάνω ἀπ' ὅλα μισοῦσαν τή δόξα ἀπό μέρους τῶν ἀνθρώπων.

Γι' αὐτό ὁ ἀββᾶς Ἀρσένιος δέν συναντοῦσε εὔκολα ἄνθρωπο. Ἐνῶ ὁ ἀββᾶς Θεόδωρος συναντοῦσε βέβαια, ἀλλά ἦταν σάν ξίφος.

4. Ἦταν στή Σκήτη κάποιος Γέροντας πού ὀνομαζόταν Δανιήλ* καί εἶχε ἕνα μαθητή. Συγκατοίκησε μέ τόν μαθητή του αὐτόν ἕνας ἀδελφός, πού τόν ἔλεγαν Σέργιο, γιά μικρό χρονικό διάστημα καί πέθανε. Μετά τόν θάνατο τοῦ ἀδελφοῦ Σεργίου, ὁ ἀββᾶς Δανιήλ πῆρε πιό κοντά τόν μαθητή του, ἐπειδή τόν ἀγαποῦσε.

Κάποια μέρα λοιπόν παίρνει ὁ Γέροντας τόν μαθητή του καί πηγαίνουν στήν Ἀλεξάνδρεια. Ὑπῆρχε ἡ συνήθεια ὁ ἡγούμενος τῆς Σκήτης νά ἐπισκέπτεται τόν ἀρχιεπίσκοπο κατά τή γιορτή τοῦ Πάσχα. Ἔφθασαν στήν πόλη κατά τίς πέντε τό ἀπόγευμα καί καθώς πήγαιναν στόν δρόμο, βλέπουν ἕναν ἀδελφό γυμνό, πού κρεμόταν ἀπό τή μέση του ἕνα ροΐ[3]. Προσποιοῦνταν ὁ ἀδελφός αὐτός τόν σαλό[4] καί τόν συνόδευαν καί ἄλλοι σαλοί. Γυρνοῦσε λοιπόν ὁ

καί καθώς ἐξέθεταν τόν ἑαυτό τους, ἐπεδίωκαν τήν ἄκρα ταπείνωση γιά νά ἐπιτύχουν τήν τελείωσή τους. Οἱ πιό γνωστοί σαλοί τῆς Ἐκκλησίας εἶναι ὁ Συμεών, ὁ Ἀνδρέας καί ὁ Σάββας ὁ νέος.

ἐξηχευόμενος καὶ ἁρπάζων τὰ τῆς ἀγορᾶς καὶ παρέχων τοῖς ἄλλοις σαλοῖς. Εἶχε δὲ καὶ ὄνομα Μᾶρκος ὁ τοῦ Ἵππου· δημόσιον δέ ἐστιν ὁ Ἵππος. Ἐκεῖ ἔκαμνε Μᾶρκος ὁ σαλὸς καὶ κατέλυεν ἑκατὸν νουμία τῆς ἡμέρας καὶ ἐκεῖ ἐκοιμᾶτο εἰς τὰ σκαμνία. Ἐκ τῶν ἑκατὸν δὲ νουμίων ἠγόραζεν ἑαυτῷ ἀννόνα δώδεκα νουμίων καὶ τὰ ἄλλα παρεῖχε τοῖς ἄλλοις σαλοῖς. Πᾶσα δὲ ἡ πόλις ἐγνώριζε Μᾶρκον τὸν τοῦ Ἵππου διὰ τὴν ἐξηχίαν αὐτοῦ. Λέγει δὲ ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Ὕπαγε ἴδε, ποῦ καταλύει ὁ σαλὸς ἐκεῖνος. Ὁ δὲ ἀπελθὼν ἠρώτησε καὶ λέγουσιν αὐτῷ· Εἰς τὸν Ἵππον· σαλὸς γάρ ἐστι.

Μετὰ δὲ τῷ συντάξασθαι τῷ πάπᾳ, ὁ Γέρων τῇ ἄλλῃ ἡμέρᾳ κατ' οἰκονομίαν Θεοῦ εὗρε Μᾶρκον τὸν σαλὸν εἰς τὸ Τετράπυλον τὸ μέγα. Καὶ δραμὼν ὁ Γέρων ἐδράξατο αὐτοῦ καὶ ἤρξατο κράζειν λέγων· Ἄνδρες Ἀλεξανδρεῖς, βοηθεῖτε. Ὁ δὲ σαλὸς κατέπαιζε τοῦ Γέροντος. Συνήχθη δὲ πλῆθος πολὺ ἐπ' αὐτούς. Ὁ δὲ μαθητὴς αὐτοῦ εὐλαβηθεὶς ἀπὸ μακρόθεν ἵστατο· καὶ πάντες ἔλεγον τῷ Γέροντι· Μὴ πάσχε ὕβριν· σαλὸς γάρ ἐστι. Λέγει αὐτοῖς ὁ Γέρων· Ὑμεῖς ἐστὲ σαλοί. Σήμερον γὰρ οὐχ εὗρον ἄνθρωπον ἐν τῇ πόλει ταύτῃ, εἰ μὴ τοῦτον. Ἔφθασαν δὲ καὶ κληρικοὶ τῆς Ἐκκλησίας γνωρίζοντες τὸν Γέροντα καὶ λέγουσιν αὐτῷ· Τί ποτέ σοι ἐποίησεν ὁ σαλὸς οὗτος; Λέγει αὐτοῖς ὁ Γέρων· Ἄρατέ μοι αὐτὸν πρὸς τὸν πάπαν· καὶ ἔλαβον αὐτόν. Καὶ λέγει ὁ Γέρων τῷ πάπᾳ· Σήμερον ἐν τῇ πόλει ταύτῃ σκεῦος τοιοῦτον οὐκ ἔστιν. Ὁ δὲ πάπας γνούς, ὅτι ἀπὸ τοῦ Θεοῦ ἐπληροφορήθη

5. Νουμίον: νόμισμα μικρό, χάλκινο ἤ ἀργυρό ἤ χρυσό σέ χρήση στούς Δωριεῖς τῆς Σικελίας καί κάτω Ἰταλίας.

6. Τετράπυλον: Ἐκκλησία στήν Ἀλεξάνδρεια, στήν ὁποία πίστευαν ὅτι ἦταν θαμμένα λείψανα τοῦ προφήτη Ἰερεμία (Σωφρονίου Ἰεροσολ. *Miracula Cyri et Ioannis* 36, PG 87, 3560C. Ἰω. Μόσχου *Λειμὼν* 77, PG 87, 2929D).

ἀδελφός ὡς σαλός, παρίστανε τόν μανιακό, ἅρπαζε πράγματα τῆς ἀγορᾶς καί τά ἔδινε στούς ἄλλους σαλούς. Τόν ἔλεγαν μάλιστα ὁ Μάρκος τοῦ Ἱπποδρομίου. Τό Ἱπποδρόμιο εἶναι δημόσιος χῶρος. Ἐκεῖ δούλευε σκληρά ὁ Μάρκος ὁ σαλός καί ξόδευε τό κέρδος τῆς δουλειᾶς του, πού ἦταν ἑκατό νουμία[5] τή μέρα, καί στόν ἴδιο χῶρο κοιμόταν πάνω στίς κερκίδες. Ἀπό τά ἑκατό νουμία ἀγόραζε γιά τόν ἑαυτό του τροφή ἀξίας δώδεκα νουμίων καί τά ὑπόλοιπα τά διέθετε γιά τούς ἄλλους σαλούς. Ὅλη ἡ πόλη γνώριζε τόν Μάρκο τοῦ Ἱπποδρομίου ἐξαιτίας τῆς τρέλας του. Λέει λοιπόν ὁ Γέροντας στόν μαθητή του: «Πήγαινε καί δές ποῦ μένει ὁ σαλός ἐκεῖνος». Πῆγε ὁ μαθητής, ρώτησε καί τοῦ εἶπαν: «Στό Ἱπποδρόμιο, γιατί εἶναι τρελός».

Ἀφοῦ χαιρέτισε ὁ Γέροντας τόν ἀρχιεπίσκοπο, τήν ἄλλη μέρα ἀπό θεϊκή οἰκονομία βρῆκε τόν Μάρκο τόν σαλό στό Μέγα Τετράπυλο[6]. Ἔτρεξε ἀμέσως, τόν ἔπιασε καί ἄρχισε νά φωνάζει δυνατά: «Ἀλεξανδρινοί, τρέξτε». Ὁ σαλός περιέπαιζε τόν Γέροντα. Μαζεύτηκε πολύς κόσμος γύρω τους, ἐνῶ ὁ μαθητής του φοβισμένος στεκόταν ἀπό μακρυά. Ὅλοι ἔλεγαν στόν Γέροντα: «Μήν ἐκτίθεσαι, γιατί εἶναι τρελός». «Τρελοί εἶστε ἐσεῖς —τούς λέει ὁ Γέροντας. Γιατί σήμερα δέν βρῆκα ἄλλον ἄνθρωπο στήν πόλη αὐτή ἐκτός ἀπ' αὐτόν».

Κατέφθασαν σέ λίγο καί οἱ ἱερεῖς τῆς Ἐκκλησίας πού γνώριζαν τόν Γέροντα καί τοῦ λένε: «Τί ἄραγε σοῦ ἔκανε ὁ σαλός αὐτός;» Κι ὁ Γέροντας τούς λέει: «Πηγαῖντε τόν μου στόν ἀρχιεπίσκοπο» καί τόν πῆραν. Ὅταν ἔφτασαν στόν ἀρχιεπίσκοπο, τοῦ λέει ὁ Γέροντας: «Στήν πόλη αὐτή σήμερα ἄλλο τέτοιο σκεῦος χάριτος δέν ὑπάρχει». Ὁ ἀρχιεπίσκοπος κατάλαβε ὅτι ὁ Γέροντας εἶχε πληροφορία ἀπό τόν

περὶ αὐτοῦ ὁ Γέρων, ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας τοῦ σαλοῦ καὶ ἤρξατο ἐνορκίζειν αὐτὸν φανερῶσαι ἑαυτὸν αὐτοῖς, τίς ἐστιν. Ὁ δὲ ἐλθὼν εἰς ἑαυτὸν ὡμολόγησε λέγων ὅτι· Μοναχὸς ἤμην καὶ κατεκυριεύθην ὑπὸ τοῦ δαίμονος τῆς πορνείας ἔτη δεκαπέντε καὶ ἐλθὼν εἰς ἑαυτόν, λέγω· Μᾶρκε, δεκαπέντε ἔτη ἐδούλευσας τῷ ἐχθρῷ, δεῦρο τὰ ὅμοια δούλευσον τῷ Χριστῷ. Καὶ ἀπῆλθον εἰς τὸ Πέμπτον καὶ ἐκεῖ ἔμεινα ὀκτὼ ἔτη καὶ μετὰ τὰ ὀκτὼ ἔτη λέγω ἐν ἑαυτῷ· δεῦρο εἴσελθε εἰς τὴν πόλιν καὶ ποίησον σεαυτὸν σαλὸν ἄλλα ὀκτὼ ἔτη· καὶ ἰδοὺ σήμερον πληροῦνταί μου τὰ ὀκτὼ ἔτη τοῦ σαλοῦ. Καὶ ἔκλαυσαν ὁμοθυμαδὸν πάντες. Καὶ ἐκοιμήθη ὁ Μᾶρκος εἰς τὸ ἐπισκοπεῖον μετὰ τοῦ Γέροντος.

Καὶ ὅτε ἡμέρα ἐγένετο, λέγει ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Ἀδελφέ, φώνησόν μοι τὸν ἀββᾶν Μᾶρκον, ὥστε ποιῆσαι ἡμῖν εὐχὴν τοῦ ἀπελθεῖν εἰς τὸ κελλίον ἡμῶν. Καὶ ἀπελθὼν ὁ μαθητὴς εὗρεν αὐτὸν κοιμηθέντα ἐν Κυρίῳ. Καὶ ἐλθὼν ἀνήγγειλε τῷ Γέροντι ὅτι ὁ ἀββᾶς Μᾶρκος ἐτελειώθη· ὁ δὲ Γέρων ἀνήγγειλε τῷ πάπᾳ καὶ ὁ πάπας τῷ στρατηλάτῃ καὶ κελεύει ἄπρακτα γενέσθαι ἐν τῇ πόλει. Καὶ πέμπει ὁ Γέρων τὸν μαθητὴν αὐτοῦ ἐν τῇ Σκήτει λέγων· Κρούσατε κροῦσμα καὶ συνάξατε τοὺς Πατέρας καὶ εἴπατε αὐτοῖς· ἔλθετε καὶ εὐλογήθητε παρὰ τοῦ Γέροντος. Καὶ ἀνέβη πᾶσα ἡ Σκῆτις ἀσπροφοροῦντες μετὰ κλάδων καὶ βαΐων· ὁμοίως καὶ τὸ Ἔνατον καὶ τὰ Κελλία καὶ οἱ εἰς τὸ ὄρος τῆς Νιτρίας καὶ πᾶσαι αἱ Λαῦραι αἱ κατὰ Ἀλεξάνδρειαν, ὥστε τὸ λείψανον ἐπὶ πέντε ἡμέρας μὴ ταφῆναι καὶ ἀναγκασθῆναι αὐτοὺς σμυρνῆσαι τὸ λείψανον τοῦ μακαρί-

7. Βλ. Ζ ὑποσημ. 30 σελ. 332.

8. Σμύρνα: ρητινώδης γόμμα ἀπό ἀραβικό δένδρο εἴδους ἀκακίας, πού τήν χρησιμοποιοῦσαν γιά τήν πρόσκαιρη συντήρηση ἤ τήν ταρίχευση τῶν

Θεό γι' αὐτόν καί πέφτοντας στά πόδια τοῦ σαλοῦ ἄρχιζε νά τόν ἐξορκίζει νά ἀποκαλυφθεῖ ποιός εἶναι. Καί ὁ σαλός ἦλθε στόν ἑαυτό του καί φανέρωσε τά ἑξῆς: «Ἤμουν μοναχός καί κατακυριεύθηκα ἀπό τόν δαίμονα τῆς πορνείας γιά δεκαπέντε χρόνια. Τελικά συνῆλθα καί εἶπα: Μάρκε, δεκαπέντε χρόνια ὑπηρέτησες τόν ἐχθρό, ἐμπρός τώρα ἄλλα τόσα χρόνια ὑπηρέτησε τόν Χριστό. Καί πῆγα στό Πέμπτο καί ἔμεινα ἐκεῖ ὀκτώ χρόνια. Μετά τά ὀκτώ χρόνια εἶπα στόν ἑαυτό μου: Ἔλα τώρα, μπές στήν πόλη καί κάνε τόν σαλό ἄλλα ὀκτώ χρόνια. Καί νά, πού σήμερα συμπληρώνονται τά ὀκτώ χρόνια τοῦ σαλοῦ». Ἔκλαψαν τότε ὅλοι μαζί. Τήν νύκτα ἐκείνη κοιμήθηκε ὁ Μάρκος στό ἐπισκοπεῖο, ὅπου ἔμεινε καί ὁ Γέροντας.

Ὅταν ξημέρωσε, λέει ὁ Γέροντας στόν μαθητή του: «Ἀδελφέ, φώναξέ μου τόν ἀββᾶ Μάρκο, νά μᾶς δώσει τήν εὐχή του καί νά φύγουμε γιά τό κελί μας». Πῆγε ὁ μαθητής καί τόν βρῆκε "κοιμηθέντα ἐν Κυρίῳ". Ἐπέστρεψε καί τό ἀνέφερε στόν Γέροντα ὅτι ὁ ἀββᾶς Μάρκος "ἐτελειώθη". Πληροφόρησε ὁ Γέροντας τόν ἀρχιεπίσκοπο καί αὐτός τόν στρατηγό. Ὁ στρατηγός διέταξε τότε νά κηρυχθεῖ ἀργία στήν πόλη. Καί ὁ Γέροντας ἔστειλε τόν μαθητή του στή Σκήτη μέ τήν ἐντολή: «Χτυπῆστε τά σήμαντρα, συγκεντρῶστε τούς Πατέρες καί πεῖτε τους: ἐλᾶτε νά πάρετε εὐλογία ἀπό τόν Γέροντα».

Πράγματι ἀνέβηκε ὅλη ἡ Σκήτη στήν πόλη ντυμένοι στά λευκά[7] «μετά κλάδων καί βαΐων». Ἦρθαν ἐπίσης οἱ μοναχοί τοῦ Ἐνάτου, τῶν Κελλίων, τοῦ ὄρους τῆς Νιτρίας καί ὅλες οἱ Λαῦρες ἀπό τήν περιοχή τῆς Ἀλεξανδρείας, ὥστε νά μή μπορεῖ νά ταφεῖ τό λείψανο ἐπί πέντε μέρες καί ἀναγκάσθηκαν νά ἀλείψουν μέ σμύρνα[8] τό λείψανο τοῦ

νεκρῶν.

ου Μάρκου. Καὶ πᾶσα ἡ πόλις μετὰ κλάδων καὶ κηρῶν καὶ δακρύων τὴν γῆν ῥαντίσαντες ἐξεκόμισαν τὸ λείψανον τοῦ μακαρίου Μάρκου τοῦ σαλοῦ, δοξάζοντες καὶ αἰνοῦντες τὸν φιλάνθρωπον Θεόν, τὸν διδόντα τοσαύτην χάριν καὶ δόξαν τοῖς ἀγαπῶσιν αὐτὸν καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

5. Ἀνέβη ὁ ἀββᾶς Δανιὴλ ἀπὸ τῆς Σκήτεως μετὰ τοῦ μαθητοῦ αὐτοῦ ἐν Θηβαΐδι τῇ ἀνωτέρᾳ εἰς τὴν μνήμην τοῦ ἀββᾶ Ἀπολλὼ καὶ ἐξῆλθον ὅλοι οἱ Πατέρες εἰς συνάντησιν αὐτοῦ ὡς ἀπὸ σημείων ἑπτά· ἦσαν δὲ ὡς πεντακισχίλιοι. Καὶ ἦν ἰδεῖν αὐτοὺς ἐπὶ τῆς ἄμμου ἡπλωμένους ἐπὶ κοιλίαν, ὡς ἐν τάξει ἀγγέλων μετὰ φόβου δεχομένων τὸν Χριστόν. Οἱ μὲν γὰρ τὰ ἱμάτια αὐτῶν ἐστρώννυον ἔμπροσθεν αὐτοῦ· ἄλλοι δὲ τὰ κουκούλια αὐτῶν καὶ ἦν ἰδεῖν τὰ ἐκχυνόμενα δάκρυα ὡς πηγὰς βρυούσας.

Καὶ ἐξελθὼν ὁ ἀρχιμανδρίτης προσεκύνησεν ἑπτάκις, πρὸ τοῦ ἐλθεῖν αὐτὸν πρὸς τὸν Γέροντα· καὶ ἀσπασάμενοι ἀλλήλους ἐκάθισαν. Τότε παρεκάλει αὐτὸν ἀκοῦσαι λόγον παρ' αὐτοῦ· οὐ ταχέως γὰρ ἐλάλει τινί. Ὡς οὖν ἐκάθισαν ἔξω τοῦ κοινοβίου ἐπὶ τῆς ἄμμου διὰ τὸ μὴ χωρεῖν αὐτοὺς τὴν ἐκκλησίαν, λέγει ὁ ἀββᾶς Δανιὴλ τῷ μαθητῇ αὐτοῦ· Γράψον· Εἰ θέλετε σωθῆναι, διώξατε τὴν ἀκτημοσύνην καὶ τὴν σιωπήν· εἰς γὰρ τὰς δύο ἀρετὰς ταύτας ὅλος ὁ βίος τοῦ μοναχοῦ κρέμαται. Καὶ ὁ μαθητὴς αὐτοῦ ἔδωκέ τινι τῶν ἀδελφῶν τὰ γράμματα καὶ μεθηρμήνευσεν αὐτὰ αἰγυπτιαστί. Καὶ ὡς ἀνεγνώσθησαν τοῖς Πατράσιν, ἔκλαυσαν πάντες καὶ προέπεμπον τὸν Γέροντα· οὐδεὶς γὰρ ἐτόλμα εἰπεῖν αὐτῷ· Ποίησον ἀγάπην.

9. Ἔτσι καλεῖται ὁ ἡγούμενος ὡς ἀρχηγός τῆς μάνδρας. Βλ. Δ ὑποσημ. 18 σελ. 40.

μακάριου Μάρκου. Καί ὅλη ἡ πόλη μέ κλαδιά καί κεριά στά χέρια, ραντίζοντας τή γῆ μέ τά δάκρυά τους κήδευσαν τό λείψανο τοῦ μακάριου Μάρκου τοῦ σαλοῦ δοξάζοντας καί ὑμνώντας τόν φιλάνθρωπο Θεό πού δίνει τόσο μεγάλη χάρη καί δόξα σ' αὐτούς πού τόν ἀγαποῦν καί τώρα καί στούς ἀτελεύτητους αἰῶνες. Ἀμήν.

5. Ὁ ἀββᾶς Δανιήλ ἀπό τή Σκήτη πῆγε μαζί μέ τόν μαθητή του στήν Ἄνω Θηβαΐδα γιά τή μνήμη τοῦ ἀββᾶ Ἀπολλώ. Ἐκεῖ ἔφτασαν καί ὅλοι οἱ Πατέρες ἀπό ἀπόσταση μέχρι καί ἑφτά μίλια γιά νά τόν συναντήσουν· ἦσαν περίπου πέντε χιλιάδες.

Καί ἔβλεπε κανείς τό θέαμα νά προσκυνοῦν πεσμένοι μπρούμυτα πάνω στήν ἄμμο σάν νά 'ταν παράταξη ἀγγέλων πού μετά φόβου ὑποδέχονται τόν Χριστό. Ἄλλοι ἔστρωναν τά ράσα τους μπροστά του, ἄλλοι τά κουκούλια τους καί ἔβλεπες τά δάκρυα πού χύνονταν σάν πηγές πού ἀνάβλυζαν.

Βγῆκε λοιπόν ὁ ἀρχιμανδρίτης[9], προσκύνησε ἑπτά φορές προτοῦ πλησιάσει τόν Γέροντα, καί ἀφοῦ ἀλληλοασπάσθηκαν, κάθισαν. Τότε ἄρχισε νά τόν παρακαλεῖ ν' ἀκούσουν κάποιον λόγο ἀπό τό στόμα του· γιατί δέν μιλοῦσε εὔκολα σέ ἄνθρωπο. Ὅταν λοιπόν κάθισαν ὅλοι ἔξω ἀπό τό κοινόβιο πάνω στήν ἄμμο, γιατί δέν τούς χωροῦσε ἡ ἐκκλησία, εἶπε ὁ ἀββᾶς Δανιήλ στόν μαθητή του: «Γράψε: Ἐάν θέλετε νά σωθεῖτε, ἐπιδιῶξτε τήν ἀκτημοσύνη καί τή σιωπή. Γιατί ἀπό τίς δύο αὐτές ἀρετές κρέμεται ὅλος ὁ βίος τοῦ μοναχοῦ». Ἔδωσε κατόπιν ὁ μαθητής του σέ κάποιον ἀπό τούς ἀδελφούς αὐτά πού ἔγραψε κι ἐκεῖνος τά μετέφρασε στά αἰγυπτιακά. Ὅταν διαβάστηκαν στούς Πατέρες, ἔκλαψαν ὅλοι καί προέπεμψαν τόν Γέροντα καθώς ἔφευγε. Κανείς δέν τολμοῦσε νά τοῦ πεῖ: Κάνε ἀγάπη νά παραμείνεις.

Καὶ εἰσελθὼν εἰς Ἑρμούπολιν, λέγει τῷ μαθητῇ αὐτοῦ· Ὕπαγε, κροῦσον εἰς τὸ μοναστήριον ἐκεῖνο τῶν γυναικῶν καὶ εἰπὲ τῇ ἡγουμένῃ ὅτι ὧδε εἰμί. Ἦν γὰρ ἐκεῖ μοναστήριον γυναικῶν λεγόμενον τοῦ ἁγίου Ἱερεμίου καὶ οἰκοῦσιν ἐκεῖ ὡς τριακόσιαι ἀδελφαί· καὶ ἀπῆλθεν ὁ μαθητὴς καὶ ἔκρουσε καὶ λέγει αὐτῷ ἡ θυρωρὸς λεπτῇ φωνῇ· Σωθείης· καλῶς ἦλθες· τί κελεύεις; Καὶ λέγει αὐτῇ· Φώνει μοι τὴν ἀμμᾶν τὴν ἀρχιμανδρίτιν· θέλω γὰρ αὐτῇ λαλῆσαι. Ἡ δὲ εἶπεν· Οὐ συντυγχάνει τινί ποτε· ἀλλ' εἰπέ μοι, τί κελεύεις καὶ λέγω αὐτῇ. Ὁ δὲ εἶπεν· Εἰπὲ αὐτῇ, μοναχός τις θέλει σοι λαλῆσαι. Ἡ δὲ ἀπελθοῦσα εἶπεν αὐτῇ. Καὶ ἐλθοῦσα ἡ ἡγουμένη λεπτῇ φωνῇ, λέγει τῷ ἀδελφῷ· Ἡ ἀμμᾶς ἔπεμψε λέγουσα, τί κελεύεις; Λέγει ὁ ἀδελφός· Ἵνα ποιήσητε ἀγάπην καὶ κοιμηθῶ ὧδε μετὰ ἑνὸς Γέροντος, ὅτι ἑσπέρα ἐστί, μήποτε φάγωσιν ἡμᾶς τὰ θηρία. Λέγει αὐτῷ ἡ ἀμμᾶς· Οὐδέποτε ἀνὴρ εἰσέρχεται ὧδε· συμφέρει γὰρ ὑμῖν ὑπὸ θηρίων βρωθῆναι τῶν ἔξω καὶ μὴ τῶν ἔσω. Λέγει ὁ ἀδελφός· Ὁ ἀββᾶς Δανιὴλ ἐστιν ὁ τῆς Σκήτεως. Ἡ δὲ ἀκούσασα ἤνοιξε τοὺς δύο πυλῶνας καὶ ἐξῆλθε τρέχουσα· ὁμοίως δὲ καὶ πᾶσα ἡ συνοδεία καὶ τὰ μαφόρια αὐτῶν ἔστρωσαν ἀπὸ τοῦ πυλῶνος ἕως κάτω, ὅπου ἦν ὁ Γέρων, κυλιόμεναι εἰς τοὺς πόδας αὐτοῦ καὶ λείχουσαι τὰ πέλματα αὐτοῦ.

Καὶ εἰσελθόντων αὐτῶν ἔσω εἰς τὸ μοναστήριον, ἤνεγκεν ἡ κυρία μεγάλην λεκάνην καὶ ἐγέμισεν αὐτὴν χλιαροῦ καὶ βοτανῶν καὶ ἔστησε τὰς ἀδελφὰς δύο χοροὺς καὶ ἔνιψαν τοὺς πόδας τοῦ Γέροντος καὶ τοῦ μαθητοῦ αὐτοῦ. Καὶ λαβοῦσα καυκίον ἔφερε τὰς ἀδελφὰς καὶ ἐλάμβανεν ἐκ τῆς λεκάνης καὶ ἐπέχεεν εἰς τὰς κεφαλὰς αὐτῶν. Ὕστερον δὲ

10. Ἑρμούπολις ἡ μεγίστη: Πρωτεύουσα τοῦ αἰγυπτιακοῦ Ἑρμουπολίτη νομοῦ στά σύνορα τῆς Θηβαΐδος. Σήμερα ὀνομάζεται Ἀσμουνεΐν.

Ὅταν μπῆκαν στήν Ἑρμούπολη[10], λέει στόν μαθητή του: «Πήγαινε καί κτύπησε στό μοναστήρι ἐκεῖνο τῶν γυναικῶν καί πές στήν ἡγουμένη ὅτι εἶμαι ἐδῶ». Ὑπῆρχε ἐκεῖ ἕνα γυναικεῖο μοναστήρι πού ὀνομαζόταν τοῦ ἁγίου Ἱερεμίου καί ἔμεναν ἐκεῖ περί τίς τριακόσιες ἀδελφές.

Πῆγε ὁ μαθητής καί κτύπησε. Καί τοῦ λέει ἡ θυρωρός μέ σιγανή φωνή: «Νά 'σαι εὐλογημένος. Καλῶς ἦλθες· τί διατάζεις;» «Φώναξέ μου —τῆς λέει— τήν ἀμμᾶ, τήν ἡγουμένη, γιατί θέλω νά τῆς μιλήσω».

Κι ἐκείνη εἶπε: «Δέν συναντιέται ποτέ μέ κανέναν. Πές μου τί θέλεις καί θά τῆς τό μεταφέρω». Κι ἐκεῖνος εἶπε: «Πές της κάποιος μοναχός θέλει νά σοῦ μιλήσει». Ἡ ἀδελφή πῆγε καί τῆς τό 'πε. Ἦλθε ἡ ἡγουμένη καί μέ σιγανή φωνή λέει στόν ἀδελφό: «Ἡ ἀμμᾶς μέ ἔστειλε καί ρωτάει τί θέλεις». «Νά κάνετε ἀγάπη —ἀπαντάει ὁ ἀδελφός— νά κοιμηθοῦμε ἐδῶ μ' ἕνα Γέροντα μαζί, γιατί εἶναι βράδυ καί μή μᾶς φᾶνε τά θηρία». «Ποτέ δέν μπῆκε ἄνδρας ἐδῶ μέσα. Σᾶς συμφέρει νά σᾶς φᾶνε τά ἔξω θηρία παρά τά μέσα».

Λέει τότε ὁ ἀδελφός: «Εἶναι ὁ ἀββᾶς Δανιήλ τῆς Σκήτης*». Αὐτή μόλις ἄκουσε τό ὄνομα, ἀνοίγει διάπλατα τήν πύλη καί βγαίνει τρέχοντας. Τό ἴδιο ἔκανε καί ὅλη ἡ συνοδεία. Εὐθύς ἔστρωσαν τά μαφόρια[11] τους ἀπό τήν πύλη μέχρι κάτω, ὅπου ἦταν ὁ Γέροντας καί σέρνονταν γύρω ἀπό τά πόδια του καταφιλώντας τα.

Ὅταν μπῆκαν μέσα στό μοναστήρι, ἔφερε ἡ ἡγουμένη μιά μεγάλη λεκάνη, τή γέμισε μέ χλιαρό νερό καί βότανα καί ἀφοῦ ἔστησε τίς ἀδελφές σέ δύο ὁμάδες, ἀκολούθησε τό νίψιμο τῶν ποδιῶν τοῦ Γέροντα καί τοῦ μαθητῆ του. Κατόπιν ἔφερε κοντά τίς ἀδελφές καί παίρνοντας μ' ἕνα κύπελο νερό ἀπό τή λεκάνη τό ἔριχνε πάνω στά κεφάλια

11. Μαφόριον: Βλ. Δ ὑποσημ. 58 σελ. 86.

ἐξέχεεν εἰς τὸν κόλπον ἑαυτῆς καὶ εἰς τὴν κεφαλήν. Ἦν δὲ ἰδεῖν αὐτὰς πάσας, ὡς ἐπὶ λίθων ἀκινήτων, ἀλάλους· διὰ κρούσματος δὲ πᾶσα ἡ ἀπόκρισις αὐτῶν ἐγίνετο· αὕτη ἡ κίνησις αὐτῶν ἡ ἀγγελική. Λέγει οὖν ὁ Γέρων τῇ ἡγουμένῃ· Ἡμᾶς εὐλαβοῦνται ἢ οὕτως εἰσὶ πάντοτε αἱ ἀδελφαί; Ἡ δὲ εἶπε· Πάντοτε οὕτως εἰσὶν αἱ δοῦλαί σου, δέσποτα, ἀλλ' εὖξαι ὑπὲρ αὐτῶν. Λέγει ὁ Γέρων· Εἰπὲ τῷ μαθητῇ μου ὅτι ὡς Γότθος μοι ἐπέρχεται.

Μία δὲ ἐξ αὐτῶν ἔκειτο εἰς τὸ μέσαυλον κοιμωμένη, περιεσχισμένη καί ῥακοφοροῦσα καὶ λέγει ὁ Γέρων· Τίς ἐστιν αὕτη ἡ κοιμωμένη; Λέγει αὐτῷ μία τῶν ἀδελφῶν· Μεθύστριά ἐστι καὶ τί ποιῆσαι αὐτὴν οὐκ οἴδαμεν καὶ ἐκβάλαι αὐτὴν τοῦ μοναστηρίου φοβούμεθα τὸ κρῖμα· καὶ ἐὰν αὐτὴν ἐάσωμεν, ἐκβολίζει τὰς ἀδελφάς. Λέγει ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Λάβε τὴν λεκάνην καὶ βάλε ἐπάνω αὐτῆς. Τοῦ δὲ ποιήσαντος οὕτως, ἀνέστη ὡς ἀπὸ μέθης. Λέγει ἡ ἀμμᾶς· Δέσποτα, πάντοτε οὕτως ἐστί.

Καὶ λαβοῦσα ἡ ἡγουμένη τόν Γέροντα, εἰσήνεγκεν αὐτὸν εἰς τὸ ἀριστητήριον καὶ ἐποίησε δεῖπνον ταῖς ἀδελφαῖς λέγουσα· Εὐλόγησον τὰς δούλας σου, δέσποτα, ἵνα ἔμπροσθέν σου γεύσωνται. Ὁ δὲ εὐλόγησεν αὐτάς. Αὐτὴ δὲ καὶ ἡ δευτεραρία μόναι ἐκαθέσθησαν μετ' αὐτοῦ. Καὶ παρέθηκε καυκίον τῷ Γέροντι, ἔχον βρεκτὰ καὶ ὠμὰ λάχανα καὶ φοινίκια καὶ ὕδωρ, τῷ δὲ μαθητῇ αὐτοῦ παρέθηκε φακὴν ἑκζεστὴν καὶ μικρὸν ψωμίον καὶ εὔκρατον. Ταῖς δὲ ἀδελφαῖς παρετέθησαν φαγία πολλά, ἰχθὺς καὶ οἶνος. Καὶ ἔφαγον πάνυ καλῶς καὶ οὐδὲν ἐλάλησαν. Μετὰ δὲ τὸ ἀνα-

12. Πρέπει νά ἦταν κάτι ἀνάλογο μέ τό καμπανάκι πού χρησιμοποιεῖται σήμερα στήν τράπεζα τῶν Μοναστηριῶν.

13. Εὔκρατον: Ποτό πού γίνεται ἀπό πιπέρι, κύμινο καί ἄνισο. Βλ. Θ. Στουδίτη, PG 99, 1716B: «Πᾶσαν δὲ τὴν ἁγίαν μ' (Τεσσαρακοστὴν) εὔκρα-

τους. Τελευταῖα ἔριξε στόν κόρφο της καί στό κεφάλι της.

Καί τίς ἔβλεπες ὅλες ἀμίλητες σάν μαρμαρωμένες καί ἡ κάθε συνεννόησή τους γινόταν μέ συμβολικό κτύπημα[12] καί ὅλη ἡ κίνησή τους ἦταν ἀγγελική. Λέει λοιπόν ὁ Γέροντας στήν ἡγουμένη: «Ἐμᾶς σέβονται ἤ ἔτσι εἶναι πάντα οἱ ἀδελφές;» «Ἔτσι εἶναι πάντοτε οἱ δοῦλες σου, δέσποτα, —ἀπάντησε ἐκείνη— ἀλλά νά προσεύχεσαι γι' αὐτές». Λέγει ὁ Γέροντας: «Πές στόν μαθητή μου ὅτι μοῦ φέρεται σάν βάρβαρος».

Μιά ἀπό αὐτές τίς ἀδελφές ξαπλωμένη στήν αὐλή κοιμόταν· τά ροῦχα πού φοροῦσε ἦταν κατακουρελιασμένα. Ρωτάει ὁ Γέροντας: «Ποιά εἶναι αὐτή πού κοιμᾶται;» «Μέθυση εἶναι καί δέν ξέρουμε τί νά τήν κάνουμε —τοῦ λέει μιά ἀπό τίς ἀδελφές—. Νά τήν διώξουμε ἀπό τό μοναστήρι φοβόμαστε τήν ἁμαρτία. Κι ἄν τήν ἀφήσουμε, εἶναι κακό παράδειγμα γιά τίς ἀδελφές». Λέει τότε ὁ Γέροντας στόν μαθητή του: «Πάρε τή λεκάνη καί ἄδειασέ την ἐπάνω της». Μόλις τῆς τό 'κανε, σηκώθηκε ἐπάνω σάν ἀπό μεθύσι. Καί εἶπε ἡ ἀμμᾶς: «Δέσποτα, πάντα ἔτσι εἶναι».

Πῆρε κατόπιν ἡ ἡγουμένη τόν Γέροντα καί τόν ὁδήγησε στήν τράπεζα, ὅπου παρέθεσε δεῖπνο στίς ἀδελφές καί τοῦ εἶπε: «Εὐλόγησε, δέσποτα, τίς δοῦλες σου γιά νά δειπνήσουν ἐνώπιόν σου». Κι ἐκεῖνος τίς εὐλόγησε. Μαζί του κάθισαν ἡ ἡγουμένη μόνο καί ἡ δεύτερη στήν τάξη. Στόν Γέροντα παρέθεσαν ἕνα πιάτο μέ μουσκεμένα ὄσπρια, ὠμά χόρτα, χουρμάδες καί νερό, ἐνῶ στόν μαθητή του βρασμένη φακή, λίγο ψωμί καί εὔκρατο[13]. Στίς ἀδελφές ὅμως προσφέρθηκε ἄφθονο φαγητό, ψάρι καί κρασί. Ἔφαγαν πάρα πολύ καλά μέσα σέ ἀπόλυτη σιωπή. Ὅταν σηκώθη-

τον πίνομεν χωρὶς τῶν ἀσθενούντων ἢ γερόντων· τὸ δὲ εὔκρατον συνίσταται ἔκ τε πιπέρεως καὶ κυμίνου καὶ ἀνίσου θερμοῦ».

στῆναι αὐτούς, λέγει ὁ Γέρων τῇ ἡγουμένῃ· Τί ἐστιν, ὃ ἐποίησας; Ὅτι ἡμεῖς ὠφείλομεν φαγεῖν καλῶς καὶ ὑμεῖς τὰ καλὰ ἐφάγετε. Λέγει αὐτῷ ἡ ἀμμᾶς· Σὺ μοναχὸς εἶ καὶ τροφὴν μοναχοῦ παρέθηκά σοι· καὶ ὁ μαθητής σου μαθητὴς μοναχοῦ ἐστι καὶ παρέθηκα αὐτῷ τροφὴν μαθητοῦ μοναχοῦ. Ἡμεῖς δὲ ἀρχάριαί ἐσμεν καὶ τροφὴν ἀρχαρίων ἐφάγομεν. Λέγει αὐτῇ ὁ Γέρων· Μνησθείη ἡ ἀγάπη· ὄντως ὠφελήθημεν.

Ἀπερχομένων δὲ αὐτῶν ἀναπαῆναι, λέγει ὁ ἀββᾶς Δανιὴλ τῷ μαθητῇ αὐτοῦ· Ὕπαγε ἴδε, ποῦ κοιμᾶται ἡ μεθύστρια ὅπου εἰς τὸ μεσίαυλον ἀνέκειτο. Καὶ ἀπέρχεται καὶ βλέπει· καὶ ἔρχεται καὶ λέγει αὐτῷ ὅτι κατὰ τὴν ἔκβασιν τῶν σωτηρίων. Καὶ λέγει ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Γρηγόρησον μετ' ἐμοῦ τῇ νυκτὶ ταύτῃ. Καὶ ὅτε ἀνεπάησαν πᾶσαι αἱ ἀδελφαί, λαμβάνει ὁ Γέρων τὸν μαθητὴν αὐτοῦ καὶ ἀπέρχονται ὀπίσω τοῦ σιφαρίου καὶ θεωροῦσι τὴν μεθύστριαν ὅτι ἀνέστη καὶ ἐπέτασε τὰς χεῖρας αὐτῆς εἰς τὸν οὐρανὸν καὶ τὰ δάκρυα αὐτῆς ὡς ποταμός· καὶ τὰ χείλη κινούμενα καὶ τὰς μετανοίας ἀναπέμπουσα καὶ καταπίπτουσα εἰς τὸ ἔδαφος. Καὶ ὅτε ᾐσθάνετο μίαν τῶν ἀδελφῶν ἀπερχομένην εἰς τὰ ἀναγκαῖα, ἔρριπτεν ἑαυτὴν χαμαὶ ῥέγχουσα· οὕτως διετέλει πάσας τὰς ἡμέρας αὐτῆς.

Λέγει οὖν ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Φώνησόν μοι τὴν ἡγουμένην εὐφυῶς. Καὶ ἀπελθὼν ἐφώνησεν αὐτὴν καὶ τὴν δευτεραρίαν καὶ ὅλην τὴν νύκτα ἔβλεπον, ἃ ἐποίει. Ἡ δὲ ἡγουμένη ἤρξατο κλαίειν λέγουσα· Ὢ πόσα κακὰ ἐνεδειξάμην αὐτῇ! Καὶ ὅτε ἔκρουσε τὸ κροῦσμα, θρύλος ἐγένετο περὶ αὐτῆς εἰς τὴν ἀδελφότητα. Καὶ ᾐσθάνθη ἐκείνη καὶ ἀπέρχεται εὐφυῶς ὅπου ἦν κοιμώμενος ὁ Γέρων καὶ κλέπτει τὴν ῥάβδον αὐτοῦ καὶ τὸ ἐπιρριπτὸν καὶ ἀνοίγει εὐφυῶς τὴν θύραν τοῦ μοναστηρίου καὶ γράφει πιττάκιον

καν ἀπ' τό τραπέζι λέει ὁ Γέροντας στήν ἡγουμένη: «Τί εἶναι αὐτό πού ἔκανες; Ἐνῶ ἐμεῖς ἔπρεπε νά καλοφᾶμε, ἐσεῖς φάγατε τά καλά». Καί ἀπαντᾶ ἡ ἀμμᾶς: «Ἐσύ εἶσαι μοναχός καί σοῦ παραθέσαμε τροφή μοναχοῦ· καί ὁ μαθητής σου εἶναι μαθητής μοναχοῦ καί τοῦ παραθέσαμε τροφή μαθητῆ μοναχοῦ. Ἐνῶ ἐμεῖς εἴμαστε ἀρχάριες καί φάγαμε τροφή ἀρχαρίων». Τῆς λέει ὁ Γέροντας: «Ὁ Θεός ἄς μνησθεῖ τῆς ἀγάπης σου, ὠφεληθήκαμε πραγματικά».

Καθώς πήγαιναν νά ἀναπαυθοῦν, λέει ὁ ἀββᾶς Δανιήλ στόν μαθητή του: «Πήγαινε νά δεῖς, ποῦ κοιμᾶται ἡ μέθυση πού ἦταν ξαπλωμένη καταμεσίς τῆς αὐλῆς». Πάει ἐκεῖνος, βλέπει καί τοῦ λέει ἐπιστρέφοντας: «Δίπλα στά ἀποχωρητήρια».

«Μεῖνε ἄγρυπνος μαζί μου αὐτή τή νύκτα» λέει ὁ Γέροντας στόν μαθητή του. Καί ὅταν ὅλες οἱ ἀδελφές ἀποσύρθηκαν, παίρνει ὁ Γέροντας τόν μαθητή του καί πᾶνε πίσω ἀπό ἕνα μικρό παραπέτασμα καί βλέπουν τή μέθυση ὄρθια, μέ τά χέρια ὑψωμένα στόν οὐρανό, ποτάμι ἔτρεχαν τά δάκρυά της, τά χείλη κινοῦνταν σέ προσευχή καί ἔκανε μετάνοιες πέφτοντας στό ἔδαφος. Καί ὅταν ἀντιλαμβανόταν ὅτι κάποια ἀδελφή πήγαινε στά ἀποχωρητήρια, ξάπλωνε καταγῆς ροχαλίζοντας. Ἔτσι περνοῦσε ὅλες τίς μέρες της.

Λέει λοιπόν ὁ Γέροντας στόν μαθητή του: «Φώναξέ μου τήν ἡγουμένη μέ τρόπο». Πῆγε ὁ ἀδελφός καί φώναξε κι αὐτήν καί τή δεύτερη στήν τάξη καί ὅλη τή νύκτα παρακολουθοῦσαν αὐτά πού ἔκανε. Ἡ ἡγουμένη ἄρχισε νά κλαίει κι ἔλεγε: «Ὢ πόσα κακά τῆς προκάλεσα!».

Ὅταν χτύπησε τό σήμαντρο, βούϊξε ἡ ἀδελφότητα μέ τά νέα τῆς ἀδελφῆς. Ἐκείνη τό ἀντιλήφθηκε καί πάει μέ κατάλληλο τρόπο ὅπου κοιμόταν ὁ Γέροντας, παίρνει τό ραβδί του καί τόν μανδύα του καί ἀνοίγει τήν πόρτα τοῦ μοναστηριοῦ χωρίς νά τήν ἀντιληφθοῦν. Γράφει καί ἀφή-

καὶ βάλει εἰς τὸ κλείδωμα τῆς θύρας λέγουσα· Εὔξασθε περὶ ἐμοῦ καὶ συγχωρήσατέ μοι, εἴ τι ἔπταισα εἰς ὑμᾶς· καὶ ἐγένετο ἀφανής.

Καὶ ὅτε ἡμέρα ἐγένετο, ἐζήτησαν αὐτὴν καὶ οὐχ εὗρον· καὶ ἀπέρχονται εἰς τὸν πυλῶνα· καὶ εὑρίσκουσιν ἀνεωγμένην τὴν θύραν καὶ τὸ πιττάκιον γεγραμμένον οὕτω. Καὶ γίνεται κλαυθμὸς μέγας ἐν τῷ μοναστηρίῳ καὶ λέγει ὁ Γέρων· Ἐγὼ διὰ ταύτην ἦλθον ὧδε· τοιούτους γὰρ μεθυστὰς ἀγαπᾷ ὁ Θεός. Καὶ πᾶσα ἡ συνοδεία ἐξωμολογεῖτο τῷ Γέροντι, τὸ τί ἔπραξαν εἰς αὐτήν. Καὶ ποιήσας ὁ Γέρων εὐχὴν ταῖς ἀδελφαῖς, ἀνεχώρησαν εἰς τὸ κελλίον ἑαυτῶν δοξάζοντες καὶ εὐχαριστοῦντες τῷ Θεῷ τῷ γινώσκοντι μόνῳ, πόσους κρυπτοὺς ἔχει δούλους.

6. Εὐλόγιός τις, μαθητὴς γενόμενος τοῦ μακαριωτάτου Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως, πρεσβύτερος καὶ ἀσκητὴς μέγας νηστεύων δύο-δύο, πολλάκις δὲ καὶ τὴν ἑβδομάδα ἕλκων, ἄρτον μόνον ἐσθίων καὶ ἅλας, ἐδοξάζετο ὑπὸ τῶν ἀνθρώπων. Παρέβαλε δὲ τῷ ἀββᾷ Ἰωσὴφ εἰς τὴν Πανεφώ, προσδοκῶν τι πλέον σκληραγωγίας ἰδεῖν παρ' αὐτῷ. Καὶ δεξάμενος αὐτὸν ὁ Γέρων μετὰ χαρᾶς, εἴ τι δ' ἂν εἶχεν, ἐποίησε παράκλησιν γενέσθαι· καὶ λέγουσιν οἱ μαθηταὶ Εὐλογίου· Οὐκ ἐσθίει ὁ πρεσβύτερος πλὴν ἄρτου καὶ ἅλατος. Ὁ δὲ ἀββᾶς Ἰωσὴφ σιωπῶν ἔτρωγε. Καὶ ποιήσαντες ἡμέρας τρεῖς οὐκ ἤκουσαν αὐτῶν ψαλλόντων ἢ εὐχομένων· κρυπτὴ γὰρ ἦν ἡ ἐργασία αὐτῶν· καὶ ἐξῆλθον μὴ ὠφεληθέντες.

Κατ' οἰκονομίαν δὲ γίνεται γνόφος καὶ πλανηθέντες ὑπέστρεψαν πρὸς τὸν Γέροντα. Καὶ πρὶν αὐτοὺς κροῦσαι,

---

14. Πανεφὼ ἢ Πανέφυσις: ἀρχαία πόλη τῆς Κάτω Αἰγύπτου. Σήμερα ὀνομάζεται Μεντζάλα ἐλ Χαγίτ.

νει στήν κλειδαριά τῆς πόρτας τό ἑξῆς σημείωμα: «Προσευχηθεῖτε γιά μένα καί συγχωρεῖστε με σέ ὅ,τι σᾶς ἔφταιξα» καί ἔγινε ἄφαντη.

Σάν ξημέρωσε τήν ἀναζήτησαν ἀλλά δέν τή βρῆκαν. Πᾶνε στήν πύλη καί βρίσκουν τήν πόρτα ἀνοιχτή καί τό σημείωμα μ' αὐτά πού ἀναφέραμε. Καί ἔγινε πολύς θρῆνος στό μοναστήρι. Τότε ὁ Γέροντας εἶπε: «Ἐγώ γι' αὐτήν ἦρθα ἐδῶ. Τέτοιους μέθυσους ἀγαπᾶ ὁ Θεός». Καί ὅλη ἡ συνοδεία ἐξομολογοῦνταν στόν Γέροντα τί τῆς εἶχαν κάνει. Ἔκανε κατόπιν εὐχή ὁ Γέροντας γιά τίς ἀδελφές καί ἔφυγαν γιά τό κελί τους δοξολογώντας καί εὐχαριστώντας τόν Θεό, πού μόνο Αὐτός γνωρίζει πόσους κρυφούς δούλους ἔχει.

6. Κάποιος Εὐλόγιος πού ὑπῆρξε μαθητής τοῦ μακαριωτάτου Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως (τοῦ Χρυσοστόμου), πρεσβύτερος καί μεγάλος ἀσκητής, ἔτρωγε κάθε δύο μέρες καί πολλές φορές νήστευε ὁλόκληρη τήν ἑβδομάδα καί ἡ τροφή του ἦταν μόνο ψωμί καί ἁλάτι· καί εἶχε ἀποκτήσει μεγάλη φήμη μεταξύ τῶν ἀνθρώπων.

Αὐτός λοιπόν πῆγε στόν ἀββᾶ Ἰωσήφ στήν Πανεφώ[14] περιμένοντας νά βρεῖ σ' αὐτόν κάποια μεγαλύτερη σκληραγωγία. Ὁ Γέροντας τόν ὑποδέχθηκε μέ χαρά καί ἔστρωσε τραπέζι μ' ὅ,τι εἶχε· οἱ μαθητές ὅμως τοῦ Εὐλογίου τοῦ εἶπαν: «Ὁ πρεσβύτερος δέν τρώει τίποτε ἄλλο ἐκτός ἀπό ψωμί καί ἁλάτι». Ὁ ἀββᾶς Ἰωσήφ ἔτρωγε ἀμίλητος. Ἔμειναν τρεῖς μέρες, χωρίς νά ἀκούσουν τούς ἀδελφούς τοῦ ἀββᾶ Ἰωσήφ νά ψάλλουν ἤ νά προσεύχονται· γιατί ἡ ἐργασία τους γινόταν κρυφά ἀπό τά μάτια τῶν ἀνθρώπων. Καί ἔφυγαν χωρίς νά ὠφεληθοῦν.

Κατ' οἰκονομία Θεοῦ ὅμως ἔπεσε μιά μαυρίλα, ἔχασαν τόν δρόμο καί γύρισαν στόν Γέροντα. Ἀλλά πρίν χτυπήσουν

ἤκουσαν αὐτῶν ψαλλόντων· καὶ μείναντες ἐπὶ πολύ, ὕστερον ἔκρουσαν. Οἱ δὲ σιωπήσαντες ἀπὸ τῆς ψαλμῳδίας, ἐδέξαντο αὐτοὺς χαίροντες καὶ διὰ τὸν καύσωνα ἔβαλον οἱ μαθηταὶ Εὐλογίου εἰς τὸ βαυκάλιον ὕδωρ καὶ ἔδωκαν αὐτῷ· ἦν δὲ μεμιγμένον τῆς θαλάσσης καὶ τοῦ ποταμοῦ καὶ οὐκ ἠδυνήθη πιεῖν. Καὶ ἐν ἑαυτῷ γενόμενος, προσέπεσε τῷ Γέροντι μαθεῖν θέλων τὴν διαγωγὴν αὐτῶν, λέγων· Τί ἐστι τοῦτο, ἀββᾶ, ὅτι τὸ πρῶτον οὐκ ἐψάλλετε, ἀλλὰ νῦν μετὰ τὸ ἐξελθεῖν ἡμᾶς; Καὶ τὸ βαυκάλιον δὲ νῦν λαβὼν εὗρον τὸ ὕδωρ ἁλμυρόν. Λέγει αὐτῷ ὁ Γέρων· Ὁ ἀδελφὸς σαλός ἐστι καὶ κατὰ πλάνην ἔμιξεν αὐτὸ θαλάσσιον.

Ὁ δὲ Εὐλόγιος παρεκάλει τὸν Γέροντα, θέλων μαθεῖν τὴν ἀλήθειαν. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐκεῖνο τὸ μικρὸν ποτήριον τοῦ οἴνου τῆς ἀγάπης ἦν· τοῦτο δὲ τὸ ὕδωρ, ὃ πίνουσιν οἱ ἀδελφοὶ διαπαντός. Καὶ ἐδίδαξεν αὐτὸν τὴν διάκρισιν τῶν λογισμῶν καὶ ἔκοψεν ἀπ' αὐτοῦ πάντα τὰ ἀνθρώπινα. Καὶ γέγονεν οἰκονομικὸς καί λοιπὸν ἤσθιε πάντα τὰ παρατιθέμενα καὶ ἔμαθε καὶ αὐτὸς ἐν τῷ κρυπτῷ ἐργάζεσθαι· καὶ εἶπε τῷ Γέροντι· Ὄντως ἐν ἀληθείᾳ ἐστὶν ἡ ἐργασία ὑμῶν.

7. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας· Μέγα εἶναι νομίζω καὶ τίμιον τὸ τὴν κενοδοξίαν νικῆσαι καὶ τὸ προκόψαι εἰς γνῶσιν Θεοῦ. Ὁ γὰρ ἐμπεσὼν εἰς χεῖρας τοῦ πονηροῦ τούτου πάθους τῆς κενοδοξίας, τῆς εἰρήνης ἀλλοτριοῦται καὶ σκληρύνεται τὴν καρδίαν πρὸς τοὺς ἁγίους καὶ ἐν τῷ τέλει τῶν κακῶν αὐτοῦ εἰς ὑψηλοφροσύνην περιπίπτει, ἥτις ἐστὶν

15. Βλ. Ε ὑποσημ. 9 σελ. 118 (διάκριση).
16. Νά μπορεῖ νά ἐξοικονομεῖ τά πράγματα.

τήν πόρτα, τούς ἄκουσαν νά ψέλνουν· περίμεναν ἀρκετή ὥρα καί ὕστερα χτύπησαν. Διέκοψαν οἱ ἀδελφοί τήν ψαλμωδία καί τούς δέχθηκαν μέ χαρά. Καί ἐπειδή ἔκανε πολλή ζέστη, οἱ μαθητές τοῦ Εὐλογίου ἔβαλαν νερό στό κύπελο καί τοῦ τό πρόσφεραν. Ἀλλά τό νερό αὐτό ἦταν ἀνάμικτο ἀπό θαλασσινό καί ποταμίσιο νερό καί δέν μπόρεσε νά τό πιεῖ.

Μετά ἀπ' αὐτό συνῆλθε, ἔπεσε στά πόδια τοῦ Γέροντα ζητώντας νά μάθει τόν τρόπο τῆς μοναχικῆς τους ζωῆς. «Τί συμβαίνει, ἀββᾶ· πρίν ὅσο ἤμασταν ἐδῶ, δέν ψάλλατε, ἐνῶ τώρα μετά τήν ἀναχώρησή μας ψέλνετε; Καί τό νερό πού πῆρα τώρα μέσα στό κύπελο εἶναι ἁλμυρό».

«Δέν εἶναι στά καλά του ὁ ἀδελφός —εἶπε ὁ Γέροντας— καί ἀπό λάθος τό ἀνακάτωσε μέ θαλασσινό νερό».

Ἀλλά ὁ Εὐλόγιος παρακαλοῦσε τόν Γέροντα ζητώντας νά μάθει τήν ἀλήθεια. Τοῦ εἶπε τότε ὁ Γέροντας: «Ἐκεῖνο τό μικρό ποτήρι κρασί ἦταν τῆς ἀγάπης. Ἐνῶ αὐτό εἶναι τό νερό πού πίνουν οἱ ἀδελφοί ὅλο τόν καιρό». Τοῦ δίδαξε τότε τήν διάκριση τῶν λογισμῶν[15] καί τόν ἀπάλλαξε ἀπό κάθε ἀνθρωπάρεσκη διάθεση. Ἔτσι ἔγινε βολικός[16] καί στό ἑξῆς ἔτρωγε αὐτά πού προσφέρονταν στήν τράπεζα καί ἔμαθε κι αὐτός νά ἐργάζεται «ἐν τῷ κρυπτῷ»[17]. Καί στόν Γέροντα εἶπε: «Ὄντως ἡ ἐργασία σας εἶναι γνήσια».

7. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας*: «Νομίζω πώς εἶναι πολύ σπουδαῖο καί πολύτιμο ἀγαθό νά νικήσει κανείς τήν κενοδοξία καί νά προκόψει στή γνώση τοῦ Θεοῦ. Γιατί αὐτός πού πέφτει στήν ἐξουσία αὐτοῦ τοῦ πονηροῦ πάθους τῆς κενοδοξίας, γίνεται ξένος πρός τήν εἰρήνη, σκληραίνει ἡ καρδιά του πρός τούς ἐν Χριστῷ ἀδελφούς καί τελική συμφορά του εἶναι ὅτι πέφτει στήν ὑψηλοφροσύνη, δηλαδή

17. Πρβλ. Ματθ. 6, 1-6.

ὑπερηφανία, ἡ μήτηρ πάντων τῶν κακῶν. Σὺ δέ, ὦ πιστὲ δοῦλε τοῦ Χριστοῦ, ἔχε κρυπτὴν τὴν ἐργασίαν σου καὶ ἐν πόνῳ καρδίας φρόντισον, ἵνα μὴ διὰ τῆς ἀνθρωπαρεσκείας ἀπολέσῃς τὸν μισθὸν τῆς ἐργασίας σου. Ὁ γὰρ πρὸς ἐπίδειξιν ἀνθρώπων ποιῶν τι ἀπέχει τὸν μισθὸν αὐτοῦ, καθὼς εἶπεν ὁ Κύριος.

8. Ἔλεγε πάλιν ὁ αὐτός· Ὁ φιλῶν δοξάζεσθαι ὑπὸ τῶν ἀνθρώπων ἐκτὸς φθόνου εἶναι οὐ δύναται· ὁ δὲ ἔχων φθόνον, οὐ δύναται εὑρεῖν τὴν ταπεινοφροσύνην· ὁ δὲ τοιοῦτος παρέδωκε τὴν ἰδίαν ψυχὴν τοῖς ἐχθροῖς αὐτοῦ· καὶ οὗτοι περιέλκουσιν αὐτὴν εἰς πολλὰ κακὰ καὶ ἀναιροῦσιν αὐτήν.

9. Παρέβαλεν ἀδελφός ποτε τῷ ἀββᾷ Θεοδώρῳ τῆς Φέρμης καὶ ἐποίησε τρεῖς ἡμέρας παρακαλῶν αὐτὸν ἀκοῦσαι λόγον· ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῷ καὶ ἐξῆλθε λυπούμενος. Λέγει οὖν ὁ μαθητὴς αὐτοῦ· Πῶς οὐκ εἶπες αὐτῷ λόγον καὶ ἀπῆλθε λυπούμενος; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Φύσει οὐκ ἔλεγον αὐτῷ· πραγματευτὴς γάρ ἐστι καὶ εἰς ἀλλοτρίους λόγους θέλει δοξάζεσθαι.

10. Ἄλλος ἀδελφὸς ἠρώτησεν αὐτὸν λέγων· Θέλεις, ἀββᾶ, μὴ φάγω μικρὰς ἡμέρας ἄρτον; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Καλῶς ποιεῖς, καὶ γὰρ ἐγὼ ἐποίησα οὕτω. Καὶ λέγει αὐτῷ ὁ ἀδελφός· Θέλω οὖν βαλεῖν τὰ ἐρεβίνθιά μου εἰς τὸ ἀρτοκοπεῖον καὶ ποιῆσαι αὐτὰ ἄλευρον. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Εἰ πάλιν ὑπάγεις εἰς τὸ ἀρτοκοπεῖον, ποίησον τὸν ἄρτον σου καὶ τίς χρεία τῆς ἐξαγωγῆς ταύτης;

στήν ὑπερηφάνια, πού εἶναι ἡ μάνα ὅλων τῶν κακῶν.

Ἐσύ ὅμως, πιστέ δοῦλε τοῦ Χριστοῦ, κράτα κρυφή τήν ἐργασία σου· καί μέ πόνο καρδιᾶς φρόντισε νά μή χάσεις τόν μισθό τῆς ἐργασίας σου ἐξαιτίας τῆς ἀνθρωπαρέσκειας. Γιατί αὐτός πού κάνει κάτι γιά νά ἐπιδειχθεῖ στούς ἀνθρώπους ἀπομακρύνεται ἀπό τόν μισθό του, ὅπως εἶπε ὁ Κύριος»[18].

8. Εἶπε πάλι ὁ ἴδιος: «Αὐτός πού ἀγαπᾶ νά δοξάζεται ἀπό τούς ἀνθρώπους δέν μπορεῖ νά ἀπέχει ἀπό τόν φθόνο. Κι ὅποιος φθονεῖ, δέν μπορεῖ νά ἀποκτήσει ταπεινοφροσύνη. Ἕνας τέτοιος λοιπόν ἄνθρωπος παραδίνει τήν ἴδια του τήν ψυχή στούς ἐχθρούς του· καί αὐτοί τήν σέρνουν σέ πολλά κακά καί τελικά τήν σκοτώνουν».

9. Ἕνας ἀδελφός πῆγε κάποια μέρα στόν ἀββᾶ Θεόδωρο τῆς Φέρμης* καί ἔκανε ἐκεῖ τρεῖς μέρες παρακαλώντας τον νά τοῦ πεῖ ἕναν λόγο· ἀλλά ἐκεῖνος δέν ἀνταποκρίθηκε κι ἔφυγε ὁ ἀδελφός λυπημένος.

Λέει λοιπόν στόν Γέροντα ὁ μαθητής του: «Ἀββᾶ, πῶς δέν τοῦ 'πες ἕναν λόγο καί ἔφυγε λυπημένος;» Κι ὁ Γέροντας τοῦ 'πε: «Καί βέβαια, δέν τοῦ εἶπα, γιατί εἶναι πραγματευτής καί θέλει νά ἐπιδεικνύεται μέ ξένα λόγια».

10. Ἄλλος ἀδελφός ρώτησε τόν ἴδιο: «Ἐγκρίνεις, ἀββᾶ, νά μή φάω λίγες μέρες ψωμί;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Καλά θά κάνεις· κι ἐγώ μάλιστα τό ἔχω κάνει». Τοῦ λέει τότε ὁ ἀδελφός: «Σκέφτομαι νά πάω τά ρεβίθια μου στό ἀρτοποιεῖο καί νά τά κάνω ἀλεύρι». Κι ὁ Γέροντας τοῦ ἀποκρίνεται: «Ἄν πρόκειται πάλι νά πᾶς στό ἀρτοποιεῖο, κάνε τό ψωμί σου. Ποιός ὁ λόγος νά βγεῖς;».

---

18. Πρβλ. Ματθ. 6, 1-6.

11. Ἄλλος ἀδελφὸς ἦλθε πρὸς αὐτὸν καὶ ἤρξατο λαλεῖν καὶ ἐξετάζειν πράγματα, ὧν οὔπω τὴν ἐργασίαν ἐποίει. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Οὔπω εὗρες τὸ πλοῖον οὐδὲ τὰ σκεύη ἔβαλες, καὶ πρὸ τοῦ πλεῦσαι, ἤδη εἰς τὴν πόλιν ἐκείνην ἀπῆλθες; Πρῶτον ποίει τὸ ἔργον. Καὶ ὅταν ποιήσῃς, ἔρχῃ εἰς ἃ νῦν λαλεῖς.

12. Διηγήσατό τις τῶν Πατέρων περὶ τοῦ ἀββᾶ Θεοδώρου τοῦ τῆς Φέρμης ὅτι ἦλθόν ποτε δειλινῆς πρὸς αὐτὸν καὶ εὗρον αὐτὸν φοροῦντα κεκομμένον λεβίτωνα καὶ τὸ στῆθος αὐτοῦ γυμνὸν καὶ τὸ κουκούλιον αὐτοῦ ἔμπροσθεν. Καὶ ἰδού τις κόμης ἦλθεν ἰδεῖν αὐτόν. Καὶ κρούσαντος αὐτοῦ, ἐξῆλθεν ὁ Γέρων ἀνοῖξαι καὶ ὑπαντήσας αὐτῷ, ἐκάθισεν εἰς τὴν θύραν λαλεῖν αὐτῷ· καὶ ἔλαβον κόμμα μαφορίου καὶ ἐσκέπασα τοὺς ὤμους αὐτοῦ. Ὁ δὲ Γέρων ἐξέτεινε τὴν χεῖρα καὶ ἔρριψεν αὐτό. Καί, ὡς ἀπῆλθεν ὁ κόμης, εἶπον αὐτῷ· Ἀββᾶ, τί τοῦτο ἐποίησας; Ἦλθεν ὁ ἄνθρωπος ὠφεληθῆναι, μὴ ἵνα σκανδαλισθῇ; Καὶ λέγει μοι ὁ Γέρων· Τί λέγεις μοι, ἀββᾶ; Ἀκμὴν τοῖς ἀνθρώποις δουλεύομεν; Ἐποιήσαμεν τὴν χρείαν· παρῆλθε λοιπόν. Ὁ θέλων ὠφεληθῆναι, ὠφεληθῇ· ὁ θέλων σκανδαλισθῆναι, σκανδαλισθῇ. Ἐγὼ δέ, ὡς ἂν εὑρεθῶ, οὕτως ἀπαντῶ. Παρήγγειλε δὲ τῷ μαθητῇ αὐτοῦ λέγων· Ἐάν τις ἔλθῃ ἰδεῖν με θέλων, μὴ εἴπῃς αὐτῷ τίποτε ἀνθρώπινον, ἀλλ᾽ ἐὰν τρώγω, εἰπέ, τρώγει· ἐὰν κοιμῶμαι, εἰπέ, κοιμᾶται.

11. Πῆγε ἄλλος ἀδελφός σ᾽ αὐτόν καί ἄρχισε νά μιλάει καί νά ἐρευνᾶ γιά πράγματα, τά ὁποῖα ἀκόμη δέν εἶχε ἀρχίσει νά τά ἐφαρμόζει. Καί τοῦ λέει ὁ Γέροντας: «Ἀκόμη δέν βρῆκες τό πλοῖο, οὔτε τίς ἀποσκευές σου φόρτωσες· καί πρίν ταξιδέψεις, ἔφτασες κιόλας σ᾽ ἐκείνη τήν πόλη; Πρῶτα ἄρχισε τήν ἐργασία καί καθώς τήν κάνεις, θά φθάσεις σ᾽ αὐτά πού τώρα λές».

12. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες γιά τόν ἀββᾶ Θεόδωρο τῆς Φέρμης τά ἑξῆς: Ἐπισκέφθηκα κάποιο δειλινό τόν ἀββᾶ καί τόν βρῆκα νά φοράει ἕνα κομμένο κολόβιο πού ἄφηνε τό στῆθος του ἀκάλυπτο καί τό κουκούλι ἔπεφτε στό πρόσωπό του. Καί νά, καταφθάνει ἐκείνη τήν ὥρα κάποιος κόμης γιά νά τόν δεῖ. Χτύπησε αὐτός καί πῆγε ὁ Γέροντας νά τοῦ ἀνοίξει· ἀφοῦ τόν χαιρέτησε, κάθισε στήν πόρτα γιά νά μιλήσουν. Πῆρα τότε ἕνα κομμάτι μαφόρι[19] καί σκέπασα τούς ὤμους του. Ὁ Γέροντας ὅμως ἅπλωσε τό χέρι του καί τό ἔριξε. Ὅταν ἔφυγε ὁ κόμης, τοῦ εἶπα: «Ἀββᾶ, γιατί τό 'κανες αὐτό; Ἦλθε ὁ ἄνθρωπος νά ὠφεληθεῖ καί ὄχι γιά νά σκανδαλισθεῖ».

Καί μοῦ ἀπαντᾶ ὁ Γέροντας: «Τί μοῦ λές, ἀββᾶ; Ἀκόμη θά εἴμαστε ὑποδουλωμένοι στούς ἀνθρώπους; Κάναμε αὐτό πού χρειαζόταν. Ἀνήκει πιά στό παρελθόν. Αὐτός πού θέλει νά ὠφεληθεῖ, ἄς ὠφεληθεῖ· κι ἐκεῖνος πού θέλει νά σκανδαλισθεῖ, ἄς σκανδαλισθεῖ. Ἐγώ πάντως θά τούς συναντῶ ὅπως θά εἶμαι».

Καί παρήγγειλε στόν μαθητή του τά ἑξῆς: «Ἐάν ἔρθει κανείς καί θέλει νά μέ δεῖ, μήν τοῦ πεῖς τίποτε μέ ἀνθρωπάρεσκη διάθεση· ἐάν τρώγω, πές του τρώει καί ἐάν κοιμᾶμαι, πές του κοιμᾶται».

---

19. Μαφόριον: Βλ. Δ ὑποσημ. 58 σελ. 86.

13. Ἤκουσέ ποτε ὁ ἄρχων περὶ τοῦ ἀββᾶ Μωυσέως καὶ ἀπῆλθεν εἰς Σκῆτιν ἰδεῖν αὐτόν. Καὶ ἀνήγγειλάν τινες τῷ Γέροντι τὸ πρᾶγμα καὶ ἀνέστη φυγεῖν εἰς τὸ ἕλος. Καὶ ὑπήντησαν αὐτῷ λέγοντες· Εἰπὲ ἡμῖν, Γέρων, ποῦ ἐστιν ἡ κέλλα τοῦ ἀββᾶ Μωυσέως; Καὶ λέγει αὐτοῖς· Τί θέλετε παρ᾽ αὐτοῦ; Ἄνθρωπος σαλός ἐστι. Καὶ ἐλθὼν ὁ ἄρχων εἰς τὴν ἐκκλησίαν λέγει τοῖς κληρικοῖς· Ἐγὼ ἀκούων τὰ περὶ τοῦ ἀββᾶ Μωυσέως, κατῆλθον ἰδεῖν αὐτὸν καὶ ἰδοὺ ἀπήντησεν ἡμῖν Γέρων ὑπάγων εἰς Αἴγυπτον καὶ εἴπομεν αὐτῷ ποῦ ἐστιν ἡ κέλλα τοῦ ἀββᾶ Μωυσέως, καί λέγει ἡμῖν· Τί θέλετε ἀπ᾽ αὐτοῦ; Ἐκεῖνος σαλός ἐστιν.

Ἀκούσαντες δὲ οἱ κληρικοὶ ἐλυπήθησαν, λέγοντες· Ποταπὸς ἦν ὁ Γέρων, ὁ ταῦτα λαλήσας κατὰ τοῦ ἁγίου; Οἱ δὲ εἶπον· Γέρων παλαιὰ φορῶν, μακρὸς καὶ μελανός. Οἱ δὲ εἶπον· Αὐτός ἐστιν ὁ ἀββᾶς Μωυσῆς καὶ διὰ τὸ μὴ θέλειν ἀπαντῆσαι ὑμῖν, ταῦτα εἶπεν ὑμῖν. Καὶ πολλὰ δὲ ὠφεληθεὶς ὁ ἄρχων ἀνεχώρησεν.

14. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Μώτιον λέγων· Ἐὰν ἀπέλθω μεῖναι εἰς τόπον, πῶς θέλεις διάγω ἐκεῖ; Λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν οἰκήσῃς εἰς τόπον, μὴ θελήσῃς ἐκβαλεῖν σεαυτῷ ὄνομα ἔν τινι, ὅτι οὐκ ἐξέρχομαι εἰς σύναξιν ἢ ὅτι εἰς ἀγάπην οὐκ ἐσθίω. Ταῦτα γὰρ ὄνομα ποιοῦσι κενὸν καὶ ὕστερον εὑρίσκεις ὄχλησιν· οἱ γὰρ ἄνθρωποι, ὅπου

20. Ἕλος: Πρόκειται γιά τόπο βαλτώδη στή βαθιά ἔρημο τῆς Σκήτης, ὅπου τά κουνούπια ἦταν μεγάλα σά σφῆκες —ὅπως μᾶς πληροφορεῖ ὁ Παλλάδιος— πού μποροῦσαν νά τρυποῦν καί τό δέρμα τῶν ἀγριοχοίρων. Αὐτό καθιστοῦσε ἀπρόσιτο τόν τόπο στούς ἐπισκέπτες τῆς Σκήτης, ἐνῶ γιά τόν

13. Πληροφορήθηκε κάποτε ὁ ἄρχοντας γιά τόν ἀββᾶ Μωυσῆ* καί πῆγε στή Σκήτη νά τόν δεῖ. Κάποιοι τό ἀνέφεραν αὐτό στόν Γέροντα κι ἐκεῖνος σηκώθηκε νά καταφύγει στό Ἕλος[20].

Στόν δρόμο τόν συνάντησαν καί τοῦ λένε: «Πές μας, Γέροντα, ποῦ εἶναι τό κελί τοῦ ἀββᾶ Μωυσῆ;»

«Τί θέλετε ἀπ᾽ αὐτόν; —τούς λέει. Δέν εἶναι στά καλά του ὁ ἄνθρωπος». Πάει λοιπόν ὁ ἄρχοντας στήν ἐκκλησία καί λέει στούς κληρικούς: «Ἀκούγοντας τά σχετικά μέ τόν ἀββᾶ Μωυσῆ, πῆγα νά τόν δῶ. Στό δρόμο ὅμως συναντήσαμε ἕναν Γέροντα πού πήγαινε στήν Αἴγυπτο καί τόν ρωτήσαμε ποῦ εἶναι τό κελί τοῦ ἀββᾶ Μωυσῆ καί μᾶς εἶπε: Τί ζητᾶτε ἀπ᾽ αὐτόν, δέν εἶναι στά καλά του».

Οἱ κληρικοί λυπήθηκαν ἀκούοντας τά λόγια τοῦ ἄρχοντα καί τόν ρώτησαν: «Τί λογῆς ἦταν ὁ Γέροντας πού μίλησε ἔτσι γιά τόν ἅγιο;» Καί οἱ συνοδοί τοῦ ἄρχοντα εἶπαν: «Ἕνας γέροντας μέ παλιά ροῦχα, ψηλός καί μελαψός».

«Αὐτός εἶναι ὁ ἀββᾶς Μωυσῆς —εἶπαν οἱ κληρικοί— καί ἐπειδή δέν ἤθελε νά συναντηθεῖ μαζί σας, σᾶς τά ᾽πε αὐτά». Καί ἔφυγε ὁ ἄρχοντας πολύ ὠφελημένος.

14. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Μώτιο: «Ἐάν πάω νά μείνω σέ κάποιον τόπο, πῶς ὁρίζεις νά ζήσω ἐκεῖ;» Κι ὁ Γέροντας τοῦ λέει: «Ἐάν ἐγκατασταθεῖς σέ κάποιον τόπο, νά μήν ἐπιδιώξεις νά βγάλεις ὄνομα γιά κάτι. Παραδείγματος χάριν ὅτι δέν βγαίνω γιά σύναξη ἤ ὅτι δέν συμμετέχω σέ τραπέζι ἀγάπης. Αὐτά δημιουργοῦν ὄνομα κούφιο καί ἀργότερα θά σέ ἐνοχλοῦν· γιατί οἱ ἄνθρωποι ὅπου βροῦν τέτοια, ἐκεῖ τρέχουν».

ἀναχωρητή πού εἶχε λόγο νά ἀποφύγει τή συνάντηση μ᾽ αὐτούς, ἦταν καταφύγιο. Βλ. Παλλαδίου *Λαυσαϊκή Ἱστορία* κεφ. 18.

εὑρίσκουσι ταῦτα, ἐκεῖ τρέχουσι. Λέγει αὐτῷ ὁ ἀδελφός· Τί οὖν ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Ὅπου ἐὰν καθίσῃς, ἴσος μετὰ πάντων ἀκολούθει καὶ εἴ τι βλέπεις τοὺς εὐλαβεῖς ποιοῦντας, εἰς οὓς πληροφορῇ, ποίησον καὶ ἀναπαύῃ. Τοῦτο γὰρ ταπείνωσίς ἐστι, τὸ εἶναί σε ἐπ᾽ ἴσης αὐτῶν. Καὶ οἱ ἄνθρωποι θεωροῦντές σε ἐκβαίνοντα, ἔχουσί σε ἐπ᾽ ἴσης πάντων καὶ οὐδείς σοι ὀχλεῖ.

15. Ὁ ἀββᾶς Νισθερὼ ὁ μέγας περιεπάτει ἐν τῇ ἐρήμῳ μετὰ ἀδελφοῦ τινος. Καὶ ἰδόντες δράκοντα, ἔφυγον. Λέγει αὐτῷ ὁ ἀδελφός· Καὶ σὺ φοβεῖ, πάτερ; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Οὐ φοβοῦμαι, τέκνον, ἀλλὰ συμφέρει ὅτι ἔφυγον, ἐπεὶ οὐκ εἶχον ἐκφυγεῖν τὸ πνεῦμα τῆς κενοδοξίας.

16. Ἠθέλησέ ποτε ὁ ἄρχων τῆς χώρας ἰδεῖν τὸν ἀββᾶν Ποιμένα καὶ οὐ κατεδέχετο ὁ Γέρων. Προφάσει δὲ ὡς κακοῦργον ἐκράτησε τὸν υἱὸν τῆς ἀδελφῆς αὐτοῦ καὶ ἔβαλεν εἰς φυλακὴν λέγων· Ἐὰν ἔλθῃ ὁ Γέρων καὶ παρακαλέσῃ ὑπὲρ αὐτοῦ, ἐγὼ ἀπολύω αὐτόν. Καὶ ἦλθεν ἡ ἀδελφὴ αὐτοῦ κλαίουσα πρὸς τῇ θύρᾳ· ὁ δὲ οὐκ ἔδωκεν αὐτῇ ὅλως ἀπόκρισιν. Ἡ δὲ ἐλοιδόρει αὐτὸν λέγουσα· Χαλκόσπλαγχνε, ἐλέησόν με, ὅτι μονογενής μοί ἐστιν. Ὁ δὲ πέμψας εἶπεν αὐτῇ· Ποιμὴν τέκνα οὐκ ἐγέννησε· καὶ οὕτως ἀνεχώρησεν.

Ἀκούσας δὲ ὁ ἄρχων ἔπεμψε λέγων· κἂν λόγῳ κελεύσῃ, ἀπολύω αὐτόν. Ὁ δὲ Γέρων ἀντεδήλωσε λέγων·

21. Ἡ λ. τοῦ ἀρχαίου κειμένου δράκων χρησιμοποιεῖται στά ἁγιολογικά κείμενα μέ τήν ἔννοια μεγάλου φιδιοῦ ἤ κάποιου θηρίου ἀνθρωποφάγου. Στήν περίπτωση πού ἀναφέρει τό ἀπόφθεγμα, εὐσταθεῖ ἡ ἄποψη ὅτι ἐπρόκειτο περί κροκοδείλου.

«Τί λοιπόν νά κάνω;» ρωτάει ὁ ἀδελφός. «Ὅπου κι ἄν ἐγκατασταθεῖς —τοῦ λέει ὁ Γέροντας— νά φέρεσαι ὅμοια μέ τούς ἄλλους. Καί ὅ,τι βλέπεις νά κάνουν οἱ εὐλαβεῖς στούς ὁποίους ἔχεις ἐμπιστοσύνη, κάνε το κι ἐσύ καί θά εἶσαι ἀναπαυμένος. Γιατί αὐτό εἶναι ταπείνωση, τό νά εἶσαι σέ ἴση μοίρα μ᾽ αὐτούς. Καί οἱ ἄνθρωποι ὅταν θά σέ βλέπουν ἔξω, θά σέ θεωροῦν ἴδιο μ᾽ ὅλους καί κανείς δέν θά σέ ἐνοχλεῖ».

15. Ὁ ἀββᾶς Νισθερῶος ὁ Μέγας βάδιζε μέσα στήν ἔρημο μαζί μ᾽ ἕναν ἀδελφό. Βλέποντας ἕνα μεγάλο φίδι[21], τράπηκαν σέ φυγή. Τοῦ λέει τότε ὁ ἀδελφός: «Κι ἐσύ φοβᾶσαι, πάτερ;».

«Δέν φοβοῦμαι, παιδί μου —ἀπαντᾶ ὁ Γέροντας— ἀλλά συμφέρει πού ἔφυγα, γιατί δέν θά μποροῦσα νά ξεφύγω τόν δαίμονα τῆς κενοδοξίας».

16. Θέλησε κάποτε ὁ ἄρχοντας τῆς χώρας νά δεῖ τόν ἀββᾶ Ποιμένα*, ἀλλά ὁ Γέροντας δέν συγκατατέθηκε. Τότε συνέλαβε τόν γιό τῆς ἀδελφῆς του μέ τήν πρόφαση ὅτι εἶναι κακοποιός καί τόν ἔριξε στή φυλακή λέγοντας: «Ἐάν ἔρθει ὁ Γέροντας καί μέ παρακαλέσει νά τοῦ κάνω χάρη, θά τόν ἀφήσω ἐλεύθερο».

Πῆγε λοιπόν ἡ ἀδελφή του κλαίοντας στήν πόρτα του, ἀλλά ὁ ἀββᾶς δέν τῆς ἀποκρίθηκε διόλου. Κι ἐκείνη ἄρχισε νά τόν κακολογεῖ λέγοντας: «Σκληρόκαρδε, σπλαγχνίσου με, ἕνα καί μοναδικό τόν ἔχω». Τῆς μήνυσε τότε ὁ ἀββᾶς: «Ὁ Ποιμήν δέν γέννησε παιδιά». Καί ἔτσι ἔφυγε.

Ἀκούγοντάς το ὁ ἄρχοντας τοῦ μήνυσε πάλι: «Ἔστω καί μέ ἐντολή σου, ἐγώ θά τόν ἀπολύσω». Καί ὁ Γέροντας

᾿Εξέτασον αὐτὸν κατὰ τοὺς νόμους· καὶ εἰ ἄξιός ἐστι θανάτου, ἀποθανέτω· εἰ δὲ οὐκ ἔστιν, ὡς βούλει ποίησον.

17. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Δίδαξον τὴν καρδίαν σου τηρεῖν, ἃ διδάσκει ἡ γλῶσσά σου.

18. Εἶπε πάλιν ὅτι οἱ ἄνθρωποι ἐν τῷ τελείῳ λαλοῦσι καὶ ἐν τῷ ἐλαχίστῳ ἐργάζονται.

19. Ἔλεγεν ὁ ἀββᾶς Δανιὴλ ὅτι· Παρεβάλομέν ποτε τῷ ἀββᾷ Ποιμένι καὶ ἐγευσάμεθα ὁμοῦ. Καὶ λέγει ἡμῖν· Ὑπάγετε, ἀναπαύεσθε μικρόν, ἀδελφοί. Ἀπῆλθον οὖν οἱ ἀδελφοὶ μικρὸν ἀναπαῆναι κἀγὼ παρέμεινα λαλῆσαι αὐτῷ κατὰ μόνας καὶ ἀναστὰς ἦλθον εἰς τὴν κέλλαν αὐτοῦ. Ὡς οὖν εἶδέ με ἐρχόμενον πρὸς αὐτόν, ἔθηκεν ἑαυτὸν ὡς κοιμώμενον. Αὕτη γὰρ ἦν ἡ ἐργασία τοῦ Γέροντος, πάντα ἐν κρυπτῷ ποιεῖν.

20. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Πάντως ὁ ἐπιδικαζόμενος τῆς φιλίας τῶν ἀνθρώπων, ἀφίσταται τῆς φιλίας τοῦ Θεοῦ. Οὐκ ἔστι καλὸν τὸ πᾶσι θέλειν ἀρέσκειν· οὐαὶ γάρ, φησίν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι.

21. Παρέβαλέ ποτε ὁ ἀββᾶς Ἀδέλφιος, ὁ ἐπίσκοπος Νειλουπόλεως, πρὸς τὸν ἀββᾶν Σισόην εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου. Καὶ ὡς ἔμελλον ἐξελθεῖν, πρὶν αὐτοὺς

22. Στό ἀλφαβητικό Γεροντικό τό ἀπόφθεγμα καταλήγει στή φράση: Ὁ δὲ ἄρχων ἀκούσας τότε αὐτὸν ἀπέλυσε. Βλ. καί Δ ὑποσημ. 25 σελ. 50.
23. Λουκ. 6, 26.

τοῦ ἀντιμήνυσε: «Ἐξέτασέ τον σύμφωνα μέ τούς νόμους· καί ἐάν εἶναι ἔνοχος θανάτου, ἄς πεθάνει· ἄν ὅμως δέν εἶναι, κάνε ὅπως θέλεις»[22].

17. Εἶπε ὁ ἀββᾶς Ποιμήν*: «Μάθε στήν καρδιά σου νά ἐφαρμόζει αὐτά πού διδάσκει ἡ γλώσσα σου».

18. Εἶπε ἐπίσης: «Οἱ ἄνθρωποι παρουσιάζουν μέ πληρότητα τή διδασκαλία, ἀλλά ἐλάχιστα ἀπ' αὐτά ἐφαρμόζουν».

19. Εἶπε ὁ ἀββᾶς Δανιήλ*: «Ἐπισκεφθήκαμε κάποτε τόν ἀββᾶ Ποιμένα καί φάγαμε μαζί του. Ἔπειτα μᾶς εἶπε: Πᾶτε τώρα, ἀδελφοί, νά ἀναπαυθεῖτε λιγάκι. Καί πῆγαν οἱ ἀδελφοί νά ἀναπαυθοῦν λίγο. Ἐγώ ὅμως παρέμεινα γιά νά συζητήσω μόνος μαζί του. Σηκώθηκα καί πῆγα στό κελί του. Σάν μέ εἶδε λοιπόν νά πηγαίνω πρός αὐτόν, προσποιήθηκε ὅτι κοιμόταν. Αὐτή ἦταν ἡ ἐργασία τοῦ Γέροντα, νά τά κάνει ὅλα κρυφά».

20. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἐκεῖνος πού μέ κάθε τρόπο ἐπιδιώκει τή φιλία τῶν ἀνθρώπων, ἀπομακρύνεται ἐντελῶς ἀπό τή φιλία τοῦ Θεοῦ. Δέν εἶναι καλό νά θέλει κανείς νά ἀρέσει σέ ὅλους. Γιατί ἡ Γραφή λέει: Ἀλοίμονό σας ὅταν ὅλοι οἱ ἄνθρωποι σᾶς ἐπαινοῦν[23]».

21. Ὁ ἀββᾶς Ἀδέλφιος, ὁ ἐπίσκοπος τῆς Νειλούπολης[24], πῆγε κάποτε στόν ἀββᾶ Σισόη* πάνω στό ὄρος τοῦ ἀββᾶ Ἀντωνίου. Καί ὅταν ἐπρόκειτο νά φύγουν, πρίν ξε-

24. Νειλούπολις ἤ Νειλόπολις: Βρισκόταν στήν ὄαση Φαγιούμ, κοντά στό δυτικό βραχίονα τοῦ Νείλου. Στήν περιοχή αὐτή, ὅπου ὑπάρχουν τά ἐρείπια πολλῶν ἀρχαίων ἑλληνικῶν πόλεων, βρέθηκαν χιλιάδες πάπυροι.

ὁδεῦσαι, ἐποίησεν αὐτοὺς γεύσασθαι ἀπὸ πρωΐ· ἦν δὲ νηστεία. Καὶ ὡς ἔθηκαν τράπεζαν, ἰδοὺ ἀδελφοὶ κρούουσιν. Εἶπε δὲ τῷ μαθητῇ αὐτοῦ· Δὸς αὐτοῖς μικρὰν ἀθήραν, ὅτι ἀπὸ κόπου εἰσί. Λέγει αὐτοῖς ὁ ἀββᾶς Ἀδέλφιος· Ἄφες τέως, ἵνα μὴ εἴπωσιν ὅτι ὁ ἀββᾶς Σισόης ἀπὸ πρωὶ ἐσθίει. Καὶ προσέσχεν αὐτῷ ὁ Γέρων καὶ λέγει τῷ ἀδελφῷ· Ὕπαγε, δὸς αὐτοῖς. Ὡς οὖν εἶδον ἐκεῖνοι τὴν ἀθήραν, εἶπον· Μὴ ξένους ἔχετε; Μὴ ἄρα καὶ ὁ Γέρων μεθ' ὑμῶν ἐσθίει; Καὶ εἶπεν αὐτοῖς ὁ ἀδελφός· Ναί. Καὶ ἤρξαντο θλίβεσθαι καὶ λέγειν· Συγχωρήσῃ ὑμῖν ὁ Θεός, ὅτι τὸν Γέροντα ἀφήκατε φαγεῖν ἄρτι· ἢ οὐκ οἴδατε ὅτι ἐπὶ πολλὰς ἡμέρας ἔχει κοπιᾶσαι; Καὶ ἤκουσεν αὐτῶν ὁ ἐπίσκοπος καὶ ἔβαλε μετάνοιαν τῷ Γέροντι λέγων· Συγχώρησόν μοι, ἀββᾶ, ὅτι ἀνθρώπινόν τι ἐλογισάμην· σὺ δὲ τὸ ἔργον τοῦ Θεοῦ ἐποίησας. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Σισόης· Ἐὰν μὴ ὁ Θεὸς δοξάσῃ ἄνθρωπον, ἡ δόξα τῶν ἀνθρώπων οὐδέν ἐστιν.

22. Ἠρώτησεν ὁ ἀββᾶς Ἀμμοῦν ὁ τῆς Ῥαϊθοῦ τὸν ἀββᾶν Σισόην λέγων· Ὅταν ἀναγινώσκω Γραφήν, θέλει ὁ λογισμός μου φιλοκαλῆσαι λόγον, ἵνα ἔχω εἰς ἐπερώτημα. Λέγει αὐτῷ ὁ Γέρων· Οὐκ ἔστι χρεία, ἀλλὰ μᾶλλον ἐκ τοῦ καθαρωτάτου νοός, κτῆσαι σεαυτῷ καὶ τὸ ἀμεριμνεῖν καὶ τὸ λέγειν.

23. Ἦλθέ ποτε ὁ ἄρχων ἰδεῖν τὸν ἀββᾶν Σίμωνα. Ὁ δὲ ἀκούσας ἔλαβε τὴν ζώνην καὶ ἐπῆλθεν εἰς φοίνικα καθαρί-

κινήσουν γιά τό ταξίδι τῆς ἐπιστροφῆς, τούς ἔβαλε (ὁ ἀββᾶς Σισόης) νά φᾶνε νωρίς τό πρωΐ· καί ἦταν μέρα νηστείας. Μόλις ἔστρωσαν τραπέζι, νά, κάποιοι ἀδελφοί χτυποῦν τήν πόρτα. Εἶπε στόν μαθητή του ὁ ἀββᾶς: «Δῶσε τους λίγο κουρκούτι, γιατί θά εἶναι κουρασμένοι». Λέει τότε ὁ ἀββᾶς Ἀδέλφιος: «Ἄσ' το τώρα, νά μήν ποῦν ὅτι ὁ ἀββᾶς Σισόης τρώει ἀπό τό πρωΐ». Τόν κοίταξε ὁ Γέροντας καί εἶπε στόν ἀδελφό: «Πήγαινε καί δῶσ' τους». Ὅταν εἶδαν ἐκεῖνοι τό κουρκούτι ρώτησαν: «Μήν ἔχετε φιλοξενούμενους; Μήπως καί ὁ Γέροντας τρώει μαζί σας;» «Ναί» τούς εἶπε ὁ ἀδελφός. Ἄρχισαν τότε νά στενοχωροῦνται καί νά λένε: «Ἄς σᾶς συγχωρήσει ὁ Θεός πού ἀφήσατε τόν Γέροντα νά φάει μέρα νηστείας. Ἤ δέν ξέρετε ὅτι πολλές μέρες θά κοπιάσει γιά τήν κατάλυση αὐτή;» Σάν τούς ἄκουσε ὁ ἐπίσκοπος, ἔβαλε μετάνοια στόν Γέροντα καί εἶπε: «Συγχώρεσέ με, ἀββᾶ, πού σκέφθηκα μέ ἀνθρωπαρέσκεια. Ἐνῶ ἐσύ ἔκανες αὐτό πού ἤθελε ὁ Θεός». Κι ὁ ἀββᾶς Σισόης τοῦ εἶπε: «Ἄν ὁ Θεός δέν δοξάσει τόν ἄνθρωπο, ἡ δόξα τῶν ἀνθρώπων εἶναι ἕνα τίποτε[25]».

22. Ὁ ἀββᾶς Ἀμμούν τῆς Ραϊθοῦς* ρώτησε τόν ἀββᾶ Σισόη: «Ὅταν διαβάζω τήν ἁγία Γραφή γυρεύει ὁ λογισμός μου νά φτιάξει κάποιες ὡραῖες φράσεις, γιά νά ἔχω ν' ἀπαντῶ, ὅταν μέ ρωτοῦν». Κι ὁ Γέροντας τοῦ λέει: «Δέν χρειάζεται. Καλύτερα εἶναι ἀπό τήν καθαρότητα τοῦ νοῦ (τῆς καρδιᾶς) νά ἀποκτήσεις καί τό νά μή μεριμνᾶς τί θά πεῖς, καί σωστά νά μιλᾶς».

23. Πῆγε κάποτε ὁ ἄρχοντας νά δεῖ τόν ἀββᾶ Σίμωνα. Ὁ ἀββᾶς μόλις τό 'μαθε πῆρε τή ζώνη του καί πῆγε σέ μιά

25. Βλ. Η 6.

σαι αὐτόν. Οἱ δὲ ἐλθόντες ἔκραξαν· Γέρον, ποῦ ἐστιν ὁ ἀναχωρητής; Ὁ δὲ εἶπεν· Οὐκ ἔστιν ὧδε ἀναχωρητής. Καὶ ἀκούσαντες ἀνεχώρησαν.

24. Ἦλθεν ἄλλοτε ἕτερος ἄρχων ἰδεῖν αὐτόν, καὶ προλαβόντες οἱ κληρικοὶ εἶπον αὐτῷ· Ἀββᾶ, ἑτοίμασον σεαυτόν, ὅτι ὁ ἄρχων ἀκούσας περὶ σοῦ, ἔρχεται εὐλογηθῆναι παρὰ σοῦ. Ὁ δὲ εἶπε· Ναί, ἐγὼ ἑτοιμάζω ἑαυτόν. Καὶ φορέσας τὸ κεντώνιον αὐτοῦ καὶ λαβὼν ἄρτον καὶ τυρὸν ἐν τῇ χειρὶ αὐτοῦ, ἀναστὰς εἰς τὸν πυλῶνα ἐκάθισεν ἐσθίων. Καὶ ἐλθὼν ὁ ἄρχων μετὰ τῆς τάξεως αὐτοῦ καὶ ἰδόντες αὐτόν, ἐξουδένωσαν αὐτὸν λέγοντες· Οὗτός ἐστιν ὁ ἀναχωρητὴς περὶ οὗ ἠκούσαμεν; Καὶ εὐθέως ἀνέκαμψαν.

25. Παρέβαλεν ἀδελφὸς τῷ ἀββᾷ Σεραπίωνι, προετρέπετο δὲ αὐτὸν ὁ Γέρων εὐχὴν ποιῆσαι κατὰ τὴν συνήθειαν. Ὁ δὲ ἁμαρτωλὸν ἑαυτὸν λέγων καὶ αὐτοῦ τοῦ μοναχικοῦ σχήματος ἀλλότριον, οὐκ ἐπείθετο. Ἠθέλησε δὲ καὶ τοὺς πόδας αὐτοῦ νίψαι καὶ τοῖς αὐτοῖς χρώμενος λόγοις οὐκ ἠνέσχετο. Ἐποίησε δὲ αὐτὸν γεύσασθαι· ἐσθίειν δὲ ἤρξατο καὶ ὁ Γέρων καὶ ἐνουθέτει αὐτὸν λέγων· Τέκνον, εἰ θέλεις ὠφεληθῆναι, καρτέρησον ἐν τῷ κελλίῳ σου καὶ πρόσεχε σεαυτῷ καὶ τῷ ἐργοχείρῳ σου. Οὐ γὰρ φέρει σοι τὸ προέρχεσθαι τοσαύτην ὠφέλειαν, ὅσον τὸ καθέζεσθαι. Ὁ δὲ ταῦτα ἀκούσας ἐπικράνθη καὶ ἠλλοιώθη τὴν μορφήν, ὥστε μὴ δυνηθῆναι λαθεῖν τὸν Γέροντα. Εἶπεν οὖν αὐτῷ ὁ ἀββᾶς

φοινικιά νά τήν καθαρίσει. Ἐκεῖνοι κατέφθασαν καί τοῦ φώναξαν: «Γέροντα, ποῦ εἶναι ὁ ἀναχωρητής;».

«Δέν ὑπάρχει ἐδῶ κανένας ἀναχωρητής» τούς εἶπε ὁ Γέροντας. Ἀκούοντας τόν λόγο αὐτόν ἔφυγαν.

24. Πῆγε ἄλλη φορά ἄλλος ἄρχοντας νά τόν δεῖ. Πρόλαβαν οἱ κληρικοί καί τοῦ εἶπαν: «Ἀββᾶ, ἑτοιμάσου, γιατί ὁ ἄρχοντας ἄκουσε γιά σένα καί ἔρχεται νά πάρει τήν εὐλογία σου». Κι αὐτός εἶπε: «Ναί, ἑτοιμάζομαι». Φόρεσε λοιπόν τό χιλιομπαλωμένο ράσο του, πῆρε ψωμί καί τυρί στό χέρι καί πῆγε κι ἔκατσε στήν αὐλόπορτα τρώγοντας.

Ἦρθε ὁ ἄρχοντας μέ τή συνοδεία του καί βλέποντάς τον τόν περιφρόνησαν καί εἶπαν: «Αὐτός εἶναι ὁ ἀναχωρητής γιά τόν ὁποῖο ἀκούσαμε;» Καί εὐθύς πῆραν τόν δρόμο τῆς ἐπιστροφῆς.

25. Ἕνας ἀδελφός ἐπισκέφθηκε τόν ἀββᾶ Σεραπίωνα* καί τόν προέτρεπε ὁ Γέροντας νά κάνει προσευχή, ὅπως συνήθιζαν. Ἀλλά ὁ ἀδελφός ἀποκαλοῦσε τόν ἑαυτό του ἁμαρτωλό καί ξένο καί πρός αὐτό ἀκόμα τό μοναχικό σχῆμα καί δέν συμμορφωνόταν. Θέλησε ἐπίσης καί τά πόδια του νά πλύνει, ἀλλά χρησιμοποιώντας τά ἴδια λόγια δέν τό δέχθηκε.

Τοῦ ἔβαλε ἔπειτα νά φάει καί ἄρχισε κι ὁ Γέροντας νά τρώει καί τόν νουθετοῦσε λέγοντας: «Παιδί μου, ἐάν θέλεις νά προκόψεις, νά μένεις καρτερικά στό κελί σου, νά προσέχεις τόν ἑαυτό σου καί νά φροντίζεις τό ἐργόχειρό σου. Γιατί τό νά βγαίνεις γιά νά ἐπισκέπτεσαι ἄλλους δέν θά σέ ὠφελήσει τόσο, ὅσο τό νά μένεις στό κελί».

Ἐκεῖνος ὅμως ἀκούγοντας αὐτά πικράθηκε καί ἄλλαξε ἔκφραση ἡ ὄψη του τόσο πολύ, πού δέν μπόρεσε νά ξεφύγει τήν προσοχή τοῦ Γέροντα. Τοῦ εἶπε τότε ὁ ἀββᾶς Σεραπίων:

Σεραπίων· Μέχρι τοῦ νῦν ἔλεγες ἁμαρτωλός εἰμι καὶ κατηγόρεις σεαυτοῦ καὶ τοῦ ζεῖν ἀνάξιον εἶναι, καὶ ἐπειδὴ μετὰ ἀγάπης ὑπέμνησά σε, τοσοῦτον ἐθηριώθης; Ἐὰν οὖν θέλεις ταπεινὸς εἶναι, τὰ παρ' ἄλλων ἐπαγόμενά σοι μάθε φέρειν γενναίως καὶ μὴ ῥήματα ἀργὰ κάτεχε σεαυτῷ. Ταῦτα ἀκούσας ὁ ἀδελφός, μετενόησε τῷ Γέροντι καὶ πολλὰ ὠφεληθεὶς ἀνεχώρησεν.

26. Εἶπεν ἡ ἁγία Συγκλητική· Ὥσπερ θησαυρὸς φανερωθεὶς σπανίζεται, οὕτως ἀρετὴ φανερουμένη καὶ δημοσιευομένη ἀφανίζεται· καὶ ὥσπερ ὁ κηρὸς τήκεται ἀπὸ προσώπου πυρός, οὕτω καὶ ψυχὴ ἀπὸ ἐπαίνων διαχεῖται καὶ ἀποβάλλει τὸν τόνον.

27. Εἶπε πάλιν· Ὥσπερ οὐκ ἐγχωρεῖ κατὰ τὸ αὐτὸ καὶ βοτάνην εἶναι καὶ σπέρμα, οὕτως ἀδύνατον τῆς κοσμικῆς ἡμῖν δόξης περικειμένης, καρπὸν οὐράνιον ποιῆσαι.

28. Καθημένου ποτὲ τοῦ ἀββᾶ Τιθόη, ἦν ἀδελφὸς ἐγγὺς αὐτοῦ, καὶ μὴ εἰδὼς ἐστέναξε καὶ οὐκ ἐνόησεν ὅτι ἦν ἀδελφὸς ἐγγὺς αὐτοῦ· ἦν γὰρ ἐν ἐκστάσει. Καὶ ποιήσας μετάνοιαν ἔλεγε· Συγχώρησόν μοι, ἀδελφέ, ὅτι οὔπω γέγονα μοναχός, ὅτι ἐστέναξα ἔμπροσθέν σου.

29. Ἔλεγον περί τινος Γέροντος ἐν τοῖς κάτω μέρεσιν ὅτι ἐκάθητο ἡσυχάζων καὶ εἷς κοσμικὸς πιστὸς διηκόνει αὐτόν. Συνέβη δὲ τὸν υἱὸν τοῦ κοσμικοῦ ἀσθενῆσαι καὶ πολλὰ παρακαλέσας τὸν Γέροντα, ἠξίου, ὥστε ἐλθεῖν καὶ ποιῆσαι εὐχὴν περὶ τοῦ παιδίου. Καὶ ἀναστὰς ὁ Γέρων,

«Μέχρι τώρα ἔλεγες εἶμαι ἁμαρτωλός καί κατηγοροῦσες τόν ἑαυτό σου ὅτι εἶσαι ἀνάξιος καί νά ζεῖς ἀκόμη· καί ἐπειδή ἀπό ἀγάπη σέ συμβούλεψα, ἀγρίεψες τόσο; Ἄν λοιπόν θέλεις νά εἶσαι ταπεινός, μάθε νά δέχεσαι μέ γενναιότητα αὐτά πού σοῦ προξενοῦν οἱ ἄλλοι καί νά μή συνηθίζεις νά λές κούφια λόγια». Μετά ἀπ' αὐτά πού ἄκουσε ὁ ἀδελφός, ἔβαλε μετάνοια στόν Γέροντα καί ἔφυγε πολύ ὠφελημένος.

26. Εἶπε ἡ ἁγία Συγκλητική*: «Ὅπως ἀκριβῶς ὁ θησαυρός ὅταν βγεῖ στό φανερό, μέ τόν καιρό λιγοστεύει καί τελικά ἐξαφανίζεται, κατά τόν ἴδιο τρόπο καί ἡ ἀρετή, ὅταν γίνεται γνωστή καί κοινοποιεῖται, χάνεται. Καί ὅπως τό κερί λυώνει, ὅταν πλησιάσει τή φωτιά, τό ἴδιο καί ἡ ψυχή διασκορπίζεται ἀπό τούς ἐπαίνους καί χαλαρώνει».

27. Εἶπε ἐπίσης: «Ὅπως δέν εἶναι δυνατόν συγχρόνως νά ἔχουμε καί τό φυτό καί τόν σπόρο, ἔτσι εἶναι ἀδύνατο νά παράγουμε οὐράνιο καρπό, ὅταν μᾶς περιβάλλει ἡ κοσμική δόξα».

28. Κάποια φορά πού καθόταν ὁ ἀββᾶς Τιθόης, κοντά ἐκεῖ ἦταν ἕνας ἀδελφός ἀλλά δέν τό ἤξερε αὐτό καί στέναξε· καί δέν κατάλαβε ὅτι ἦταν ὁ ἀδελφός δίπλα, γιατί βρισκόταν σέ ἔκσταση. Κατόπιν ὅμως τοῦ ἔβαλε μετάνοια καί εἶπε: «Συγχώρεσέ με, ἀδελφέ, δέν ἔγινα ἀκόμη μοναχός, ἀφοῦ στέναξα μπροστά σου».

29. Ἔλεγαν γιά κάποιον Γέροντα στίς πεδινές περιοχές ὅτι μόναζε ὡς ἡσυχαστής καί ἕνας λαϊκός πιστός τόν ἐξυπηρετοῦσε. Καί συνέβη κάποτε νά ἀρρωστήσει ὁ γιός τοῦ λαϊκοῦ καί ζητοῦσε ἀπό τόν Γέροντα παρακαλώντας τον πολύ, νά πάει στό σπίτι του καί νά κάνει εὐχή γιά τό παιδί. Σηκώθηκε πράγματι ὁ Γέροντας καί ξεκίνησε μαζί

ἐξῆλθε σὺν αὐτῷ· καὶ δραμὼν ὁ κοσμικὸς εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ λέγων· Δεῦτε εἰς τὴν ὑπάντησιν τοῦ ἀναχωρητοῦ. Καὶ ἰδὼν αὐτοὺς ὁ Γέρων ἀπὸ μακρόθεν ἐξερχομένους μετὰ λαμπάδων, ἐνόησε καὶ ἐκδυσάμενος τὰ ἱμάτια αὐτοῦ, ἔβαλεν εἰς τὸν ποταμὸν καὶ ἤρξατο πλύνειν στήκων γυμνός. Ὁ δὲ διακονητὴς αὐτοῦ ἰδὼν ᾐσχύνθη καὶ παρακαλέσας τοὺς ἀνθρώπους λέγει· Ἀνακάμψατε· ὁ γὰρ Γέρων ἐξέστη. Καὶ ἐλθὼν πρὸς αὐτὸν εἶπεν αὐτῷ· Ἀββᾶ, τί τοῦτο ἐποίησας; Πάντες γὰρ ἔλεγον ὅτι δαιμόνιον ἔχει ὁ Γέρων. Ὁ δὲ λέγει αὐτῷ· Κἀγὼ τοῦτο ἤθελον ἀκοῦσαι.

30. Ποτὲ εἰς τὰ Κελλία, ἑορτῆς γενομένης, ἤσθιον οἱ ἀδελφοὶ ἐν τῇ ἐκκλησίᾳ. Ἦν δὲ ἐκεῖ ἀδελφὸς καὶ εἶπε τῷ ὑπηρετοῦντι· Οὐκ ἐσθίω ἕψημα ἀλλὰ ἅλας. Καὶ ἐφώνησεν ὁ διακονῶν ἄλλῳ ἀδελφῷ ἔμπροσθεν τοῦ λαοῦ λέγων· Ὁ δεῖνα ἀδελφὸς οὐκ ἐσθίει ἕψημα· φέρε αὐτῷ ἅλας. Καὶ ἀνέστη τις τῶν Γερόντων καὶ εἶπεν αὐτῷ· Συνέφερέ σοι σήμερον ἐν τῷ κελλίῳ σου φαγεῖν κρέα, ἢ ἀκοῦσαι τῆς φωνῆς ταύτης ἐνώπιον τοῦ λαοῦ.

31. Ἀδελφὸς ἀσκητὴς μὴ ἐσθίων ἄρτον, παρέβαλέ τινι μεγάλῳ Γέροντι. Εὐκαίρησαν δὲ καὶ ἄλλοι ξένοι ἐκεῖ καὶ ἐποίησεν ὁ Γέρων μικρὸν ἕψημα δι' αὐτούς. Καὶ ὡς ἐκάθισαν φαγεῖν, ὁ ἀσκητὴς παρέθηκεν ἑαυτῷ μόνα ἐρεβίνθια βρεκτὰ καὶ ἤσθιε. Καὶ ὡς ἀνέστησαν ἐκ τοῦ φαγεῖν, ἔλαβεν αὐτὸν ὁ Γέρων κατ' ἰδίαν καὶ εἶπεν αὐτῷ· Ἀδελφέ, ἐὰν παραβάλῃς τινί, μὴ ἔκφαινέ σου τὴν πολιτείαν· εἰ δὲ θέλεις

του. Ὅταν κόντεψαν, ἔτρεξε ὁ λαϊκός στό σπίτι του καί εἶπε: «Ἐλᾶτε νά προϋπαντήσετε τόν ἀναχωρητή».

Ὅταν ὁ Γέροντας τούς εἶδε ἀπό μακριά νά βγαίνουν μέ λαμπάδες στά χέρια, κατάλαβε καί βγάζοντας τά ροῦχα του τά ἔριξε στό ποτάμι καί ἄρχισε νά τά πλένει ὄντας γυμνός. Ὁ διακονητής του βλέποντάς τον ντράπηκε καί δικαιολογούμενος στούς ἀνθρώπους εἶπε: «Γυρίστε πίσω, γιατί ὁ Γέροντας τρελάθηκε». Πλησίασε κατόπιν τόν Γέροντα καί τοῦ λέει: «Ἀββᾶ, γιατί τό 'κανες αὐτό; Ὅλοι εἶπαν ὅτι εἶναι δαιμονισμένος ὁ Γέροντας». Καί ἀποκρίθηκε ἐκεῖνος: «Κι ἐγώ αὐτό ἤθελα νά ἀκούσω».

30. Κάποτε στά Κελλία πού ὑπῆρχε γιορτή οἱ ἀδελφοί ἔτρωγαν στήν ἐκκλησία. Ἦταν ἐκεῖ ἕνας ἀδελφός καί εἶπε στόν μοναχό πού διακονοῦσε: «Δέν τρώγω μαγειρεμένο φαγητό ἀλλά ἁλάτι». Καί ὁ διακονητής μέ ὑψωμένη τή φωνή εἶπε ἐνώπιον ὅλων σέ ἄλλον ἀδελφό: «Ὁ δείνα ἀδελφός δέν τρώει φαγητό μαγειρεμένο· φέρε του ἁλάτι».

Σηκώθηκε τότε κάποιος ἀπό τούς Γέροντες καί τοῦ εἶπε: «Θά σοῦ συνέφερε νά 'τρωγες στό κελί σου σήμερα κρέας, παρά ν' ἀκούσεις τόν λόγο αὐτόν ἐνώπιον ὅλων»[26].

31. Ἕνας ἀδελφός, ἀσκητής πού δέν ἔτρωγε ψωμί, ἐπισκέφθηκε κάποιον ὀνομαστό Γέροντα. Βρέθηκαν ἐκεῖ τή μέρα ἐκείνη κι ἄλλοι ξένοι καί μαγείρεψε ὁ Γέροντας γιά χάρη τους λίγο φαγητό. Ὅταν κάθισαν νά φᾶνε, ὁ ἀσκητής ἔβαλε γιά τόν ἑαυτό του μόνο ρεβίθια μουσκεμένα καί ἔτρωγε. Ὅταν σηκώθηκαν ἀπ' τό τραπέζι, τόν πῆρε ἰδιαίτερα ὁ Γέροντας καί τοῦ 'πε: «Ἀδελφέ, ὅταν ἐπισκέπτεσαι κάποιον, μή δείχνεις τή μοναχική σου ἄσκηση. Ἄν, πάλι,

26. Πρβλ. Η 19.

σου τὴν πολιτείαν κρατεῖν, κάθου εἰς τὸ κελλίον σου καὶ μηδαμοῦ ἐξέρχου. Ὁ δὲ παιδευθεὶς τῷ λόγῳ τοῦ Γέροντος, γέγονε κοινωνικὸς ἐν τῇ ἀπαντήσει τῶν ἀδελφῶν.

32. Εἶπέ τις τῶν Πατέρων ὅτι παρὰ τὸν ποταμὸν πλησίον τῆς κώμης, ἔνθα ὁ μακάριος Σιλουανὸς διῆγεν ἐν Παλαιστίνῃ, ἔμενεν ἀδελφὸς προσποιούμενος μωρίαν. Ὅταν γὰρ ἀπήντα αὐτῷ ἀδελφός, εὐθέως ἐγέλα. Καὶ λοιπὸν ἐκ τούτου κατελίμπανεν αὐτὸν καὶ ἀπήρχετο. Συνέβη δὲ τρεῖς τῶν Πατέρων παραβαλεῖν τῷ ἀββᾷ Σιλουανῷ· καὶ μετὰ τὸ ποιῆσαι εὐχήν, παρεκάλεσαν αὐτὸν ἀποστεῖλαί τινα σὺν αὐτοῖς, ὅπως θεάσωνται τοὺς ἀδελφοὺς ἐν τοῖς κελλίοις αὐτῶν· καὶ ἔλεγον τῷ Γέροντι· Ποίησον ἀγάπην καὶ παράγγειλον τῷ ἀδελφῷ, ἵνα πρὸς πάντας λάβῃ ἡμᾶς. Ὁ δὲ Γέρων εἶπε τῷ ἀδελφῷ ἐπὶ αὐτῶν ὅτι· Πρὸς πάντας τοὺς Πατέρας ἆρον αὐτούς. Κατ᾽ ἰδίαν δὲ παρήγγειλεν αὐτῷ λέγων· Βλέπε, μὴ λάβῃς αὐτοὺς πρὸς τὸν σαλὸν ἐκεῖνον, ἵνα μὴ σκανδαλισθῶσι. Διερχόμενοι δὲ τὰ κελλία τῶν ἀδελφῶν ἔλεγον οἱ Πατέρες τῷ ὁδηγοῦντι αὐτούς· Ποίησον ἀγάπην, πρὸς πάντας ἆρον ἡμᾶς. Καὶ ἔλεγεν αὐτοῖς· Καλῶς. Ὁ δὲ οὐκ ἔλαβεν αὐτοὺς εἰς τὸ κελλίον τοῦ σαλοῦ κατὰ τὸν λόγον τοῦ Γέροντος.

Ὡς δὲ ὑπέστρεψαν εἰς τὸν Γέροντα, εἶπεν αὐτοῖς· Εἴδετε τοὺς ἀδελφούς; Οἱ δὲ εἶπον· Ναί· καὶ εὐχαριστοῦμεν. Τοῦτο δὲ λυπούμεθα, ὅτι πρὸς πάντας οὐκ ἀπήλθομεν. Καὶ λέγει ὁ Γέρων τῷ λαβόντι αὐτούς· Οὐκ εἶπόν σοι ὅτι πρὸς πάντας ἆρον αὐτούς; Καὶ εἶπεν ὁ ἀδελφός· Οὕτως ἐποίησα, πάτερ. Πάλιν οὖν ἐξερχόμενοι οἱ Πατέρες, ἔλεγον τῷ Γέροντι· Ὄντως εὐχαριστοῦμεν, ὅτι εἴδομεν τοὺς ἀδελ-

27. Βλ. Η ὑποσημ. 4 σελ. 420.

θέλεις νά κρατᾶς ὁπωσδήποτε τήν ἄσκησή σου, νά κάθεσαι στό κελί σου καί νά μήν πηγαίνεις πουθενά». Ὁ ἀσκητής πῆρε ἕνα καλό μάθημα ἀπό τά λόγια τοῦ Γέροντα καί στό ἑξῆς στίς συναντήσεις μέ τούς ἀδελφούς δέν ξεχώριζε.

32. Εἶπε κάποιος ἀπό τούς Πατέρες ὅτι στίς ὄχθες τοῦ ποταμοῦ, κοντά στό χωριό ὅπου ὁ μακάριος Σιλουανός* ζοῦσε στήν Παλαιστίνη, κατοικοῦσε ἕνας ἀδελφός πού προσποιοῦνταν τόν σαλό[27]. Ἔτσι, κάθε φορά πού τόν συναντοῦσε κάποιος ἀδελφός, ἄρχιζε καί γελοῦσε. Γι᾽ αὐτό λοιπόν κι ἐκεῖνος τόν ἄφηνε κι ἔφευγε.

Συνέβη κάποια φορά νά ἐπισκεφθοῦν τόν ἀββᾶ Σιλουανό τρεῖς Πατέρες. Καί ἀφοῦ ἔκαναν προσευχή, τόν παρακάλεσαν νά στείλει κάποιον μαζί τους γιά νά δοῦν τούς ἀδελφούς μέσα στά κελιά τους. Εἶπαν ἐπίσης στόν Γέροντα: «Κάνε ἀγάπη καί δῶσε ἐντολή στόν ἀδελφό νά μᾶς πάει σ᾽ ὅλους». Καί ὁ Γέροντας ἐνώπιόν τους εἶπε στόν ἀδελφό: «Νά πᾶς τούς Πατέρες σέ ὅλους». Ἰδιαίτερα ὅμως τοῦ παρήγγειλε: «Πρόσεξε, νά μήν τούς πᾶς σ᾽ ἐκεῖνον τόν σαλό, γιά νά μή σκανδαλισθοῦν».

Καθώς περνοῦσαν ἀπ᾽ τά κελιά τῶν ἀδελφῶν οἱ Πατέρες, ἔλεγαν στόν ὁδηγό τους: «Δεῖξε ἀγάπη νά μᾶς πᾶς σέ ὅλους». Καί ἀπαντοῦσε ἐκεῖνος: «Βεβαίως». Ὅμως δέν τούς πῆγε στό κελί τοῦ σαλοῦ σύμφωνα μέ τήν ἐντολή τοῦ Γέροντα.

Ὅταν ἐπέστρεψαν στόν Γέροντα τούς εἶπε: «Εἴδατε τούς ἀδελφούς;» «Ναί —τοῦ εἶπαν— καί εὐχαριστοῦμε. Ἀλλά λυπούμαστε πού δέν πήγαμε σ᾽ ὅλους». Ρωτάει τότε ὁ Γέροντας τόν ὁδηγό τους: «Δέν σοῦ εἶπα νά τούς πᾶς σέ ὅλους;». «Ἔτσι ἔκανα, πάτερ» ἀπάντησε ὁ ἀδελφός. Ἀλλά καί τήν ὥρα πού ἔφευγαν οἱ Πατέρες εἶπαν πάλι στόν Γέροντα: «Ἀληθινά σᾶς εἴμαστε εὐγνώμονες, πού εἴδαμε

φούς, ἀλλὰ τοῦτο μόνον λυπούμεθα, ὅτι οὐκ εἴδομεν πάντας. Τότε κατ' ἰδίαν λέγει ὁ ἀδελφὸς τῷ Γέροντι· Πρὸς τὸν σαλὸν ἀδελφὸν οὐκ ἔλαβον αὐτούς.

῾Ως οὖν ἀπῆλθον οἱ Πατέρες, διακρίνας καθ' ἑαυτὸν ὁ Γέρων τὸ γεγονός, ἀπέρχεται πρὸς ἐκεῖνον τὸν ἀδελφόν, τὸν ὑποκρινόμενον τὴν μωρίαν· καὶ μὴ κρούσας, ἀλλ' ἠρέμα ἀνοίξας τὸ σισόγριν, αἰφνιδιάζει τὸν ἀδελφὸν καὶ εὑρίσκει αὐτὸν καθεζόμενον εἰς τὸ κάθισμα καὶ δύο σπυρίδια, ἓν ἐκ δεξιῶν αὐτοῦ καὶ ἓν ἐξ εὐωνύμων. Καὶ ὡς εἶδε τὸν Γέροντα, κατὰ τὸ ἔθος ἤρξατο γελῶν. Λέγει αὐτῷ ὁ Γέρων· Ἄφες ταῦτα ἄρτι καὶ εἰπέ μοι τὸ κάθισμά σου. ῾Ο δὲ πάλιν ἐγέλα. Λέγει αὐτῷ ὁ ἀββᾶς Σιλουανός· Οἶδας ὅτι χωρὶς Σαββάτου καὶ Κυριακῆς οὐκ ἐξέρχομαι ἐκ τοῦ κελλίου, ἀλλὰ νῦν ἦλθον εἰς τὸ μέσον τῆς ἑβδομάδος· ὁ γὰρ Θεὸς ἀπέστειλέ με πρὸς σέ. Φοβηθεὶς οὖν ἔβαλε μετάνοιαν τῷ Γέροντι καὶ λέγει αὐτῷ· Συγχώρησόν μοι, πάτερ, ὅτι κατὰ πρωὶ καθέζομαι ἔχων τὰς ψήφους ταύτας ἔμπροσθέν μου. Καὶ ἐὰν ἐπέλθῃ μοι λογισμὸς ἀγαθός, βάλω ψῆφον εἰς τὸ δεξιὸν μαλάκιον, ἐὰν δὲ πονηρός, εἰς τὸ ἀριστερόν. ῾Εσπέρας οὖν μετρῶ τὰς ψήφους, καὶ ἐὰν εὑρεθῶσι τοῦ δεξιοῦ πλείους, ἐσθίω, ἐὰν δὲ τοῦ ἀριστεροῦ, οὐκ ἐσθίω· καὶ τῇ ἐπαύριον πάλιν, ἐὰν ἐπέλθῃ μοι πονηρὸς λογισμός, λέγω ἐμαυτῷ· Βλέπε τί ποιεῖς, ὅτι πάλιν οὐκ ἐσθίεις. Ἀκούσας οὖν ταῦτα ὁ ἀββᾶς Σιλουανός, ἐθαύμασε καὶ εἶπεν· Ὄντως οἱ παραβαλόντες Πατέρες ἅγιοι ἄγγελοι ἦσαν τὴν ἀρετὴν τοῦ ἀδελφοῦ θέλοντες δημοσιεῦσαι· καὶ γὰρ πολλὴ χαρὰ καὶ εὐφροσύνη πνευματικὴ γέγονέ μοι τῇ παρουσίᾳ αὐτῶν.

33. Εἶπε Γέρων· Ἐὰν παραβάλῃς πούποτε, μὴ θελήσῃς

τούς ἀδελφούς, γιά ἕνα μόνο λυπούμαστε πού δέν τούς εἴδαμε ὅλους». Παίρνει τότε ὁ ἀδελφός τόν Γέροντα ἰδιαίτερα καί τοῦ λέει: «Στόν σαλό ἀδελφό δέν τούς πῆγα».

Ἀφοῦ ἔφυγαν οἱ Πατέρες, ὁ Γέροντας καλοσκέφτηκε αὐτό πού ἔγινε· σηκώνεται λοιπόν καί πάει στόν ἀδελφό πού προσποιοῦνταν τόν σαλό. Χωρίς νά χτυπήσει, ἀνοίγει σιγά-σιγά τό μάνδαλο καί αἰφνιδιάζει τόν ἀδελφό.

Ἐκεῖνος καθισμένος ἔκανε τήν πνευματική του ἐργασία[28] καί εἶχε δύο καλαθάκια, τό ἕνα ἀπό τά δεξιά καί τό ἄλλο ἀπό τά ἀριστερά. Σάν εἶδε τόν Γέροντα, ἄρχισε —ὅπως συνήθιζε— νά γελάει. Κι ὁ Γέροντας τοῦ λέει: «Ἄσ' τα τώρα αὐτά καί πές μου ποιά εἶναι ἡ ἄσκησή σου». Ἐκεῖνος πάλι γελοῦσε. Συνέχισε ὁ ἀββᾶς Σιλουανός: «Τό ξέρεις πολύ καλά ὅτι ἐκτός Σαββάτου καί Κυριακῆς δέν βγαίνω ἀπό τό κελί· ἀλλά τώρα ἦρθα μεσοβδόμαδα, γιατί ὁ Θεός μ' ἔστειλε ἐδῶ». Φοβήθηκε ὁ ἀδελφός καί βάζοντας μετάνοια στόν Γέροντα τοῦ λέει: «Συγχώρεσέ με, πάτερ. Κάθε πρωί ἀρχίζω τήν πνευματική μου ἐργασία ἔχοντας τά χαλίκια αὐτά μπροστά μου. Ἐάν μοῦ ἔρθει καλός λογισμός, ρίχνω ἕνα χαλίκι στό δεξιό ζεμπίλι, ἄν ἔρθει πονηρός λογισμός, ρίχνω στό ἀριστερό. Τό ἀπόγευμα μετρῶ τά χαλίκια· καί ἄν τοῦ δεξιοῦ εἶναι περισσότερα, τρώγω· ἄν ὅμως τοῦ ἀριστεροῦ εἶναι περισσότερα, δέν τρώγω. Τήν ἑπόμενη μέρα πάλι ἐάν μοῦ ἔρθει πονηρός λογισμός, λέγω στόν ἑαυτό μου: Πρόσεξε τί κάνεις, γιατί πάλι δέν θά φᾶς». Θαύμασε σάν τ' ἄκουσε ὁ ἀββᾶς Σιλουανός*, καί εἶπε: «Πράγματι οἱ Πατέρες πού ἦρθαν σήμερα ἅγιοι ἄγγελοι ἦταν, πού ἤθελαν νά κάνουν γνωστή τήν ἀρετή τοῦ ἀδελφοῦ. Γιατί καί μέ τήν παρουσία τους ἔνιωσα μεγάλη χαρά καί εὐφροσύνη πνευματική».

33. Εἶπε κάποιος Γέροντας: «Ὁπουδήποτε κι ἄν πᾶς,

28. Γιά τήν λ. «κάθισμα» τοῦ ἀρχ. κειμένου βλ. Ε ὑποσημ. 28 σελ. 152.

δεῖξαι τὴν πολιτείαν σου ἢ ὅτι οὐ τρώγω ἔλαιον ἢ ἕψημα ἢ ὀψάριον· μόνον δὲ τὸν οἶνον μὴ καταλύσῃς, ἐὰν φοβῆσαι τὸν πόλεμον· κἂν μέμψωνταί σέ τινες, μὴ μέλῃ σοι.

34. Εἶπε πάλιν· Ἐὰν παραβάλῃ σοι ἀδελφός, ἔπαρον τὸ πένθος τοῦ προσώπου σου καὶ κρύψον αὐτὸ ἐν τῇ καρδίᾳ σου, ἕως οὗ ἀπολύσῃς τὸν ἀδελφόν. Καὶ τότε πάλιν βάλε τὸ πένθος ἐν τῷ προσώπῳ σου, ὅτι φεύγουσιν οἱ δαίμονες θεωροῦντες αὐτὸ μετὰ σοῦ.

35. Ἔλεγον περὶ τῶν Σκητιωτῶν ὅτι, εἰ κατελάμβανέ τις τὴν ἐργασίαν αὐτῶν, οὐκέτι ὡς ἀρετὴν εἶχον αὐτήν, ἀλλ' ὡς ἁμαρτίαν.

36. Εἶπε Γέρων· Ἡ ἀνθρωπαρεσκία πᾶσαν τὴν πιότητα τοῦ ἀνθρώπου ἀναιρεῖ καὶ ἀφίησιν αὐτὸν ξηρόν.

37. Εἶπε πάλιν· Ὁ φανερῶν καὶ δημοσιεύων τὰ καλὰ ἔργα αὐτοῦ, ὅμοιός ἐστι τῷ σπείροντι ὑπεράνω τῆς γῆς καὶ ἐλθόντα τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτά. Ὁ δὲ κρύπτων τὴν πολιτείαν αὐτοῦ, ὡς ὁ ἐν αὔλαξι μέσον τῆς γῆς σπείρων, ὃς καὶ θερίσει πολλαπλασίονα.

38. Εἶπε Γέρων· Ἢ φεύγων φεῦγε τοὺς ἀνθρώπους, ἢ ἔμπαιξον τῷ κόσμῳ καὶ τοῖς ἀνθρώποις, μωρὸν σεαυτὸν ποιῶν.

39. Κοινοβιάρχης τις ἦν ἔχων πολλὴν δόξαν παρὰ τῶν

29. Ἡ λέξη πιότης (μέ ι) τοῦ ἀρχ. κειμένου σημαίνει λιπαρή οὐσία.

μή θελήσεις νά φανερώσεις τόν τρόπο τῆς μοναχικῆς σου ἄσκησης. Δηλαδή ὅτι δέν τρώω λάδι, ἤ φαγητό μαγειρεμένο ἤ ψάρι. Μόνο μήν πιεῖς κρασί, ἐάν φοβᾶσαι τόν σαρκικό πόλεμο· κι ἄν μερικοί σέ κατηγορήσουν, μή σέ μέλει».

34. Εἶπε ἀκόμη: «Ἐάν σέ ἐπισκεφθεῖ κάποιος ἀδελφός, πάρε τό πένθος ἀπό τό πρόσωπό σου καί κρύψε το στήν καρδιά σου, ἕως ὅτου φύγει ὁ ἀδελφός. Καί τότε βάλε πάλι τό πένθος στό πρόσωπό σου, γιατί φεύγουν οἱ δαίμονες, ὅταν τό βλέπουν νά σέ συνοδεύει».

35. Ἔλεγαν γιά τούς Σκητιῶτες ὅτι ἐάν κάποιος ἀνακάλυπτε τήν ἄσκησή τους, δέν τήν εἶχαν πιά αὐτήν ὡς ἀρετή ἀλλά ὡς ἁμαρτία.

36. Εἶπε ἕνας Γέροντας: «Ἡ ἀνθρωπαρέσκεια ἀφαιρεῖ ἀπό τόν ἄνθρωπο ὅλο τόν πνευματικό χυμό[29] καί τόν ἀφήνει ξερό».

37. Εἶπε πάλι: «Ἐκεῖνος πού φανερώνει τά καλά του ἔργα καί τά κάνει γνωστά στό κόσμο, μοιάζει μέ τόν σποριά πού ρίχνει τόν σπόρο στήν ἐπιφάνεια τῆς γῆς καί ἔρχονται τά πτηνά τοῦ οὐρανοῦ καί τόν τρῶν[30]. Ἐνῶ ἐκεῖνος πού κρύβει τήν ἄσκησή του, ὅπως βάζει ὁ σποριάς τόν σπόρο μέσα στῆς γῆς τά αὐλάκια, αὐτός ἀκριβῶς θά ἔχει ἄφθονη συγκομιδή».

38. Εἶπε ἄλλος Γέροντας: «Ἤ νά ἀποφεύγεις μέ κάθε τρόπο τούς ἀνθρώπους ἤ νά ἐμπαίζεις τόν κόσμο καί τούς ἀνθρώπους κάνοντας μωρό τόν ἑαυτό σου»[31].

39. Ἦταν ἕνας ἡγούμενος κοινοβίου πού εἶχε μεγάλη

30. Ματθ. 13, 4. 31. Πρβλ. Α' Κορ. 3, 18-19 καί 4, 10-13.

ἀνθρώπων· καὶ ἦν πατὴρ μοναχῶν διακοσίων. Τούτῳ ὁ Χριστὸς ὡς Γέρων πτωχὸς παρέβαλε καὶ τὸν θυρωρὸν παρεκάλεσεν εἰπεῖν τῷ ἀββᾷ, ὅτι ὁ δεῖνα ὁ συνάδελφός ἐστι. Καμάτῳ οὖν πολλῷ εἰσῆλθε μηνῦσαι αὐτῷ ὁ θυρωρὸς καὶ εὗρε τὸν ἀββᾶν ἄλλοις διαλεγόμενον. Σταθεὶς δὲ ὀλίγον, προσανήνεγκε περὶ τοῦ πτωχοῦ, μὴ εἰδὼς ὅτι ὁ Χριστὸς ἦν. Ὁ δὲ ἀββᾶς διεμάχετο λέγων αὐτῷ· Οὐχ ὁρᾷς μετὰ τῶν ἀνθρώπων λαλοῦντά με; Ἄφες τέως. Ὁ δὲ ὑπεχώρησε. Μακροθυμήσας δὲ ὁ Κύριος ἔμεινεν ἐκδεχόμενος, ἕως ἂν ἔλθῃ.

Περὶ δὲ πέμπτην ὥραν πλούσιός τις παρέβαλεν, οὗτινος γοργῶς ὑπήκουσεν ὁ κοινοβιάρχης. Ὃν ἑωρακὼς σὺν τῷ πλουσίῳ ὁ πλούσιος ἐν ἐλέει καὶ ταπεινῶν φίλος Θεὸς ᾐτησε παρακαλέσας ὅτι· Λαλῆσαί σοι θέλω, ἀββᾶ. Ὁ δὲ σὺν τῷ πλουσίῳ εἰσῆλθεν ἀριστοποιῆσαι, σπουδάζων δῆθεν τῶν ξένων. Πάλιν οὖν μετὰ τὸ ἄριστον προπέμπει ἕως τῆς θύρας τὸν πλούσιον, ὑποστρέψας ταῖς πολλαῖς φροντίσιν αἰχμαλωτιζόμενος καὶ ἐπιλελησμένος τῆς παρακλήσεως τοῦ πτωχοῦ καὶ ἀνεξικάκου Γέροντος. Ὀψίας δὲ γενομένης καὶ μὴ ἀξιωθέντος δέξασθαι τὸν εὐλογημένον καὶ ἀληθῶς ξένον, ἀνεχώρησε δηλώσας αὐτῷ οὕτως· Εἰπὲ τῷ ἀββᾷ· εἰ τὴν δόξαν τῶν ἀνθρώπων θέλεις, ἐγώ σοι διὰ τοὺς προτέρους κόπους καὶ τὰς πολλάς σου πολιτείας, ἐκ τῶν τεσσάρων μερῶν πέμπω παρακαλεῖν σοι, ἐπειδὴ χρίειν καὶ χρίεσθαι θέλεις· τῶν δὲ ἀγαθῶν τῆς ἐμῆς Βασιλείας οὐ μὴ γεύσῃ. Καὶ οὕτως ἐγνώσθη ὁ παντοκράτωρ πτωχός.

Τέλος τῆς πραγματείας περὶ τοῦ μηδὲν ποιεῖν πρὸς ἐπίδειξιν.

---

32. Πρβλ. «...δός μοι τοῦτον τὸν ξένον, ὅστις οἶδε ξενίζειν τοὺς πτωχοὺς καὶ τοὺς ξένους· δός μοι τοῦτον τὸν ξένον...» Ἀσματικόν: «Τὸν ἥλιον κρύψαντα...» πού ψάλλεται κατά τήν ἔξοδο καί περιφορά τοῦ Ἐπιταφίου τήν Μ. Παρασκευή.


ἐκτίμηση ἀπό τούς ἀνθρώπους. Καί ἦταν πατέρας διακοσίων μοναχῶν. Σ' αὐτόν ὁ Χριστός πῆγε σάν ἕνας φτωχός γέροντας καί παρακάλεσε τόν πορτάρη νά πεῖ στόν ἀββᾶ ὅτι εἶναι ὁ τάδε συνασκητής.

Πολύ δύσκολα ὁ θυρωρός μπῆκε γιά νά τοῦ τό πεῖ καί βρῆκε τόν ἀββᾶ νά μιλάει μέ ἄλλους. Στάθηκε λίγο καί ἀνέφερε κατόπιν γιά τόν φτωχό, μή γνωρίζοντας φυσικά ὅτι ἦταν ὁ Χριστός. Ὁ ἀββᾶς ἄρχισε νά τά βάζει μαζί του λέγοντας: «Δέν βλέπεις ὅτι μιλῶ μέ τούς ἀνθρώπους; Ἄσε με τώρα». Καί ὁ θυρωρός ὑποχώρησε. Ὁ Κύριος ὅμως μακροθύμησε καί ἔμεινε περιμένοντάς τον, ἕως ὅτου ἔρθει.

Κατά τίς ἕντεκα κατέφθασε κάποιος πλούσιος, στοῦ ὁποίου τό μήνυμα ἀνταποκρίθηκε ἀμέσως ὁ ἡγούμενος. Ὁ πλούσιος σέ ἔλεος καί φίλος τῶν ταπεινῶν Θεός, βλέποντάς τον μαζί μέ τόν πλούσιο, τόν παρακάλεσε καί τοῦ εἶπε: «Θέλω νά σοῦ μιλήσω, ἀββᾶ». Ἀλλά ἐκεῖνος συνοδεύοντας τόν πλούσιο μπῆκε γιά τό γεῦμα φροντίζοντας δῆθεν γιά τή φιλοξενία. Τό ἴδιο πάλι μετά τό γεῦμα προέπεμψε ὥς τήν πύλη τόν πλούσιο καί γύρισε πίσω αἰχμάλωτος στίς μεγάλες του φροντίδες ξεχνώντας τήν παράκληση τοῦ φτωχοῦ καί ἀνεξίκακου Γέροντα. Ὅταν ἄρχισε νά σκοτεινιάζει καί δέν ἀποδείχθηκε ἄξιος νά δεχθεῖ τόν εὐλογημένο καί πραγματικό ξένο[32], ἀνεχώρησε (ὁ ξένος), ἀφοῦ δήλωσε στόν θυρωρό τά ἑξῆς: «Πές στόν ἀββᾶ: Ἐάν ἐπιθυμεῖς τή δόξα τῶν ἀνθρώπων, ἐγώ γιά τούς προηγούμενους κόπους καί τήν πολλή σου ἄσκηση θά σοῦ στείλω ἀνθρώπους ἀπό τά τέσσερα μέρη τοῦ ὁρίζοντα νά σοῦ φέρουν ἀγαθά, γιατί θέλεις νά ἀλείφεις καί νά σέ ἀλείφουν· τά ἀγαθά ὅμως τῆς Βασιλείας μου δέν πρόκειται νά γευθεῖς».

Καί ἔτσι ἀποκαλύφθηκε ὁ παντοκράτορας φτωχός.

Τέλος τῆς πραγματείας γιά τήν ἀποφυγή κάθε ἐπίδειξης.



Μία ἀπό τίς ἁψίδες ὑδραγωγείου στήν κοιλάδα τῆς Ἰεριχοῦς

ΚΕΦΑΛΑΙΟ
Θ΄

Εἶπε Γέρων· Κἂν τις ἁμάρτῃ ἐνώπιόν σου,
μὴ κρίνῃς αὐτόν, ἀλλὰ ἔχε σεαυτὸν
ἁμαρτωλότερον αὐτοῦ.
Τὴν γὰρ ἁμαρτίαν εἶδες,
τὴν δὲ μετάνοιαν οὐκ εἶδες.

Ὅτι φυλάσεσθαι χρὴ τοῦ μηδένα κρίνειν

Ἀδελφῷ ποτε συνέβη πειρασμὸς εἰς τὸ κοινόβιον τοῦ ἀββᾶ Ἠλίτ. Καὶ διωχθεὶς ἐκεῖθεν ἀπῆλθε πρὸς τὸν ἀββᾶν Ἀντώνιον εἰς τὸ ὄρος. Καὶ μείναντος τοῦ ἀδελφοῦ χρόνον πρὸς αὐτόν, ἀπέστειλεν αὐτὸν εἰς τὸ κοινόβιον ὅθεν ἐξέβη. Οἱ δὲ ἰδόντες αὐτόν, πάλιν ἐδίωξαν· ὁ δὲ ἀνέκαμψε πρὸς τὸν ἀββᾶν Ἀντώνιον λέγων· Οὐκ ἠθέλησάν με δέξασθαι, πάτερ. Ἀπέστειλεν οὖν ὁ Γέρων λέγων· Πλοῖον ἐναυάγησεν ἐν τῷ πελάγει· καὶ ἀπώλεσε τὸν γόμον καὶ μετὰ καμάτου ἐσώθη ἐπὶ τὴν γῆν. Ὑμεῖς δὲ τὰ σωθέντα ἐπὶ τὴν γῆν θέλετε καταποντίσαι; Οἱ δὲ ἀκούσαντες ὅτι ὁ ἀββᾶς Ἀντώνιος αὐτὸν ἀπέστειλεν, εὐθέως ἐδέξαντο αὐτόν.

2. Ὁ ἀββᾶς Ἀγάθων ὅτε ἔβλεπε πρᾶγμα καὶ ἤθελεν ὁ λογισμὸς αὐτοῦ κρῖναι, ἔλεγεν ἐν ἑαυτῷ· Ἀγάθων, μὴ ποιήσῃς αὐτὸ σύ· καὶ οὕτως ὁ λογισμὸς αὐτοῦ ἡσύχαζε.

3. Ἠσθένησέ ποτε ὁ ἀββᾶς Ἀγάθων καὶ ἄλλος τις τῶν Γερόντων. Ἀνακειμένων δὲ αὐτῶν ἐν τῷ κελλίῳ, ἀνεγίνωσκεν ὁ ἀδελφὸς εἰς τὴν Γένεσιν. Καὶ ἔρχεται εἰς τὸ κεφά-

Εἶναι ἀνάγκη νά ἐπαγρυπνοῦμε ὥστε νά μή κρίνουμε κανένα

Σέ κάποιον ἀδελφό πού ἔμενε στό κοινόβιο τοῦ ἀββᾶ Ἠλίτ, συνέβη κάποτε ἕνας πειρασμός. Γι' αὐτό τόν ἔδιωξαν ἀπό κεῖ καί πῆγε κοντά στόν ἀββᾶ Ἀντώνιο*, στό ὄρος. Ἀφοῦ ἔμεινε ὁ ἀδελφός κοντά του κάποιο χρονικό διάστημα, τόν ἔστειλε ὁ ἀββᾶς στό κοινόβιο ἀπ' ὅπου εἶχε φύγει. Ἐκεῖνοι ὅμως μόλις τόν εἶδαν, τόν ξανάδιωξαν καί ὁ ἀδελφός γύρισε πάλι στόν ἀββᾶ Ἀντώνιο καί τοῦ εἶπε: «Δέν θέλησαν νά μέ δεχθοῦν, πάτερ». Τόν ἔστειλε πάλι ὁ Γέροντας καί τούς μήνυσε τό ἑξῆς: «Ἕνα καράβι ναυάγησε μέσα στό πέλαγος, ἔχασε τό φορτιό του καί μέ κόπο πολύ ἔφθασε στή στεριά. Καί ἐσεῖς ὅ,τι σώθηκε καί ἔφθασε στή στεριά, θέλετε νά τό καταποντίσετε;»

Κι ἐκεῖνοι ὅταν ἄκουσαν ὅτι ὁ ἀββᾶς Ἀντώνιος τόν ἔστειλε, εὐθύς τόν δέχθηκαν.

2. Ὁ ἀββᾶς Ἀγάθων* ὅταν ἔβλεπε κάτι πού ὁ λογισμός του ἤθελε νά τό κρίνει, ἔλεγε μέσα του: «Ἀγάθων, ἐσύ μήν τό κάνεις αὐτό»· καί ἔτσι ὁ λογισμός του ἡσύχαζε.

3. Ἀρρώστησε κάποτε ὁ ἀββᾶς Ἀγάθων καί μαζί του κάποιος ἄλλος ἀπό τούς Γέροντες. Καθώς ξάπλωναν στό κελί, ὁ ἀδελφός ἄρχισε νά διαβάζει ἀπό τή Γένεση. Καί

λαιον ὅπου λέγει ὁ Ἰακώβ· Ἰωσὴφ οὐκ ἔστι· Συμεὼν οὐκ ἔστι· καὶ τὸν Βενιαμὶν λήψεσθε καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς Ἅδου. Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν· Οὐκ ἀρκοῦσί σοι οἱ ἄλλοι δέκα, ἀββᾶ Ἰακώβ; Λέγει ὁ ἀββᾶς Ἀγάθων· Παῦσαι, Γέρων· εἰ ὁ Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;

4. Τῷ ἀββᾷ Ἀμμωνᾷ προεφήτευσεν ὁ ἀββᾶς Ἀντώνιος λέγων ὅτι· Ἔχεις προκόψαι εἰς τὸν φόβον τοῦ Θεοῦ. Καὶ ἐξήγαγεν αὐτὸν ἔξω τοῦ κελλίου καὶ ἔδειξεν αὐτῷ λίθον καὶ εἶπεν αὐτῷ· Ὕβρισον τὸν λίθον τοῦτον καὶ τύψον αὐτόν. Ὁ δὲ ἐποίησεν οὕτω. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ἀντώνιος· Μὴ ἐλάλησεν ὁ λίθος; Ὁ δὲ εἶπεν· Οὐχί. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ἀντώνιος· Οὕτω καὶ σὺ καταλαβεῖν μέλλεις τοῦτο τὸ μέτρον· ὃ καὶ ἐγένετο. Προέκοψε γὰρ ὁ ἀββᾶς Ἀμμωνᾶς οὕτως ὡς ἀπὸ πολλῆς ἀγαθότητος μηκέτι εἰδέναι τὴν κακίαν. Ἐν οἷς γενομένου αὐτοῦ ἐπισκόπου, προσήνεγκαν αὐτῷ παρθένον λαβοῦσαν ἐν γαστρὶ καὶ λέγουσιν αὐτῷ· Δὸς αὐτῇ ἐπιτίμια. Ὁ δὲ σφραγίσας αὐτῆς τὴν κοιλίαν, ἐκέλευσε δοθῆναι αὐτῇ δύο ζυγᾶς σινδονίων λέγων· Μήποτε ὡς ἀπέρχεται γεννῆσαι, ἀποθάνῃ ἢ αὐτὴ ἢ τὸ παιδίον καὶ μὴ εὕρῃ κηδευθῆναι.

Λέγουσιν αὐτῷ οἱ κατ' αὐτῆς ἐντυχόντες· Τί τοῦτο ἐποίησας; Δὸς αὐτῇ ἐπιτίμια. Ὁ δὲ λέγει αὐτοῖς· Βλέπετε, ἀδελφοί, ὅτι ἐγγύς ἐστι τοῦ θανάτου, καὶ τί ἔχω ἐγὼ ποιῆσαι; Καὶ ἀπέλυσεν αὐτήν. Καὶ οὐκ ἐτόλμησεν ὁ Γέρων κατακρῖναί τινα.

1. Γεν. 42, 36-38.

ἔφθασε στό κεφάλαιο πού λέει ὁ Ἰακώβ: «Ὁ Ἰωσήφ δέν ὑπάρχει στή ζωή· ὁ Συμεών δέν εἶναι, θά μοῦ πάρετε καί τόν Βενιαμίν καί θά γκρεμίσετε καταλυπημένα τά γηρατιά μου στόν Ἅδη[1]».

Ἀποκρίθηκε στή στιγμή ἐκείνη ὁ Γέροντας καί εἶπε: «Δέν σοῦ φτάνουν οἱ ἄλλοι δέκα, ἀββᾶ Ἰακώβ;»

«Πάψε, Γέροντα —λέει ὁ ἀββᾶς Ἀγάθων*— ἐάν ὁ Θεός εἶναι αὐτός πού τόν δικαιώνει, ποιός εἶναι αὐτός πού θά τόν κατακρίνει;»

4. Ὁ ἀββᾶς Ἀντώνιος* προφήτευσε στόν ἀββᾶ Ἀμμωνᾶ* καί εἶπε: «Θά προκόψεις στόν φόβο τοῦ Θεοῦ». Τόν ἔβγαλε ἔξω ἀπό τό κελί, τοῦ ἔδειξε μιά πέτρα καί τοῦ εἶπε: «Βρίσε αὐτή τήν πέτρα καί κτύπησέ την». Καί τό 'κανε. Τόν ρωτάει ὁ ἀββᾶς Ἀντώνιος: «Μήπως μίλησε ἡ πέτρα;»

«Ὄχι» ἀπάντησε ἐκεῖνος. «Καί σύ —τοῦ εἶπε ὁ ἀββᾶς Ἀντώνιος— πρόκειται νά φθάσεις σ' αὐτό τό μέτρο»· ὅπως καί ἔγινε. Πρόκοψε ὁ ἀββᾶς Ἀμμωνᾶς τόσο πολύ, ὥστε ἀπό πολλή ἀγαθότητα νά μή διακρίνει πιά τήν κακία. Παράδειγμα χαρακτηριστικό εἶναι τό ἑξῆς: Ὅταν ἔγινε ὁ ἴδιος ἐπίσκοπος, τοῦ ἔφεραν μιά κοπέλα ἔγκυο, καί τοῦ λένε: «Τιμώρησέ την». Κι ἐκεῖνος σταύρωσε τήν κοιλιά της καί παρήγγειλε νά τῆς δώσουν δυό ζεύγη σεντόνια λέγοντας: «Μή τυχόν πάνω στή γέννα πεθάνει αὐτή ἤ τό βρέφος καί δέν βρεῖ τά ἀπαραίτητα γιά τήν κηδεία».

Τοῦ λένε τότε οἱ κατήγοροί της: «Γιατί τό 'κανες αὐτό; Βάλ' της κανόνα». Κι ἐκεῖνος τούς εἶπε: «Ἀδελφοί, βλέπετε ὅτι κινδυνεύει νά πεθάνει· τί μπορῶ ἐγώ νά τῆς κάνω;» Καί τήν ἄφησε νά φύγει.

Καί ποτέ δέν τόλμησε ὁ Γέροντας νά καταδικάσει ἄνθρωπο.

5. Ἦλθέ ποτε ὁ ἀββᾶς Ἀμμωνᾶς εἰς τόπον γεύσασθαι. Καὶ ἦν ἐκεῖ τις ἀδελφὸς ἔχων φήμην κακήν. Καὶ συνέβη ἐλθεῖν τὴν γυναῖκα καὶ εἰσελθεῖν εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ τοῦ ὑβριζομένου. Μαθόντες οὖν οἱ οἰκοῦντες εἰς τὸν τόπον ἐκεῖνον, ἐταράχθησαν ὥστε διῶξαι αὐτὸν τοῦ κελλίου. Καὶ γνόντες ὅτι ὁ ἐπίσκοπος Ἀμμωνᾶς εἰς τὸν τόπον ἐκεῖνόν ἐστιν, ἐλθόντες παρεκάλεσαν αὐτὸν ὅπως παραγένηται σὺν αὐτοῖς.

Ὡς δὲ ἔγνω ὁ ἀδελφός, λαβὼν τὴν γυναῖκα ἔκρυψεν αὐτὴν εἰς πίθον μέγαν. Παραγενομένου δὲ τοῦ πλήθους, εἶδεν ὁ ἀββᾶς Ἀμμωνᾶς τὸ γενόμενον καὶ διὰ τὸν Θεὸν ἐσκέπασε τὸ πρᾶγμα· καὶ εἰσελθὼν ἐκάθισεν ἐπάνω τοῦ πίθου καὶ ἐκέλευσε ζητηθῆναι τὸ κελλίον. Ὡς οὖν ἐψηλάφησαν καὶ οὐχ εὗρον τὴν γυναῖκα, εἶπεν ὁ ἀββᾶς Ἀμμωνᾶς· Τί ἐστι τοῦτο; Ὁ Θεὸς συγχωρήσῃ ὑμῖν. Καὶ εὐξάμενος ἐποίησε πάντας ἀναχωρῆσαι. Καὶ κατασχὼν τὴν χεῖρα τοῦ ἀδελφοῦ εἶπεν αὐτῷ· Πρόσεχε σεαυτῷ, ἀδελφέ. Καὶ τοῦτο εἰπὼν ἀνεχώρησεν.

6. Ἀδελφός τις ἁμαρτήσας ἐχωρίζετο ὑπὸ τοῦ πρεσβυτέρου τῆς ἐκκλησίας. Ὁ δὲ ἀββᾶς Βησσαρίων ἀναστὰς συνεξῆλθεν αὐτῷ λέγων ὅτι κἀγὼ ἁμαρτωλός εἰμι.

7. Εἶπεν ὁ ἀββᾶς Ἠλίας ὅτι· Εἶδον ἐγώ τινα λαβόντα κολοκύνθιον οἴνου εἰς τὴν μάλην αὐτοῦ· καὶ ἵνα αἰσχύνω τοὺς δαίμονας ὅτι φαντασία ἦν, λέγω τῷ ἀδελφῷ· Ποίησον

2. Πρβλ. Ἰω. 8, 3-11.

3. Ἡ λ. κολοκύνθιον οἴνου τοῦ ἀρχ. κειμένου σημαίνει δοχεῖο κρασιοῦ

5. Πῆγε κάποτε ὁ ἀββᾶς Ἀμμωνᾶς* σέ κάποιον τόπο γιά νά γευματίσει. Ἐκεῖ κοντά ἦταν κι ἕνας ἀδελφός πού εἶχε κακή φήμη. Συνέβη μάλιστα νά πάει καί νά μπεῖ στό κελί τοῦ ἀδελφοῦ ἡ γυναίκα γιά τήν ὁποία τόν κακολογοῦσαν. Οἱ κάτοικοι τῆς περιοχῆς μόλις τό ἔμαθαν, ξεσηκώθηκαν καί πῆραν τήν ἀπόφαση νά διώξουν τόν μοναχό ἀπό τό κελί. Καί ὅταν πληροφορήθηκαν ὅτι ὁ ἐπίσκοπος Ἀμμωνᾶς βρισκόταν στήν περιοχή τους, πῆγαν καί τόν παρακάλεσαν νά πάει μαζί τους.

Σάν τά 'μαθε αὐτά ὁ ἀδελφός, πῆρε τή γυναίκα καί τήν ἔκρυψε μέσα σ' ἕνα μεγάλο πιθάρι. Κατέφθασε τό πλῆθος καί ὁ ἀββᾶς Ἀμμωνᾶς ἀντιλήφθηκε τί συνέβη, ἀλλά χάριν τοῦ Θεοῦ σκέπασε τό γεγονός. Μπῆκε λοιπόν στό κελί τοῦ ἀδελφοῦ, κάθισε πάνω στό πιθάρι καί διέταξε νά ἐρευνήσουν τό κελί. Ὅταν ὅμως ἔψαξαν καί δέν βρῆκαν τή γυναίκα, τούς εἶπε ὁ ἀββᾶς Ἀμμωνᾶς: «Τί συμβαίνει λοιπόν; Ὁ Θεός νά σᾶς συγχωρήσει». Καί ἀφοῦ προσευχήθηκε, ἀπομάκρυνε τόν κόσμο. Ἔπιασε τότε ἀπό τό χέρι τόν ἀδελφό καί τοῦ εἶπε: «Πρόσεχε τήν ψυχή σου, ἀδελφέ»[2].

Καί μέ τόν λόγο αὐτόν, ἔφυγε.

6. Ἕναν ἀδελφό πού εἶχε πέσει σέ κάποιο ἁμάρτημα, τόν ἀπομάκρυνε ὁ πρεσβύτερος ἀπό τήν ἐκκλησία. Σηκώθηκε τότε ὁ ἀββᾶς Βησσαρίων και βγῆκε μαζί του λέγοντας: «Κι ἐγώ ἁμαρτωλός εἶμαι».

7. Εἶπε ὁ ἀββᾶς Ἠλίας: «Εἶδα ἐγώ κάποιον νά βάζει κάτω ἀπό τή μασχάλη ἕνα δοχεῖο[3] κρασί. Καί γιά νά καταισχύνω τούς δαίμονες ὅτι ἦταν ἐντύπωση πλανερή (καί ὄχι πραγματική), λέω στόν ἀδελφό: Κάνε ἀγάπη καί σήκω-

πού εἶχε σχῆμα κολοκύθας.

ἀγάπην καὶ ἆρόν μοι τοῦτο. Καὶ ἄρας τὸ παλλίον αὐτοῦ, εὑρέθη μηδὲν ἔχων. Τοῦτο δὲ εἶπον, ὅτι κἂν τοῖς ὀφθαλμοῖς ἴδητέ τι ἢ ἀκούσητε, μὴ πιστεύσητε. Πολλῷ δὲ μᾶλλον τηρεῖτε τοὺς διαλογισμοὺς καὶ τὰς ἐνθυμήσεις καὶ τὰς ἐννοίας, εἰδότες ὅτι αὐτοὶ ἐμβάλλουσιν αὐτά, ἵνα μιάνωσι τὴν ψυχὴν λογίζεσθαι τὰ μὴ συμφέροντα καὶ ἵνα ἀπασχολήσωσιν τὸν νοῦν ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν καὶ τοῦ Θεοῦ.

8. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας· Ἐὰν ἔλθῃ σοι λογισμὸς τοῦ κρῖναι τὸν πλησίον ἐπί τινι ἁμαρτήματι, πρῶτον λογίζου καθ' ἑαυτὸν ὅτι πλεῖον αὐτοῦ ἁμαρτωλὸς ὑπάρχεις καὶ ἃ νομίζεις πράττειν καλῶς, μὴ πιστεύσῃς ὅτι ἤρεσαν τῷ Θεῷ· καὶ οὐ μὴ τολμήσεις κρῖναι τὸν πλησίον.

9. Εἶπε πάλιν· Τὸ μὴ κρίνειν τὸν πλησίον καὶ τὸ ἐξουθενεῖν ἑαυτόν, τόπος ἀναπαύσεώς ἐστι τῆς συνειδήσεως.

10. Ἦλθέ ποτε παιδίον θεραπευθῆναι ἀπὸ δαίμονος καὶ παραβάλλει ἀδελφῷ ἀπὸ κοινοβίου τῆς Αἰγύπτου. Καὶ ἐξελθὼν ὁ Γέρων εἶδε τὸν ἀδελφὸν ἁμαρτάνοντα μετὰ τοῦ παιδίου· καὶ οὐκ ἤλεγξεν αὐτὸν λέγων· Εἰ ὁ Θεὸς ὁ πλάσας αὐτὸν βλέπων οὐ καίει αὐτόν, ἐγὼ τίς εἰμι, ἵνα ἐλέγξω αὐτόν;

11. Παρέβαλέ ποτε ὁ ἀββᾶς Ἰσαὰκ ὁ Θηβαῖος εἰς κοινόβιον καὶ εἶδεν ἀδελφὸν σφαλέντα καὶ κατέκρινεν αὐτόν. Ὡς δὲ ἐξῆλθεν εἰς τὴν ἔρημον, ἦλθεν ἄγγελος Κυρίου καὶ ἔστη ἔμπροσθεν τῆς θύρας τοῦ κελλίου αὐτοῦ λέγων· Οὐκ

σέ το μου αὐτό. Καί μόλις σήκωσε τό ἐπανωφόρι του, ἀποδείχθηκε ὅτι δέν ὑπῆρχε τίποτε κάτω ἀπό τή μασχάλη του. Αὐτό τό ἀνέφερα μέ τήν ἔννοια ὅτι καί μέ τά ἴδια σας τά μάτια ἄν δεῖτε κάτι ἤ ἀκούσετε κάτι, μήν τό πιστέψετε. Πολύ περισσότερο νά προσέχετε τούς λογισμούς, τίς σκέψεις καί τά νοήματα, γνωρίζοντας ὅτι οἱ δαίμονες τά σπέρνουν αὐτά στήν ψυχή γιά νά τή διαστρέψουν, ὥστε νά σκέφτεται αὐτά πού τήν βλάπτουν καί γιά νά ἀπομακρύνουν τόν νοῦ ἀπό τίς ἁμαρτίες μας καί ἀπό τόν Θεό».

8. Εἶπε ὁ ἀββᾶς Ἡσαΐας*: «Ἐάν σοῦ ἔρθει λογισμός νά κατακρίνεις τόν πλησίον γιά κάποιο ἁμάρτημά του, πρῶτα νά σκεφθεῖς ὅτι ἐσύ εἶσαι περισσότερο ἁμαρτωλός ἀπ' αὐτόν καί ἐκεῖνα πού νομίζεις ὅτι σωστά τά κάνεις, μήν πιστέψεις ὅτι ἦσαν ἀρεστά στόν Θεό. Καί ἔτσι δέν θά τολμήσεις νά καταδικάσεις τόν πλησίον».

9. Εἶπε ἐπίσης: «Ἐάν δέν κατακρίνεις τόν πλησίον ἀλλά ἐξουθενώνεις τόν ἑαυτό σου, παρέχεις ἀνάπαυση στή συνείδησή σου».

10. Ἦλθε κάποτε ἕνα παιδί δαιμονισμένο, γιά νά θεραπευθεῖ· καί ἐπισκέφθηκε κάποιον ἀδελφό ἀπό ἕνα κοινόβιο τῆς Αἰγύπτου. Βγαίνει ὁ Γέροντας ἔξω καί βλέπει τόν ἀδελφό νά ἁμαρτάνει μέ τό παιδί καί δέν τόν ἤλεγξε λέγοντας: «Ἐφόσον ὁ Θεός πού τόν ἔπλασε τόν βλέπει καί δέν τόν καίει, ποιός εἶμαι ἐγώ, γιά νά τόν ἐλέγξω;»

11. Πῆγε κάποτε ὁ ἀββᾶς Ἰσαάκ ὁ Θηβαῖος σέ κάποιο κοινόβιο καί εἶδε ἕναν ἀδελφό νά σφάλλει καί τόν κατέκρινε. Ὅταν ἐπέστρεψε στήν ἔρημο, ἦλθε ἄγγελος Κυρίου καί στάθηκε μπροστά στήν πόρτα τοῦ κελιοῦ του καί τοῦ εἶπε:

ἀφίημί σε εἰσελθεῖν. Ὁ δὲ παρεκάλει λέγων· Τί ἐστι τὸ πρᾶγμα; Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ· Ὁ Θεὸς ἀπέστειλέ μοι λέγων· Εἰπὲ αὐτῷ· ποῦ κελεύεις βάλω τὸν σφαλέντα ἀδελφὸν ὃν ἔκρινας; Καὶ εὐθέως μετενόησε λέγων· Ἡμάρτηκα, συγχώρησόν μοι. Καὶ εἶπεν ὁ ἄγγελος· Ἐγείρου, συνεχώρησέ σοι ὁ Θεός· φύλαξαι δὲ τοῦ λοιποῦ μὴ κρῖναί τινα πρὶν ἢ ὁ Θεὸς κρίνῃ αὐτόν.

12. Ἔλεγεν ὁ ἀββᾶς Παφνούτιος ὁ μαθητὴς τοῦ ἀββᾶ Μακαρίου ὅτι· Παρεκάλεσα τὸν πατέρα μου λέγων· Εἰπέ μοι λόγον. Ὁ δὲ ἔφη· Μὴ κακοποιήσῃς τινά, μηδὲ κατακρίνῃς· ταῦτα τήρει καὶ σῴζῃ.

13. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ μεγάλου ὅτι γέγονεν, καθώς ἐστι γεγραμμένον, θεὸς ἐπίγειος· ὅτι ὥσπερ ἐστὶν ὁ Θεὸς σκέπων τὸν κόσμον, οὕτω γέγονεν ὁ ἀββᾶς Μακάριος σκεπάζων τὰ ἐλαττώματα ἃ ἔβλεπεν ὡς μὴ βλέπων, καὶ ἃ ἤκουεν ὡς μὴ ἀκούων.

14. Ἀδελφός ποτε ἐσφάλη εἰς Σκῆτιν· καὶ γενομένου συνεδρίου, ἀπέστειλαν πρὸς τὸν ἀββᾶν Μωυσῆν· ὁ δὲ οὐκ ἤθελεν ἐλθεῖν. Ἀπέστειλεν οὖν πρὸς αὐτὸν ὁ πρεσβύτερος λέγων· Ἐλθὲ ὅτι ὁ λαός σε περιμένει. Ὁ δὲ ἀναστὰς ἦλθε· καὶ λαβὼν σπυρίδα τετρημένην καὶ γεμίσας ἄμμον ἐβάστασεν. Οἱ δὲ ἐξελθόντες εἰς ὑπάντησιν αὐτοῦ, λέγουσιν αὐτῷ· Τί ἐστι τοῦτο, πάτερ; Καὶ εἶπεν αὐτοῖς ὁ Γέρων· Αἱ ἁμαρτίαι μού εἰσιν ὀπίσω μου καταρρέουσαι καὶ οὐ βλέπω αὐτάς· καὶ

4. Α' Κορ. 4, 5.

«Δέν σοῦ ἐπιτρέπω νά μπεῖς». Κι ἐκεῖνος παρακαλοῦσε κι ἔλεγε: «Τί συμβαίνει;» Ἀποκρίθηκε ὁ ἄγγελος καί τοῦ εἶπε: «Ὁ Θεός μέ ἔστειλε λέγοντας: Πές του: ποῦ προστάζεις νά βάλω τόν ἀδελφό πού ἔσφαλε καί τόν καταδίκασες». Εὐθύς μετανόησε ὁ ἀββᾶς καί εἶπε: «Ἁμάρτησα, συγχώρεσέ με». Καί ὁ ἄγγελος τοῦ εἶπε: «Σήκω, σέ συγχώρεσε ὁ Θεός. Καί στό ἑξῆς νά προσέχεις νά μήν κρίνεις κανέναν, προτοῦ τόν κρίνει ὁ Θεός»[4].

12. Ἔλεγε ὁ ἀββᾶς Παφνούτιος*, ὁ μαθητής τοῦ ἀββᾶ Μακαρίου: «Παρακάλεσα τόν Γέροντά μου λέγοντας: Πές μου κάποιον λόγο». Κι ἐκεῖνος εἶπε: «Νά μήν κακομεταχειριστεῖς κανέναν οὔτε νά τόν κατακρίνεις. Αὐτά νά κάνεις καί σώζεσαι».

13. Ἔλεγαν γιά τόν ἀββᾶ Μακάριο* τόν μεγάλο ὅτι εἶχε γίνει, ὅπως λέει ἡ Γραφή, θεός ἐπίγειος[5]. Γιατί ὅπως ἀκριβῶς ὁ Θεός σκεπάζει τόν κόσμο, ἔτσι καί ὁ ἀββᾶς Μακάριος σκέπαζε τά ἐλαττώματα πού ἔβλεπε στούς ἄλλους, σάν νά μή τά ἔβλεπε, καί ἐκεῖνα πού ἄκουε σάν νά μή τά ἄκουε.

14. Κάποιος ἀδελφός τῆς Σκήτης κάποτε ἔσφαλε. Ἔγινε συγκέντρωση στήν ὁποία κάλεσαν τόν ἀββᾶ Μωυσῆ* ἀλλ' αὐτός δέν θέλησε νά πάει. Τοῦ παρήγγειλε τότε ὁ πρεσβύτερος: «Ἔλα, γιατί σέ περιμένουν ὅλοι». Κι ἐκεῖνος σηκώθηκε καί πῆγε κρατώντας στήν πλάτη ἕνα καλάθι τρύπιο πού τό γέμισε ἄμμο. Οἱ Πατέρες πού βγῆκαν νά τόν προϋπαντήσουν τοῦ λένε: «Τί εἶναι αὐτό, πάτερ;» «Οἱ ἁμαρτίες μου —ἀπαντᾶ ὁ Γέροντας— πού κυλοῦν καί πέφτουν πίσω

5. Ἰω. 10, 34.

ἦλθον ἐγὼ σήμερον ἁμαρτήματα ἀλλότρια κρῖναι. Οἱ δὲ ἀκούσαντες, οὐδὲν ἐλάλησαν τῷ ἀδελφῷ, ἀλλὰ συνεχώρησαν αὐτῷ.

15. Ἔλεγεν ὁ ἀββᾶς Μωυσῆς ὅτι ὀφείλει ἄνθρωπος ἀποθανεῖν ἀπὸ τοῦ πλησίον αὐτοῦ τοῦ μὴ κρῖναι αὐτὸν ἔν τινι.

16. Εἶπε πάλιν· Τέλος πάντων τὸ μὴ κρῖναι τὸν πλησίον. Ὅτε γὰρ ἡ χεὶρ Κυρίου ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, οὐκ ἦν οἶκος οὗ οὐκ ἦν ἐν αὐτῷ τεθνηκώς. Λέγει αὐτῷ ὁ ἀδελφός· Τίς ἐστιν ὁ λόγος οὗτος; Λέγει αὐτῷ ὁ Γέρων· Ὅτι ἐὰν ἡμᾶς ἐάσωσιν ἰδεῖν τὰς ἁμαρτίας ἡμῶν, οὐ μὴ ἴδωμεν τὰς ἁμαρτίας τοῦ πλησίον· μωρία γάρ ἐστιν ἀνθρώπῳ ἔχοντι τὸν ἑαυτοῦ νεκρόν, ἀφῆναι αὐτὸν καὶ ἀπελθεῖν κλαῦσαι τὸν τοῦ πλησίον.

Τὸ ἀποθανεῖν δὲ ἀπὸ τοῦ πλησίον σου τοῦτό ἐστι· τὸ βαστάσαι σου τὸ ἁμάρτημα καὶ ἀμεριμνῆσαι ἀπὸ παντὸς ἀνθρώπου ὅτι οὗτος καλός ἐστιν ἢ οὗτος κακός. Μὴ ποιήσῃς κακὸν μηδενὶ ἀνθρώπῳ· μηδὲ λογίζου πονηρὸν ἐν τῇ καρδίᾳ σου εἴς τινα. Μηδὲ ἐξουδενώσῃς τινὰ ποιοῦντα κακόν, μηδὲ πεισθῇς τῷ κακοποιοῦντι τὸν πλησίον αὐτοῦ, μηδὲ χαῖρε μετὰ τοῦ ποιοῦντος κακὸν τῷ πλησίον αὐτοῦ· τοῦτο γάρ ἐστι τὸ ἀποθανεῖν ἀπὸ τοῦ πλησίον.

Μὴ καταλαλήσῃς τινά· λέγε· Ὁ Θεὸς γινώσκει ἕκαστον. Καὶ μὴ συμπεισθῇς μετὰ τοῦ καταλαλοῦντος, μηδὲ συγχαρῇς μετὰ τῆς καταλαλιᾶς αὐτοῦ· μηδὲ μισήσῃς τὸν καταλαλοῦντα τοῦ πλησίον αὐτοῦ. Καὶ τοῦτό ἐστι τὸ μὴ κρῖναι.

Μὴ ἔχε ἔχθραν μετά τινος ἀνθρώπου· καὶ μὴ κρατήσῃς

6. Ἐξ. 12, 29-30.

μου καί δέν τίς βλέπω. Καί ἦλθα ἐγώ σήμερα νά κρίνω τά σφάλματα ἄλλου». Ὅταν τ' ἄκουσαν αὐτά οἱ Πατέρες, δέν εἶπαν τίποτε ἐναντίον τοῦ ἀδελφοῦ ἀλλά τόν συγχώρεσαν.

15. Ἔλεγε ὁ ἀββᾶς Μωυσῆς* ὅτι ὀφείλει ὁ ἄνθρωπος νά εἶναι νεκρός ἔναντι τοῦ πλησίον ὥστε νά μήν τόν κρίνει γιά τίποτε.

16. Εἶπε ἐπίσης: Ὅλος ὁ ἀγώνας πρέπει νά ἀποβλέπει στό νά μήν κρίνουμε τόν πλησίον. Γιατί ὅταν τό χέρι τοῦ Κυρίου φόνευσε ὅλα τά πρωτότοκα στή χώρα τῆς Αἰγύπτου, δέν ἔμεινε σπίτι πού νά μήν εἶχε νεκρό»[6]. Τόν ρωτάει ὁ ἀδελφός: «Τί σημαίνουν τά λόγια αὐτά;» «Σημαίνουν —εἶπε ὁ Γέροντας— ὅτι, ἐάν ὅλα ἐκεῖνα πού μᾶς ἐμποδίζουν, μᾶς ἀφήσουν νά δοῦμε τίς ἁμαρτίες μας, δέν θά βλέπουμε τίς ἁμαρτίες τοῦ πλησίον· ἄλλωστε εἶναι ἀνοησία, ἐνῶ ἔχει δικό του νεκρό ὁ ἄνθρωπος, νά τόν ἀφήσει καί νά πάει νά κλάψει τόν νεκρό τοῦ πλησίον.

Καί τό νά πεθάνεις ἔναντι τοῦ πλησίον σημαίνει νά ἔχεις μπροστά σου τή δική σου ἁμαρτία καί νά μήν ἔχεις μέριμνα γιά κανένα ἄνθρωπο ὅτι αὐτός εἶναι καλός ἤ ἐκεῖνος εἶναι κακός. Μήν κάνεις κακό σέ κανένα ἄνθρωπο, οὔτε νά σκέφτεσαι πονηρά γιά κανένα. Μήν ἐξευτελίσεις κάποιον πού κάνει τό κακό ἀλλά καί νά μή συμφωνήσεις μ' ἐκεῖνον πού κάνει κακό στόν πλησίον οὔτε νά χαίρεσαι μ' αὐτόν πού βλάπτει τόν πλησίον. Αὐτό σημαίνει τό νά εἴμαστε νεκροί ἔναντι τοῦ πλησίον.

Μήν κατηγορήσεις κανένα· νά λές: Ὁ Θεός γνωρίζει τόν καθένα. Καί νά μή συμφωνεῖς μ' αὐτόν πού κατηγορεῖ· νά μή χαίρεσαι πού κατηγορεῖ ἀλλά οὔτε καί νά τόν μισεῖς. Αὐτό εἶναι τό νόημα τοῦ νά μήν κρίνουμε.

Μήν ἐχθρεύεσαι κανέναν ἄνθρωπο· καί νά μήν κρατή-

ἔχθραν ἐν τῇ καρδίᾳ σου· μὴ μισήσῃς τὸν ἐχθραίνοντα μετὰ τοῦ πλησίον· καὶ αὕτη ἐστὶν ἡ εἰρήνη.

Ἐν τούτοις σεαυτὸν παρακάλει· πρὸς ὀλίγον γὰρ χρόνον ὁ κάματος· καὶ εἰς ἀεὶ ἡ ἀνάπαυσις χάριτι τοῦ Θεοῦ Λόγου. Ἀμήν.

17. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μάρκου τοῦ Αἰγυπτίου ὅτι ἔμεινε τριάκοντα ἔτη μὴ ἐξερχόμενος ἐκ τοῦ κελλίου αὐτοῦ. Εἶχε δὲ ὁ πρεσβύτερος ἔθος ἔρχεσθαι καὶ ποιεῖν αὐτῷ τὴν ἁγίαν ἀναφοράν. Ὁ δὲ διάβολος θεωρήσας τὴν τοῦ ἀνδρὸς ἐνάρετον ὑπομονήν, ἐπανουργεύσατο ἐν κατακρίσει πειράσαι αὐτόν· καὶ παρεσκεύασέ τινα πνευματιῶντα πρὸς τὸν Γέροντα προφάσει εὐχῆς ἀπελθεῖν. Ὁ δὲ πνευματιῶν πρὸ παντὸς λόγου ἐφώνησε τῷ Γέροντι ὅτι· Ὁ πρεσβύτερός σου ἔχει ὀσμὴν ἁμαρτίας· μηκέτι αὐτὸν ἐάσῃς ἐλθεῖν πρὸς σέ. Ὁ δὲ θεόπνευστος ἀνὴρ εἶπε πρὸς αὐτόν· Τέκνον, πάντες τὴν ἀκαθαρσίαν ἔξω βάλλουσι, σὺ δὲ πρός με ἤνεγκας αὐτήν; Ἀλλὰ γέγραπται· Μὴ κρίνετε ἵνα μὴ κριθῆτε. Ὅμως εἰ ἁμαρτωλός ἐστιν, ὁ Κύριος σώσῃ αὐτόν. Γέγραπται γάρ· Εὔχεσθε ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε. Καὶ ἐπὶ τῷ λόγῳ τούτῳ ποιήσας εὐχὴν ἐφυγάδευσε τὸν δαίμονα ἀπὸ τοῦ ἀνθρώπου καὶ ἀπέλυσεν αὐτὸν ὑγιῆ.

Ὡς δὲ ἦλθεν ὁ πρεσβύτερος κατὰ τὸ εἰωθός, ὑπεδέξατο αὐτὸν ὁ Γέρων μετὰ χαρᾶς. Ὁ δὲ ἀγαθὸς Θεὸς εἰδὼς τὴν ἀκακίαν τοῦ Γέροντος, ἔδειξεν αὐτῷ σημεῖον. Μέλλοντος γὰρ τοῦ κληρικοῦ στῆναι ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καθὼς ὁ Γέρων διηγήσατο, ὅτι εἶδον ἄγγελον Κυρίου κατερχόμενον, καὶ ἔθηκε τὴν χεῖρα αὐτοῦ εἰς τὴν κορυφὴν τοῦ κληρικοῦ καὶ ἐγένετο ὁ κληρικὸς ὡς στύλος πυρός.

7. Ματθ. 7, 1. 8. Ἰακ. 5, 16.

σεις ἔχθρα μέσα στήν καρδιά σου· ἀλλά μή μισήσεις καί αὐτόν πού ἐχθρεύεται τόν πλησίον. Αὐτή εἶναι ἡ εἰρήνη.

Νά παρακινεῖς τόν ἑαυτό σου σ' αὐτά. Ὁ κόπος εἶναι προσωρινός, ἐνῶ ἡ ἀνάπαυση εἶναι αἰώνια μέ τή χάρη τοῦ Θεοῦ Λόγου. Ἀμήν.

17. Ἔλεγαν γιά τόν ἀββᾶ Μάρκο τόν Αἰγύπτιο ὅτι ἔμεινε τριάντα χρόνια χωρίς νά βγεῖ ἀπ' τό κελί του. Ὁ πρεσβύτερος συνήθιζε νά πηγαίνει καί νά τοῦ κάνει τή Θεία Λειτουργία. Ὁ διάβολος ὅμως βλέποντας τήν ἐνάρετη ὑπομονή τοῦ ἀνδρός, σοφίσθηκε νά τόν ρίξει στόν πειρασμό τῆς κατάκρισης. Ἔτσι ἔκανε κάποιον δαιμονισμένο νά πάει στόν Γέροντα γιά νά τοῦ ζητήσει τάχα τήν προσευχή του. Αὐτός λοιπόν ὁ δαιμονισμένος πρίν ἀπό κάθε ἄλλο λόγο εἶπε στόν Γέροντα: «Ὁ πρεσβύτερός σου μυρίζει ἁμαρτία. Μήν τόν ἀφήσεις ἄλλη φορά νά ρθεῖ κοντά σου». Καί ὁ θεόπνευστος ἄνθρωπος τοῦ εἶπε: «Παιδί μου, ὅλοι τή βρωμιά τήν πετοῦν ἔξω καί ἐσύ μοῦ τήν ἔφερες ἐδῶ; Ἡ Γραφή λέει: Μή κρίνετε γιά νά μή κριθεῖτε[7]. Ἀλλά ἄν εἶναι ἁμαρτωλός, ὁ Κύριος θά τόν σώσει. Εἶναι μάλιστα γραμμένο στήν Ἁγία Γραφή: Νά προσεύχεσθε ὁ ἕνας γιά τόν ἄλλον γιά νά θεραπευθεῖτε[8]». Καί πάνω στόν λόγο αὐτό, προσευχήθηκε καί ἔδιωξε τόν δαίμονα ἀπό τόν ἄνθρωπο καί τόν ἔστειλε ὑγιή.

Ὅταν λοιπόν ἦρθε ὁ πρεσβύτερος, ὅπως συνήθιζε, τόν ὑποδέχθηκε ὁ Γέροντας μετά χαρᾶς. Καί ὁ Θεός πού γνώριζε τήν ἀκακία τοῦ Γέροντα, τοῦ ἔδειξε θαυμαστό σημάδι. Ὅταν ἦρθε ἡ ὥρα νά σταθεῖ ὁ πρεσβύτερος μπροστά στήν ἁγία Τράπεζα, ὅπως ὁ ἴδιος ὁ Γέροντας τό περιέγραψε, «εἶδα ἄγγελο Κυρίου νά κατεβαίνει ἀπό ψηλά καί ἔβαλε τό χέρι του στό κεφάλι τοῦ κληρικοῦ καί ἔγινε ὁ κληρικός σάν ἕνας στύλος φωτιᾶς. Καί ἐγώ καθώς ἔμεινα ἔκπλη-

Ἐμοῦ δὲ θαυμάσαντος ἐπὶ τῇ ὁράσει, ἤκουσα φωνῆς λεγούσης, φησί, πρός με· Ἄνθρωπε, τί θαυμάζεις ἐπὶ τῷ πράγματι τούτῳ; Εἰ γὰρ βασιλεὺς ἐπίγειος οὐ μὴ ἐάσῃ τοὺς μεγιστάνας αὐτοῦ ῥυπαροὺς στῆναι ἔμπροσθεν αὐτοῦ, ἐὰν μὴ μετὰ δόξης πολλῆς, πόσῳ μᾶλλον ἡ θεία δύναμις οὐ καθαρίσει τοὺς λειτουργοὺς τῶν ἀρρήτων μυστηρίων, στήκοντας ἔμπροσθεν τῆς ἀρρήτου δόξης;

Ὁ δὲ γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ Μάρκος ὁ Αἰγύπτιος, μέγας γενόμενος κατηξιώθη τοῦ χαρίσματος τούτου, ὅτι οὐ κατέκρινε τὸν κληρικόν.

18. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ποιμένα λέγων· Εἰπέ μοι πῶς γένωμαι μοναχός; Καὶ εἶπεν ὁ Γέρων· Εἰ θέλεις εὑρεῖν ἀνάπαυσιν καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι αἰῶνι, ἐπὶ παντὶ πράγματι λέγε· Ἐγὼ τίς εἰμι· καὶ μὴ κρίνῃς τινά.

19. Ἤκουσέ ποτε ὁ πρεσβύτερος τοῦ Πηλουσίου περί τινων ἀδελφῶν ὅτι συνεχῶς εἰς τὴν πόλιν εἰσὶ καὶ λούονται καὶ ἀμελοῦσιν ἑαυτῶν. Καὶ ἐλθὼν εἰς τὴν σύναξιν, ἦρεν ἀπ' αὐτῶν τὸ σχῆμα. Καὶ μετὰ τοῦτο ἔτυψεν αὐτὸν ἡ συνείδησις αὐτοῦ καὶ μετεμελήθη. Καὶ ἦλθε πρὸς τὸν ἀββᾶν Ποιμένα μεθύων τοῖς λογισμοῖς, βαστάζων καὶ τοὺς λεβίτονας τῶν ἀδελφῶν καὶ ἀναγγέλλει τὸ πρᾶγμα τῷ Γέροντι. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Οὐκ ἔχεις σὺ τίποτε τοῦ παλαιοῦ ἀνθρώπου; Ἀπεδύσω αὐτόν; Ὁ δὲ πρεσβύτερος εἶπεν ὅτι· Μετέχω τοῦ παλαιοῦ ἀνθρώπου. Ὁ δὲ Γέρων εἶπεν αὐτῷ·

9. Πηλούσιον: Ἀρχαία παραλιακή πόλη τῆς Αἰγύπτου, στό ἄκρον τοῦ ἀνατολικοῦ βραχίονα τοῦ Νείλου (σημ. πεδίον ἀλ Τίνε). Λόγω τῆς θέσεώς της ὑπῆρξε σπουδαία ἀπό ἐμπορικῆς καί στρατιωτικῆς ἀπόψεως. Κατά τούς χριστιανικούς χρόνους σημειώθηκε στήν περιοχή της ἀξιόλογη μοναστική

κτος ἀπό τό θέαμα, ἄκουσα μιά φωνή νά μοῦ λέει: "Ἄνθρωπε, γιατί ἐκπλήττεσαι μ' αὐτό πού γίνεται; Ἐάν ἕνας ἐπίγειος βασιλιάς δέν θ' ἀφήσει τούς μεγιστάνες του νά στέκονται μπροστά του ρυπαροί, ἀλλά μόνο ἄν ἔχουν ἐπίσημη περιβολή, πόσο περισσότερο ἡ θεία δύναμη δέν θά καθαρίσει τούς λειτουργούς τῶν ἀρρήτων μυστηρίων, ὅταν στέκονται μπροστά στήν ἄφατη δόξα;»

Ἔτσι ὁ γενναῖος τοῦ Χριστοῦ ἀθλητής ὁ Μάρκος ὁ Αἰγύπτιος, ἀναδείχθηκε μεγάλος καί ἔγινε ἄξιος τοῦ χαρίσματος αὐτοῦ, ἐπειδή δέν κατέκρινε τόν κληρικό.

18. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα*: «Πές μου, πῶς θά γίνω μοναχός;» Καί ὁ Γέροντας εἶπε: «Ἐάν θέλεις νά βρεῖς ἀνάπαυση καί σ' αὐτόν τόν κόσμο καί στή μέλλουσα ζωή, νά λές σέ κάθε περίπτωση: Ποιός εἶμαι ἐγώ; Καί νά μήν κατακρίνεις κανένα».

19. Ἄκουσε κάποτε ὁ πρεσβύτερος τοῦ Πηλουσίου[9] γιά μερικούς ἀδελφούς ὅτι βρίσκονταν συνεχῶς στήν πόλη, πήγαιναν στό λουτρό καί ἀμελοῦσαν τήν ψυχή τους. Πῆγε λοιπόν στή σύναξη καί τούς ἀφαίρεσε τό μοναχικό σχῆμα. Μετά ὅμως τόν ἔτυψε ἡ συνείδηση καί μετάνιωσε γι' αὐτό πού ἔκανε. Πάει στόν ἀββᾶ Ποιμένα* ζαλισμένος ἀπ' τούς λογισμούς, κρατώντας καί τά ράσα τῶν ἀδελφῶν, καί ἀναγγέλλει τό γεγονός στόν Γέροντα. Κι ὁ Γέροντας τοῦ λέει: «Ἐσύ δέν ἔχεις τίποτε ἀπ' τόν παλαιό ἄνθρωπο; Τόν ξεντύθηκες;» «Μετέχω —ἀπαντᾶ ὁ πρεσβύτερος— στόν παλαιό ἄνθρωπο». «Νά, λοιπόν —τοῦ λέει ὁ Γέροντας—

ἀνάπτυξη. Σέ μιά ἀπό τίς μονές τοῦ Πηλουσίου ἔζησε καί ὁ ἅγιος Ἰσίδωρος ὁ Πηλουσιώτης. Μέ τή μουσουλμανική κατάκτηση τοῦ 639 ἡ πόλη παρήκμασε.

Ἰδοὺ οὖν καὶ σὺ ὡς οἱ ἀδελφοί. Εἰ γὰρ μικρὸν μετέχεις τῆς παλαιότητος, ὅμως ὑπόκεισαι τῇ ἁμαρτίᾳ. Τότε ἀπελθὼν ὁ πρεσβύτερος ἐκάλεσε τοὺς ἀδελφοὺς καὶ μετενόησε τοῖς ἕνδεκα καὶ ἐνέδυσεν αὐτοὺς τὸ σχῆμα τοῦ μοναχοῦ καὶ ἀπέλυσεν.

20. Εἶπε πάλιν ὅτι· Ἔστιν ἄνθρωπος δοκῶν σιωπᾶν καὶ ἡ καρδία αὐτοῦ κατακρίνει ἄλλους· ὁ τοιοῦτος πάντοτε λαλεῖ. Καὶ ἔστιν ἄλλος ἀπὸ πρωὶ ἕως ἑσπέρας λαλῶν, καὶ σιωπὴν κρατεῖ· τουτέστιν, ὅτι ἐκτὸς ὠφελείας οὐδὲν λαλεῖ.

21. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ποιμένα λέγων· Ἐὰν ἴδω πταῖσμα τοῦ ἀδελφοῦ μου, καλόν ἐστι σκεπάσαι αὐτό; Λέγει αὐτῷ ὁ Γέρων· Οἷαν ὥραν σκεπάσωμεν τὸ τοῦ ἀδελφοῦ ἡμῶν πταῖσμα, καὶ ὁ Θεὸς σκεπάζει τὸ ἡμέτερον· καὶ ἐν ᾗ ὥρᾳ ἐκφανοῦμεν τὸ τοῦ ἀδελφοῦ, καὶ ὁ Θεὸς ἐκφαίνει τὸ ἡμέτερον.

22. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων ὅτι· Ἐὰν ἴδω ἀδελφὸν περὶ οὗ ἤκουσα πταῖσμα, οὐ θέλω εἰσενεγκεῖν αὐτὸν εἰς τὸ κελλίον μου· ἐὰν δὲ ἴδω καλόν, χαίρω μετ᾽ αὐτοῦ. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ ποιεῖς τῷ καλῷ ἀδελφῷ μικρὸν ἀγαθόν, διπλοῦν ποίησον μετ᾽ ἐκείνου· οὗτος γάρ ἐστιν ὁ ἀσθενῶν.

Ἦν γάρ τις ἐν κοινοβίῳ ὀνόματι Τιμόθεος ἀναχωρητής. Καὶ ἤκουσεν ὁ ἡγούμενος φήμην περί τινος ἀδελφοῦ περὶ πειρασμοῦ· καὶ ἐπηρώτησε τὸν Τιμόθεον περὶ αὐτοῦ. Καὶ συνεβούλευσεν αὐτῷ ἐκβαλεῖν τὸν ἀδελφόν. Ὅτε οὖν ἐξέβαλεν αὐτόν, ἐτέθη ὁ πειρασμὸς τοῦ ἀδελφοῦ ἐπάνω τοῦ

πού εἶσαι κι ἐσύ σάν τούς ἀδελφούς. Γιατί καί λίγο νά μετέχεις στόν παλαιό ἄνθρωπο, ὑπόκεισαι στήν ἁμαρτία». Ἔφυγε ὁ πρεσβύτερος καί κάλεσε τούς ἀδελφούς πού ἦταν ἕντεκα, τούς ἔβαλε μετάνοια, τούς φόρεσε τό μοναχικό σχῆμα καί τούς ἄφησε νά φύγουν.

20. Εἶπε ἐπίσης: «Μπορεῖ ἕνας ἄνθρωπος νά φαίνεται ὅτι σιωπᾶ ἐνῶ ἡ καρδιά του κατακρίνει τούς ἄλλους· ἕνας τέτοιος ἄνθρωπος πάντοτε λαλεῖ. Καί μπορεῖ ἕνας ἄλλος νά μιλάει ἀπό τό πρωί ὥς τό βράδυ καί ὅμως κρατάει σιωπή· γιατί δέν λέει τίποτε περισσότερο ἀπ᾽ ὅσα ὠφελοῦν».

21. Ρώτησε ἕνας ἀδελφός τόν ἀββᾶ Ποιμένα: «Ἐάν δῶ κάποιο σφάλμα τοῦ ἀδελφοῦ μου, εἶναι καλό νά τό σκεπάσω;» Κι ὁ Γέροντας ἀπάντησε: «Ὅποια ὥρα σκεπάσουμε τό σφάλμα τοῦ ἀδελφοῦ μας, σκεπάζει καί ὁ Θεός τό δικό μας. Καί ὅποια ὥρα θά φανερώσουμε τοῦ ἀδελφοῦ τό σφάλμα, θά φανερώσει καί ὁ Θεός τό δικό μας».

22. Ἄλλος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα*: «Ἄν συναντήσω ἕναν ἀδελφό γιά τόν ὁποῖο ἄκουσα ὅτι ἁμάρτησε, δέν θέλω νά τόν βάλω στό κελί μου. Ἐνῶ ἄν δῶ καλόν ἀδελφό, χαίρομαι νά εἶμαι μαζί του». Κι ὁ Γέροντας τοῦ λέει: «Ἐάν κάνεις στόν καλό ἀδελφό κάποιο καλό, στόν ἄλλο νά τοῦ τό κάνεις διπλό· γιατί αὐτός εἶναι ὁ ἄρρωστος[10].

Ἦταν σέ κάποιο κοινόβιο ἕνας ἀναχωρητής πού τόν ἔλεγαν Τιμόθεο. Ἔφτασαν στ᾽ αὐτιά τοῦ ἡγουμένου ὅτι ἕνας ἀδελφός ἔπεσε σέ πειρασμό καί ρώτησε τόν Τιμόθεο σχετικά μ᾽ αὐτόν. Κι ἐκεῖνος συμβούλευσε νά τόν διώξει. Ὅταν ὅμως τόν ἔδιωξε, ὁ πειρασμός ἦλθε πάνω στόν Τιμόθεο, σέ

10. Πρβλ. Ματθ. 9, 12 καί Λουκ. 5, 31.

Τιμοθέου, ἕως οὗ ἐκινδύνευσεν. Ἔκλαιεν οὖν ὁ Τιμόθεος ἐνώπιον τοῦ Θεοῦ λέγων· Ἡμάρτηκα, συγχώρησόν μοι, Κύριε. Καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Τιμόθεε, μὴ νομίσῃς ὅτι τοῦτο ἐποίησά σοι δι᾽ ἄλλο τι ἢ διότι παρεῖδες τὸν ἀδελφόν σου ἐν καιρῷ τοῦ πειρασμοῦ αὐτοῦ.

23. Ἦν τις μέγας ἡσυχαστὴς ἐν τῷ ὄρει τῆς Ἀθλίβεως καὶ ἦλθον ἐπάνω αὐτοῦ λησταί· καὶ ἔκραξεν ὁ Γέρων καὶ ἀκούσαντες οἱ γείτονες αὐτοῦ ἐπίασαν τοὺς λῃστὰς καὶ ἔπεμψαν τῷ ἡγεμόνι. Καὶ ἔβαλεν αὐτοὺς εἰς φυλακὴν καὶ ἐλυπήθησαν οἱ ἀδελφοὶ λέγοντες ὅτι δι᾽ ἡμᾶς παρεδόθησαν. Καὶ ἀναστάντες ἀπῆλθον πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ ἀνήγγειλαν αὐτῷ τὸ πρᾶγμα. Καὶ ἔγραψε πρὸς τὸν Γέροντα λέγων· Ἐννόησον τὴν πρώτην προδοσίαν πόθεν γέγονε καὶ τότε βλέπεις τὴν δευτέραν· εἰ μὴ γὰρ προεδόθης πρότερον ἐκ τῶν ἔσωθεν, οὐκ ἂν τὴν δευτέραν προδοσίαν ἐποίησας. Ἀκούσας δὲ τὴν ἐπιστολὴν τοῦ ἀββᾶ Ποιμένος —ἦν γὰρ ὀνομαστὸς εἰς ὅλην τὴν χώραν ἐκείνην καὶ μὴ ἐξερχόμενος ἐκ τοῦ κελλίου αὐτοῦ— ἀναστὰς ἦλθεν εἰς τὴν πόλιν καὶ ἐξέβαλε τοὺς λῃστὰς ἐκ τῆς φυλακῆς καὶ δημοσίᾳ ἠλευθέρωσεν αὐτούς.

24. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Γέγραπται ὅτι ἃ εἶδον οἱ ὀφθαλμοί σου, ταῦτα διαμαρτυροῦ. Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι, ἐὰν καὶ ψηλαφήσητε ταῖς χερσὶν ὑμῶν, μὴ μαρτυρήσητε. Ἀδελφὸς γάρ τις ἐχλευάσθη ἔν τινι τοιούτῳ. Καὶ εἶδεν ὡς τὸν ἀδελφὸν αὐτοῦ μετὰ γυναικὸς ἁμαρτάνοντα. Καὶ πολλὰ πολεμηθεὶς ἀπελθών, ἔνυξεν αὐτοὺς ὡς νομίζων αὐτοὺς

11. Ἄθλιβις: βρίσκεται στή δεξιά ὄχθη τοῦ ἀνατολικοῦ βραχίονα τοῦ Δέλτα τοῦ Νείλου.

σημεῖο πού κινδύνευσε. Ἔκλαιε λοιπόν ὁ Τιμόθεος μπροστά στόν Θεό καί ἔλεγε: «Ἁμάρτησα, Κύριε, συγχώρεσέ με. Καί ἄκουσε μιά φωνή πού τοῦ εἶπε: Τιμόθεε, μή νομίσεις ὅτι αὐτό σοῦ τό 'κανα γι᾽ ἄλλον λόγο, παρά μόνο γιατί παρέβλεψες τόν ἀδελφό σου τόν καιρό τοῦ πειρασμοῦ του».

23. Ζοῦσε στό ὄρος τῆς Ἀθλίβεως[11] ἕνας μεγάλος ἡσυχαστής στόν ὁποῖο ἐπετέθησαν κάποτε ληστές. Ἄρχισε νά φωνάζει ὁ Γέροντας καί στή φωνή του ἔτρεξαν οἱ γείτονες, ἔπιασαν τούς ληστές καί τούς ὁδήγησαν στόν ἄρχοντα. Κι ὁ ἄρχοντας τούς ἔριξε στή φυλακή. Οἱ ἀδελφοί ὅμως λυπήθηκαν· ἔλεγαν «ἐξαιτίας μας μπῆκαν στή φυλακή». Σηκώθηκαν λοιπόν καί πῆγαν στόν ἀββᾶ Ποιμένα καί τοῦ ἀνήγγειλαν τό γεγονός. Κι ὁ ἀββᾶς ἔγραψε στόν Γέροντα: «Σκέψου ἀπό ποῦ προῆλθε ἡ πρώτη προδοσία καί τότε θά δεῖς καί τή δεύτερη. Γιατί ἂν προηγουμένως δέν ξεκινοῦσε ἡ προδοσία ἀπό μέσα σου, δέν θά ἔκαμνες τή δεύτερη».

Ὁ ἀναχωρητής ἦταν ὀνομαστός σ᾽ ὅλο τόν τόπο ἐκεῖνον καί δέν ἔβγαινε ἀπό τό κελί του, ἀλλά ὅταν πληροφορήθηκε τί τοῦ 'λεγε ὁ ἀββᾶς Ποιμήν, σηκώθηκε, κατέβηκε στήν πόλη καί ἔβγαλε τούς ληστές ἀπό τή φυλακή καί δημοσίως τούς ἄφησε ἐλεύθερους.

24. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἔχει γραφεῖ· αὐτά πού εἶδες μέ τά μάτια σου, αὐτά νά μαρτυρήσεις[12]. Ἐγώ ὅμως σᾶς λέω ὅτι κι ἂν ἀκόμη ψηλαφήσετε μέ τά χέρια σας, μή μαρτυρήσετε. Ἕνας ἀδελφός ἐμπαίχθηκε (ἀπό τόν δαίμονα) σέ μιά τέτοια περίπτωση. Εἶδε τάχα ὅτι ὁ ἀδελφός του ἁμάρτανε μέ μιά γυναίκα. Καί ἀφοῦ μέσα του ἔγινε μεγάλος πόλεμος, πῆγε καί τούς σκούντησε μέ τό πόδι του, νο-

12. Παροιμ. 25, 7.

εἶναι τῷ ποδὶ αὐτοῦ λέγων· Παύσασθε λοιπόν, ἕως πότε; Καὶ ἰδοὺ εὑρέθησαν θαλλοὶ σίτου. Διὰ τοῦτο εἶπον ὑμῖν ὅτι καὶ ἐὰν ψηλαφήσητε ταῖς χερσὶν ὑμῶν, μὴ ἐλέγχητε.

25. Ἠρώτησάν τινες τῶν Πατέρων τὸν ἀββᾶν Ποιμένα λέγοντες· Πῶς οὕτως ἠνείχετο ὁ ἀββᾶς Νισθερῶος τοῦ μαθητοῦ αὐτοῦ; Λέγει αὐτοῖς ὁ ἀββᾶς Ποιμήν· Εἰ ἐγὼ ἤμην, καὶ τὸ κερβικάριον ἐτίθουν πρὸς κεφαλὴν αὐτοῦ. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀνούβ· Καὶ τί ἔλεγες τῷ Θεῷ; Λέγει ὁ ἀββᾶς Ποιμήν· Ἐρῶ οὖν ὅτι σὺ εἶπας· Πρῶτον ἔκβαλε τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

26. Ἐσφάλη ποτὲ ἀδελφὸς ἐν κοινοβίῳ. Ἦν δὲ ἐν τῷ τόπῳ ἐκείνῳ ἀναχωρητὴς καὶ πολὺν χρόνον οὐ προῆλθεν. Ἐλθὼν δὲ ὁ ἀββᾶς τοῦ κοινοβίου πρὸς τὸν Γέροντα, ἀνήγγειλεν αὐτῷ τὰ περὶ τοῦ σφαλέντος ἀδελφοῦ. Ὁ δὲ εἶπε· Διώξατε αὐτόν. Ἐξελθὼν δὲ ὁ ἀδελφὸς τοῦ κοινοβίου, εἰσῆλθεν εἰς χαράδραν καὶ ἔκλαιεν ἐκεῖ. Εὐκαίρησαν δὲ ἀδελφοὶ ἀπερχόμενοι πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ ἤκουσαν αὐτοῦ κλαίοντος. Καὶ εἰσελθόντες εὗρον αὐτὸν ἐν μεγάλῳ πόνῳ· καὶ παρεκάλεσαν αὐτὸν ἆραι πρὸς τὸν Γέροντα καὶ οὐκ ἤθελε λέγων· Ὧδε ἐγὼ ἀποθνήσκω, ὅτι ἡμάρτηκα.

Ἐλθόντες δὲ πρὸς τὸν ἀββᾶν Ποιμένα διηγήσαντο αὐτῷ. Καὶ παρακαλέσας αὐτοὺς ἀπέστειλε λέγων· Εἴπατε αὐτῷ ὅτι ὁ ἀββᾶς Ποιμὴν φωνεῖ σε. Ἦλθε δὲ πρὸς αὐτὸν ὁ ἀδελφὸς καὶ ἰδὼν αὐτὸν ὁ Γέρων τεθλιμμένον, ἀναστὰς

13. Ἡ λ. τοῦ ἀρχ. κειμένου: κερβικάριον (ἀπό τό λατιν. cervical = προσκεφάλι).

μίζοντας ὅτι αὐτοί εἶναι καί τούς εἶπε: Σταματεῖστε λοιπόν. Ὥς πότε; Καί διαπιστώνει τότε ὅτι ἦταν δεμάτια ἀπό στάχυα σιταριοῦ. Γι' αὐτό σᾶς εἶπα ὅτι καί μέ τά χέρια σας ἀκόμη ἄν ψηλαφήσετε, μήν ἐλέγξετε».

25. Ρώτησαν μερικοί Πατέρες τόν ἀββᾶ Ποιμένα πῶς ἀνεχόταν τόσο πολύ ὁ ἀββᾶς Νισθερῶος τόν μαθητή του. Καί ὁ ἀββᾶς Ποιμήν τούς λέει: «Ἄν ἤμουν ἐγώ, θά τοῦ 'βαζα καί μαξιλάρι[13] κάτω ἀπ' τό κεφάλι». «Καί τί θά ἔλεγες στόν Θεό;» τόν ρώτησε ὁ ἀββᾶς Ἀνούβ. «Θά τοῦ πῶ —ἀπάντησε ὁ ἀββᾶς Ποιμήν— Ἐσύ εἶπες βγάλε πρῶτα ἀπό τό μάτι σου τό δοκάρι καί τότε θά δεῖς καλά γιά νά μπορέσεις νά βγάλεις τό σκουπιδάκι ἀπό τό μάτι τοῦ ἀδελφοῦ σου[14]».

26. Ἕνας ἀδελφός πού ἔμενε σέ κοινόβιο ἔσφαλε κάποτε. Καί σέ κεῖνο τόν τόπο ὑπῆρχε ἕνας ἀναχωρητής πού ἀπό πολύν καιρό ἦταν ἔγκλειστος. Ὁ ἀββᾶς τοῦ κοινοβίου πῆγε στόν Γέροντα αὐτόν καί τοῦ ἀνέφερε τά σχετικά μέ τόν ἀδελφό πού ἁμάρτησε. Κι ἐκεῖνος εἶπε «Διῶξτε τον». Ἔφυγε λοιπόν ὁ ἀδελφός ἀπό τό κοινόβιο καί μπῆκε σέ μιά χαράδρα καί ἔκλαιγε ἐκεῖ. Κάποιοι ἀδελφοί κατά καλή σύμπτωση καθώς πήγαιναν γιά τόν ἀββᾶ Ποιμένα, τόν ἄκουσαν πού ἔκλαιγε. Κατέβηκαν λοιπόν στή χαράδρα καί τόν βρῆκαν μέσα σέ μεγάλη θλίψη. Τόν παρακάλεσαν νά τόν πάρουν μαζί τους στόν ἀββᾶ Ποιμένα ἀλλά δέν δέχθηκε λέγοντας: «Ἐγώ θά πεθάνω ἐδῶ, γιατί ἁμάρτησα».

Πῆγαν οἱ ἀδελφοί στόν ἀββᾶ Ποιμένα* καί τοῦ μίλησαν γι' αὐτόν. Ὁ ἀββᾶς τούς ἐνθάρρυνε καί τούς ἔστειλε πίσω λέγοντας: «Πεῖτε του ὅτι ὁ ἀββᾶς Ποιμήν σέ καλεῖ». Ἔτσι ἦλθε ὁ ἀδελφός καί ὅταν τόν εἶδε ὁ Γέροντας τόσο

14. Ματθ. 7, 5.

ἠσπάσατο· καὶ χαριεντιζόμενος μετ' αὐτοῦ, παρεκάλεσε γεύσασθαι. Ἀπέστειλε δὲ ὁ ἀββᾶς Ποιμὴν τῶν ἀδελφῶν αὐτοῦ τινα πρὸς τὸν ἀναχωρητὴν λέγων· Ἐκ πολλῶν ἐτῶν ἐπεθύμουν σε ἰδεῖν ἀκούων τὰ περὶ σοῦ καὶ ἀπὸ ὀκνηρίας ἀμφοτέρων, οὐ συνετύχομεν ἀλλήλοις. Νῦν οὖν Θεοῦ θέλοντος καὶ ἀφορμῆς γενομένης, σκύλθητι ἕως τῶν ὧδε καὶ βλέπομεν ἀλλήλους. Ἦν δὲ μὴ ἐξερχόμενος ἐκ τοῦ κελλίου αὐτοῦ. Καὶ ἀκούσας ἔλεγεν· Εἰ μὴ ὁ Θεὸς ἐπληροφόρησε τὸν Γέροντα, οὐκ ἂν ἔπεμψε πρός με. Καὶ ἀναστὰς ἦλθε πρὸς αὐτὸν καὶ ἀσπασάμενοι ἀλλήλους μετὰ χαρᾶς, ἐκάθισαν. Εἶπε δὲ αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Δύο ἄνθρωποι ἦσαν ἐν τόπῳ τινὶ καὶ ἀμφότεροι νεκροὺς εἶχον. Ἀφῆκε δὲ ὁ εἷς τὸν νεκρὸν αὐτοῦ καὶ ἀπῆλθε κλαῦσαι τὸν τοῦ ἑτέρου. Ἀκούσας δὲ ὁ Γέρων, κατηνύγη ἐπὶ τῷ λόγῳ καὶ ἐμνήσθη ὃ ἐποίησε καὶ εἶπε· Ποιμὴν ἄνω ἄνω εἰς τὸν οὐρανόν· ἐγὼ δὲ κάτω κάτω εἰς τὴν γῆν.

27. Ἠρώτησάν τινες τῶν Πατέρων τὸν ἀββᾶν Ποιμένα λέγοντες· Ἐὰν ἴδωμέν τινα ἁμαρτάνοντα ἀδελφόν, θέλεις ἐλέγξωμεν αὐτόν; Λέγει αὐτοῖς ὁ Γέρων· Ἐγὼ τέως ἐὰν ἔχω χρείαν παρελθεῖν διὰ τῶν ἐκεῖ καὶ ἴδω αὐτὸν ἁμαρτάνοντα, ὑπερβαίνω αὐτὸν καὶ οὐκ ἐλέγχω αὐτόν.

28. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω ὅτι ὀλιγωρῶ ἐν τῷ καθέζεσθαί με; Λέγει αὐτῷ ὁ Γέρων· Μηδένα ἐξουθενήσῃς, μηδὲ κατακρίνῃς· μηδενὸς καταλαλήσῃς. Καὶ ὁ Θεὸς παρέχει σοι ἀνάπαυσιν καὶ γίνεταί σου τὸ κάθισμα ἀτάραχον.

15. Βλ. Ε ὑποσημ. 28 σελ. 152.

θλιμμένο, σηκώθηκε, τόν ἀσπάσθηκε καί κατόπιν χαριτολογώντας μαζί του τόν παρακίνησε νά φάει.

Συγχρόνως ὁ ἀββᾶς Ποιμήν ἔστειλε ἕναν ἀπό τούς ἀδελφούς του στόν ἀναχωρητή λέγοντας τά ἑξῆς: «Ἀπό χρόνια ἤθελα νά σέ δῶ ἀκούγοντας τά σχετικά μέ τή ζωή σου καί ἀπό ὀκνηρία καί τῶν δυό μας δέν ἀνταμώσαμε. Τώρα ὅμως ἐπειδή εἶναι θέλημα Θεοῦ καί δόθηκε κάποια ἀφορμή, κάνε τόν κόπο νά ρθεῖς ἐδῶ καί νά συναντηθοῦμε». Ὁ ἀναχωρητής αὐτός δέν ἔβγαινε ἀπό τό κελί του. Ἀλλά ὅταν ἄκουσε αὐτά, εἶπε: «Ἄν ὁ Θεός δέν θά πληροφοροῦσε τόν Γέροντα, δέν θά ἔστελνε νά μέ καλέσει». Σηκώθηκε λοιπόν καί πῆγε. Ἀφοῦ ἀλληλοασπάσθηκαν μετά χαρᾶς καί κάθισαν, τοῦ εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἦταν δυό ἄνθρωποι σέ κάποιον τόπο καί εἶχε ὁ καθένας δικό του νεκρό στό σπίτι. Ἀλλά ὁ ἕνας ἄφησε τόν δικό του νεκρό καί πῆγε νά κλάψει τόν νεκρό τοῦ ἄλλου». Ἀκούοντας αὐτόν τόν λόγο ὁ Γέροντας κατανύχθηκε καί θυμήθηκε αὐτό πού ἔκανε καί εἶπε: «Ὁ Ποιμήν εἶναι πολύ ψηλά στόν οὐρανό· ἐνῶ ἐγώ ἐντελῶς χαμηλά στή γῆ».

27. Ρώτησαν κάποιοι Πατέρες τόν ἀββᾶ Ποιμένα: «Ἄν δοῦμε κάποιον ἀδελφό νά ἁμαρτάνει, δίνεις εὐλογία νά τόν ἐπιπλήξουμε;» Ὁ Γέροντας τούς εἶπε: «Ἐγώ ἄν χρειασθεῖ νά περάσω ἀπό κεῖ καί τόν δῶ νά ἁμαρτάνει, θά τόν προσπεράσω καί δέν θά τόν ἐλέγξω».

28. Ρώτησε ἕνας ἀδελφός τόν ἀββᾶ Ποιμένα: «Τί νά κάνω πού ὅταν πάω νά κάνω τήν πνευματική μου ἐργασία μέ κυριεύει ἡ ἀμέλεια;» Κι ὁ Γέροντας τοῦ εἶπε: «Νά μήν ἐξευτελίσεις κανέναν οὔτε νά τόν κατακρίνεις. Κανέναν νά μήν κατηγορήσεις καί ὁ Θεός θά σοῦ δώσει ἀνάπαυση καί ἡ πνευματική σου ἐργασία[15] θά γίνεται ἤρεμα».

29. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω; Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Γέγραπται· Τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

30. Ἐλθόντος ποτὲ τοῦ ἀββᾶ Ποιμένος εἰς τὰ μέρη τῆς Αἰγύπτου οἰκῆσαι, συνέβη πλησίον αὐτοῦ τινὰ ἀδελφὸν μένειν ἔχοντα γυναῖκα. Καὶ οὐδέποτε ἤλεγξεν αὐτόν. Συνέβη δὲ αὐτὴν ἐν νυκτὶ γεννῆσαι. Καὶ νοήσας ὁ Γέρων ἐκάλεσε τὸν ἀδελφὸν αὐτοῦ τὸν μικρότερον λέγων· Λάβε μετὰ σοῦ ἓν κνίδιον οἴνου καὶ δὸς τῷ γείτονι, ὅτι χρῄζει σήμερον. Καὶ οὐκ ᾔδεισαν οἱ ἀδελφοὶ αὐτοῦ τὸ πρᾶγμα. Ὁ δὲ ἐποίησε καθὼς συνέταξεν αὐτῷ ὁ Γέρων.

Καὶ ὠφεληθεὶς ὁ ἀδελφὸς καὶ κατανυγείς, μετ' ὀλίγας ἡμέρας ἀπέλυσε τὴν γυναῖκα παρασχὼν αὐτῇ εἴ τι δήποτε ἔχρῃζεν. Καὶ εἶπε τῷ Γέροντι· Ἐγὼ ἀπὸ τῆς σήμερον μετανοῶ. Καὶ ἀπελθὼν ᾠκοδόμησε πλησίον ἑαυτῷ κελλίον καὶ δι' αὐτοῦ εἰσήρχετο πρὸς τὸν Γέροντα καὶ ἐφωταγώγει αὐτὸν ὁ Γέρων τὴν ὁδὸν τοῦ Θεοῦ καὶ ἐκέρδησεν αὐτόν.

31. Ἐγένετό ποτε συνέδριον εἰς Σκῆτιν περὶ σφαλέντος ἀδελφοῦ. Καὶ ἐλάλουν οἱ Πατέρες· ὁ δὲ ἀββᾶς Πίωρ ἐσιώπα. Ὕστερον δὲ ἀναστὰς ἐξῆλθε. Καὶ λαβὼν σάκκον ἐπλήρωσε ψάμμου καὶ ἐβάστασεν εἰς τὸν ὦμον αὐτοῦ· καὶ βαλὼν εἰς μαλάκιον μικρὸν τῆς ψάμμου, ἐβάστασεν ἔμπροσθεν αὐτοῦ.

Ἐπερωτηθεὶς δὲ παρὰ τῶν Πατέρων τί ἂν εἴη τοῦτο, λέγει· Οὗτος ὁ σάκκος ὁ ἔχων τὴν πολλὴν ψάμμον, τὰ ἐμά ἐστι πλημμελήματα, ὅτι πολλά εἰσι καὶ ἀφῆκα αὐτὰ ὀπίσω

29. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα*: «Τί νά κάνω;» Κι ὁ Γέροντας τοῦ εἶπε: «Εἶναι γραμμένο: Τήν ἀνομία μου ἐγώ θά τήν ἐξαγγείλω καί θά φροντίσω νά ἀπαλλαγῶ ἀπό τήν ἁμαρτία μου»[16].

30. Ὅταν κάποτε ἦρθε ὁ ἀββᾶς Ποιμήν νά κατοικήσει στήν Αἴγυπτο, συνέβη νά μένει κοντά σ' αὐτόν ἕνας ἀδελφός πού εἶχε γυναίκα. Καί ποτέ δέν τόν ἤλεγξε. Κάποια νύκτα ἡ γυναίκα γέννησε. Ὁ Γέροντας τό ἀντιλήφθηκε καί κάλεσε τόν μικρότερο ἀδελφό του: «Πάρε —τοῦ εἶπε— μιά κανάτα κρασί καί δῶσε το στόν γείτονα, γιατί θά τοῦ χρειασθεῖ σήμερα». Οἱ ἀδελφοί του δέν γνώριζαν βέβαια τήν ὑπόθεση, ἀλλά αὐτός ἔκανε ὅ,τι τοῦ ὅρισε ὁ Γέροντας.

Καί ὁ ἀδελφός ὁ γείτονας ὠφελήθηκε καί ἦλθε σέ κατάνυξη. Μετά ἀπό λίγες μέρες, ἀφοῦ ἐφοδίασε τή γυναίκα μέ ὅ,τι εἶχε ἀνάγκη, τήν ἄφησε νά φύγει. Εἶπε κατόπιν στόν Γέροντα: «Ἐγώ ἀπό σήμερα μετανοῶ». Καί ἔχτισε κοντά του ἕνα κελί γιά τόν ἑαυτό του. Ἔτσι πήγαινε συχνά στόν Γέροντα καί ὁ Γέροντας τοῦ 'δειχνε τόν φωτεινό δρόμο τοῦ Θεοῦ καί τόν κέρδισε.

31. Κάποτε ἔγινε στή Σκήτη συνέδριο γιά ἕναν ἀδελφό πού ἁμάρτησε. Μιλοῦσαν οἱ Πατέρες, ἀλλά ὁ ἀββᾶς Πίωρ ἔμενε σιωπηλός. Ὕστερα σηκώθηκε καί βγῆκε ἔξω. Πῆρε ἕνα σάκκο, τόν γέμισε μέ ἄμμο καί τόν κρατοῦσε στόν ὦμο του. Καί σ' ἕνα ζεμπίλι ἔβαλε λίγη ἄμμο καί τό κρατοῦσε μπροστά του.

Τόν ρώτησαν οἱ Πατέρες τί σήμαινε αὐτό καί εἶπε: «Αὐτό τό σακκί μέ τήν πολλή ἄμμο εἶναι οἱ δικές μου ἁμαρτίες· εἶναι πολλές καί τίς ἄφησα αὐτές πίσω μου γιά νά μήν

---

16. Ψαλμ. 37, 19.

μου τοῦ μὴ πονῆσαι περὶ αὐτῶν καὶ κλαῦσαι· καὶ ἰδοὺ ταῦτα τὰ μικρὰ τοῦ ἀδελφοῦ μου ἔμπροσθέν μού εἰσι, καὶ εἰς ταῦτα ἀδολεσχῶ κρίνων αὐτόν. Οὐ χρὴ δὲ οὕτω ποιεῖν· ἀλλὰ μᾶλλον τὰ ἐμὰ ἔμπροσθέν μου ἐνεγκεῖν καὶ αὐτῶν φροντίσαι καὶ παρακαλέσαι τὸν Θεὸν συγχωρῆσαί μοι. Καὶ ἀναστάντες οἱ Πατέρες εἶπον· Ὄντως αὕτη ἐστὶν ἡ ὁδὸς τῆς σωτηρίας.

32. Εἶπεν ὁ ἀββᾶς Παφνούτιος ὅτι· Διοδεύων ποτὲ ἐν τῇ ὁδῷ γέγονέ με ἀποπλανηθῆναι ἀπὸ δρόσου καὶ εὑρέθην πλησίον κώμης. Καὶ εἶδόν τινας ὁμιλοῦντας αἰσχρῶς ἀλλήλοις καὶ ἐστάθην δεόμενος τοῦ Θεοῦ ὑπὲρ τῶν ἁμαρτιῶν μου. Καὶ ἰδοὺ ἄγγελος ἦλθε κατέχων ῥομφαίαν καὶ λέγει μοι· Παφνούτιε, πάντες οἱ κρίνοντες τοὺς ἀδελφοὺς αὐτῶν ἐν ταύτῃ τῇ ῥομφαίᾳ ἀπολοῦνται· σὺ δὲ ὅτι οὐκ ἔκρινας ἀλλ' ἐταπείνωσας ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ ὡς σὺ τὴν ἁμαρτίαν ποιήσας, διὰ τοῦτο τὸ ὄνομά σου γέγραπται ἐν βίβλῳ ζώντων.

33. Εἶπε Γέρων· Μὴ κρίνῃς τὸν πόρνον, ἐὰν ὑπάρχῃς σώφρων· ὡσαύτως γὰρ τὸν νόμον παραβαίνεις. Ὁ γὰρ εἰπὼν μὴ πορνεύσῃς, εἶπε καὶ μὴ κρίνῃς.

34. Ἔλεγον περί τινος ὅτι ἐκάθητο ἐν Αἰγύπτῳ ἐν μονοκελλίῳ. Εἶχον δὲ ἔθος παραβαλεῖν αὐτῷ εἷς ἀδελφὸς καὶ μία παρθένος. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὑπήντησαν οἱ δύο ὁμοῦ πρὸς τὸν Γέροντα. Καὶ ὀψίας γενομένης ἔθηκε τὸ ψιάθιον ὁ Γέρων καὶ ἐκοιμήθη εἰς τὴν μέσην αὐτῶν. Πολεμηθεὶς δὲ ὁ ἀδελφὸς ἐπανέστη τῇ παρθένῳ καὶ ἐτέλεσαν τὴν

17. Φιλιπ. 4, 3.

κοπιάσω καί κλάψω γι' αὐτές. Καί νά, αὐτά τά λίγα τοῦ ἀδελφοῦ μου στέκονται μπροστά μου καί μ' αὐτά ἀσχολοῦμαι καί τόν κρίνω. Δέν πρέπει ὅμως νά κάνουμε ἔτσι. Τά δικά μου μᾶλλον πρέπει νά φέρω μπροστά καί γι' αὐτά νά φροντίσω καί νά παρακαλέσω τόν Θεό νά μέ συγχωρήσει». Σηκώθηκαν τότε ὅλοι οἱ Πατέρες καί εἶπαν: «Πράγματι αὐτός εἶναι ὁ δρόμος τῆς σωτηρίας».

32. Εἶπε ὁ ἀββᾶς Παφνούτιος*: «Περπατώντας κάποτε στό δρόμο χάθηκα λόγω τῆς ὁμίχλης καί βρέθηκα κοντά σέ μιά κωμόπολη. Καί εἶδα κάποιους νά ἀσελγοῦν μεταξύ τους. Στάθηκα τότε καί προσευχήθηκα γιά τίς ἁμαρτίες μου. Καί νά, ἕνας ἄγγελος ἦλθε κρατώντας ξίφος καί μοῦ εἶπε: Παφνούτιε, ὅλοι ἐκεῖνοι πού κρίνουν τούς ἀδελφούς τους μ' αὐτό τό ξίφος θά θανατωθοῦν. Ἐσύ ὅμως ἐπειδή δέν ἔκρινες ἀλλά στάθηκες ταπεινός μπροστά στόν Θεό σάν νά ἔκανες ἐσύ τήν ἁμαρτία, γι' αὐτό τόν λόγο τό ὄνομά σου ἔχει γραφτεῖ στό βιβλίο τῆς ζωῆς[17]».

33. Εἶπε ἕνας Γέροντας: «Μήν κρίνεις τόν πόρνο, ἐάν ἐσύ εἶσαι σώφρων. Κι ἐσύ εἶσαι παραβάτης τοῦ νόμου ὅπως κι ἐκεῖνος. Γιατί Αὐτός πού εἶπε νά μήν πορνεύσεις[18], εἶπε καί νά μήν κρίνεις[19]».

34. Ἔλεγαν γιά κάποιον ὅτι μόναζε στήν Αἴγυπτο σέ ἀπομονωμένο κελί. Συνήθιζαν νά τόν ἐπισκέπτονται ἕνας ἀδελφός καί μιά παρθένος. Κάποια φορά βρέθηκαν καί οἱ δυό μαζί στόν Γέροντα. Ὅταν βράδιασε, ἔστρωσε τό ψαθί ὁ Γέροντας καί κοιμήθηκε ἀνάμεσά τους. Ἀλλά ὁ ἀδελφός πολεμήθηκε ἀπό τόν πειρασμό γιά τήν παρθένο, τῆς ἐπιτέθηκε

18. Ματθ. 5, 27. 19. Ματθ. 7, 1.

ἁμαρτίαν. Ὁ δὲ Γέρων αἰσθηθεὶς οὐδὲν ἐλάλησεν αὐτοῖς. Πρωίας δὲ γενομένης προέπεμπεν αὐτοὺς ὁ Γέρων, μηδεμίαν στυγνότητα δείξας ἐν αὐτῷ.

Πορευομένων δὲ αὐτῶν κατὰ τὴν ὁδόν, ἔλεγον πρὸς ἀλλήλους εἰ ἐννόησεν ὁ Γέρων ἢ οὔ. Καὶ ὑποστρέψαντες πρὸς τὸν Γέροντα μετενόησαν αὐτῷ λέγοντες· Ἀββᾶ, οὐκ ἐννόησας πῶς ἐχλεύασεν ἡμᾶς ὁ Σατανᾶς; Λέγει αὐτοῖς· Ναί. Καὶ λέγουσιν αὐτῷ· Ποῦ ἦν ὁ λογισμός σου ἐκείνην τὴν ὥραν; Καὶ λέγει αὐτοῖς· Ὁ ἐμὸς λογισμός, ὅπου ἐσταυρώθη ὁ Χριστός, ἐκεῖ ἦν τὴν ὥραν ἐκείνην, στήκων καὶ κλαίων. Καὶ λαβόντες μετάνοιαν ἀπὸ τοῦ Γέροντος, ἀπῆλθον καὶ ἐγένοντο σκεύη ἐκλογῆς.

35. Ἦν τις Γέρων καθ' ἑκάστην ἐσθίων τρεῖς παξαμάδας. Παρέβαλε δὲ αὐτῷ ἀδελφὸς καὶ καθεσθέντων γεύσασθαι, ἔθηκε καὶ τῷ ἀδελφῷ τρεῖς παξαμάδας. Καὶ ἑωρακὼς ὁ Γέρων ὅτι ἔχρηζεν, ἤνεγκεν αὐτῷ ἄλλους τρεῖς. Ὡς δὲ ἐκορέσθησαν καὶ ἀνέστησαν, κατέκρινεν ὁ Γέρων τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ· Οὐ χρή, ἀδελφέ, ὑπουργεῖν τῷ σαρκίῳ. Ὁ δὲ ἀδελφὸς μετενόησε τῷ Γέροντι καὶ ἐξῆλθε.

Τῇ οὖν ἑξῆς ἐγένετο καιρὸς τοῦ γεύσασθαι τὸν Γέροντα καὶ ἔθηκεν ἑαυτῷ τοὺς τρεῖς παξαμάδας. Καὶ φαγὼν αὐτούς, πάλιν ἐπείνασε καὶ ἐπέσχεν ἑαυτόν. Καὶ πάλιν τῇ ἄλλῃ ἡμέρᾳ, τὸ αὐτὸ ὑπέστη. Ἤρξατο οὖν ἀδυναμοῦσθαι. Καὶ ἔγνω ὁ Γέρων ὅτι ἐγκατάλειψις τοῦ Θεοῦ ἐγένετο αὐτῷ· καὶ ῥίψας ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ μετὰ δακρύων, ἐδέετο περὶ τῆς γενομένης ἐγκαταλείψεως. Καὶ ὁρᾷ ἄγγελον λέγοντα

καί ἔκαναν τήν ἁμαρτία. Ὁ Γέροντας ἄν καί τό ἀντιλήφθηκε, δέν τούς εἶπε τίποτε. Ὅταν ξημέρωσε, τούς κατευόδωσε χωρίς νά δείξει ὅτι ἦταν δυσαρεστημένος μ' αὐτό πού ἔγινε.

Καθώς λοιπόν βάδιζαν αὐτοί στόν δρόμο, συζητοῦσαν μεταξύ τους ἄν τό κατάλαβε ὁ Γέροντας ἤ ὄχι. Καί ἐπέστρεψαν στόν Γέροντα, τοῦ 'βαλαν μετάνοια καί εἶπαν: «Ἀββᾶ, δέν κατάλαβες πῶς μᾶς περιέπαιξε ὁ Σατανᾶς;». «Ναί» τούς ἀπάντησε. «Καί ποῦ ἦταν —τόν ρώτησαν— ὁ λογισμός σου ἐκείνη τήν ὥρα;»

«Ὁ λογισμός μου —τούς εἶπε— ἐκείνη τήν ὥρα ἦταν στόν τόπο πού σταυρώθηκε ὁ Χριστός· ἔστεκα ἐκεῖ καί ἔκλαια».

Ὕστερα ἀφοῦ πῆραν κανόνα μετανοίας ἀπό τόν Γέροντα, ἔφυγαν καί ἔγιναν σκεύη ἐκλεκτά τοῦ Θεοῦ.

35. Ἦταν κάποιος Γέροντας πού ἔτρωγε καθημερινά τρία παξιμάδια. Τόν ἐπισκέφθηκε κάποιος ἀδελφός καί ὅταν κάθησαν νά φᾶνε, ἔβαλε καί γιά τόν ἀδελφό τρία παξιμάδια. Εἶδε κατόπιν ὁ Γέροντας ὅτι ὁ ἀδελφός εἶχε ἀνάγκη νά φάει περισσότερο καί τοῦ 'φερε ἄλλα τρία. Ἀφοῦ χόρτασαν καί σηκώθηκαν, κατέκρινε ὁ Γέροντας τόν ἀδελφό καί τοῦ 'πε: «Δέν πρέπει, ἀδελφέ, νά ὑπηρετοῦμε τή σάρκα μας». Καί ὁ ἀδελφός ἔβαλε μετάνοια στόν Γέροντα καί ἔφυγε.

